30 ρισμὸς εἴρηται ἡ δὲ περὶ πλείονας σολοικισμός· σολοικισμὸς δὲ εἴρηται ὡς σώου λόγου αἰκισμός.

Εἰ οὖν πᾶσα τέχνη καὶ ὑποκείμενον ἔχει καὶ τέλος, εἰκότως οἱ ὁρισμοὶ ἢ ἐξ ἑνὸς τῶν δύο ἢ ἐκ τοῦ συναμφοτέρου λαμβάνονται. ἐκ τοῦ ὑποκειμένου μέν, ὡς ἵνα εἴπω 'ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα

---

5 an ⟨οἱ⟩ ὁρ. ? 6 οὔτε . . οὔτε Brand. τότε — πράγματι (7) om. P 9 an ἐλλίπωσι? (cf. v. 15 p. 6,17) 10 λέξῃ (alt. l.) C[1] 11 et 13 ὁ om. Cc 12 ἐνέλλειπον Cc; an ἐνέλιπον? (cf. v. 15) ἀγγέλους eicias 13 θητὸν C 15 ἐνέλιπον C[1]: ἐνέλλειπον C[2]c: ἐνέλειπον P εἴ τι] ἔστι Pc 16 εἴ τι] ἔστι c 17 ἐλλείπουσι . . πλεονάζουσιν P 19 Τρίτον κεφάλαιον om. P 23 τῇ ἰατρικῇ — ὑγίειαν om. Cc; an ⟨οἷον⟩ τῇ ἰατρικῇ ? 24 ῥητορικῇ] ῥητορ— in ras. C[2] τὰ πολιτικὰ καὶ ἰδιωτικὰ colloc. P 26 συνηγορεῖ P συμβουλεύῃ scripsi: συνεβούλευεν CPc 28 αἱ supra scr. C[2] ἁμαρτάνειν P 29 ἡ (ante μὲν)] εἰ P ἁμαρτὰς] ἁμαρτάνει P 30 ἡ δὲ — σολοικισμός in mrg. C σολοικισμὸς δὲ εἴρηται om. Cc

καταγινομένη', ἐκ τοῦ τέλους δὲ 'ὑγείας περιποιητική', ἐκ δὲ τοῦ συναμ- 20
φοτέρου 'τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη ὑγείας περι-
ποιητική'. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ πασῶν τῶν ἄλλων τεχνῶν καὶ ἐπιστη-
μῶν μόνος ὁ ἐκ τοῦ συναμφοτέρου τέλειος ὁρισμός, ἐπειδὴ τὰ ὑποκείμενα
5 αὐταῖς καὶ ἄλλαις ὑπόκεινται τέχναις, οἷον τὰ ἀνθρώπεια σώματα ὑπόκειν-
ται κουρεῖ, παιδοτρίβῃ. ἀλλὰ καὶ τὰ πολιτικὰ ὑπόκεινται καὶ ἄλλαις 25
ὁμοίως. καὶ τὰ τέλη οὐχ ὑπὸ μόνων τῶν εἰρημένων γίνονται, ἀλλὰ καὶ
ὑπὸ τύχης καὶ ὑπὸ ἄλλων τινῶν· τὴν γὰρ ὑγείαν οὐ μόνος ἰατρὸς ποιεῖ,
ἀλλὰ καὶ ἐκ τύχης γίνεται, ὡς εἴρηται ἐν τῷ Περὶ αἱρέσεων. καὶ γραῦς
10 ἐπᾴδουσα ὑγείαν ποιεῖ καὶ περίαπτον ὁμοίως. καὶ ἡ πειθὼ οὐχ ὑπὸ μόνης 30
ῥητορικῆς γίνεται, ἀλλὰ καὶ χρυσὸς πείθει καὶ κάλλος πείθει καὶ ἕτερα
πολλά. ὁ γοῦν Ὑπερείδης ὁ ῥήτωρ συνηγορῶν Φρύνῃ τῇ πόρνῃ, αἰσθό-
μενος ἐν τοῖς ἑαυτοῦ ἐπιλόγοις ὅτι οὐκ ἔπεισε τοὺς δικαστάς, ἐπέτρεψε |
τῇ πόρνῃ διαρρῆξαι τοὺς χιτῶνας, καὶ τότε διὰ τῆς τῶν μαζῶν θέας εἷλεν 395
15 αὐτούς.

Κριτέον οὖν τὰς ἕξεις οὐκ ἐκ τοῦ τέλους ἀλλ' ἐκ τῆς τοῦ τέλους
παρασκευῆς· ἴδιον γὰρ ἰατροῦ οὐ τὸ ὑγιάσαι ἀλλὰ τὸ μηδὲν παραλιπεῖν 5
τῶν εἰς ὑγείαν ἀγόντων, καὶ ῥήτορος τέλος οὐ τὸ πεῖσαι ἀλλὰ τὸ μηδὲν
παραλιπεῖν τῶν εἰς πειθὼ ἀγόντων. εἰκότως οὖν ἐπὶ μὲν τῶν ἄλλων
20 τεχνῶν καὶ ἐπιστημῶν μόνος ὁ ἐκ τοῦ συναμφοτέρου τέλειος ὁρισμός, ἐπὶ
δὲ τῆς φιλοσοφίας καὶ ὁ ἐκ θατέρου τέλειος, διότι τὸ ὑποκείμενον τῇ φιλο-
σοφίᾳ ἄλλῃ τέχνῃ ἢ ἐπιστήμῃ οὐχ ὑπόκειται. 10

Πρᾶξις δ'.

Μεμαθήκαμεν διὰ τῶν φθασάντων ὅτι οἱ ὁρισμοὶ ἐκ τριῶν λαμβά-
25 νονται, ἐκ τοῦ ὑποκειμένου, ἐκ τοῦ τέλους, ἐκ τοῦ συναμφοτέρου· φέρε
οὖν μάθωμεν τί ὑπόκειται τῇ φιλοσοφίᾳ καὶ τί τὸ τέλος αὐτῆς καὶ πῶς 15
ἐκ τούτων ὁρίζεται. δεῖ εἰδέναι ὅτι πάντα τὰ ὄντα ὑπόκεινται τῇ φιλο-
σοφίᾳ, διὸ καὶ γνῶσις τῶν ὄντων ἐστὶν ὡς μόνη πάντα γινώσκουσα· αἱ
μὲν γὰρ ἄλλαι τέχναι ἤγουν ἐπιστῆμαι περὶ ἓν καταγινόμεναι ἕν μέν τι
30 γινώσκουσι, πολλὰ δὲ ἀγνοοῦσι, καὶ μᾶλλον ἄγνοιαί εἰσιν ἤπερ γνώσεις· ἡ
δὲ φιλοσοφία μᾶλλον γνῶσις ὡς πάντα τὰ ὄντα ἐπαγγελλομένη εἰδέναι. 20
τέλος δὲ τῆς φιλοσοφίας τὸ διὰ τῆς γνώσεως πάντων τῶν ὄντων θεὸν ἐπὶ
γῆς δεῖξαι τὸν ἄνθρωπον καὶ τοιοῦτον οἷον τὸν Λυκοῦργον ἡ Πυθία
προσεῖπεν·

1 ὑγιείας constanter P post περιποιητική add. δεῖ δὲ εἰδέναι (sed punctis del.) C
4 ἐπειδὴ scripsi: ἐπὶ δὲ Cc: ἐπεὶ δὲ P 5 τέχναις — ὑπόκεινται om. P 6 καὶ
κουρεῖ καὶ παιδοτρίβῃ Mon. 399 (rectius) ἄλλοις P 7 μόνον P 8 ὑπὸ
(utrobique) om. P μόνον ὁ ἰατρὸς P 9 Περὶ αἱρ.] suum aliquem librum spectat
(cf. Diels *Doxogr.* p. 79) γραῦς] αὖς superscr. C[2] 12 Ὑπερίδης c (cf. fr. LXII
ed.[2] Blass) 13 ἐπιλόγοις] λόγοις Brand. 14 διαρῆξαι C[1] χιτόνας C[1]
17. 19 παραλειπεῖν (utrobique) P 20 an ὁρ. τελ. colloc.? 28 τῶν ὄντων ἐστὶν
om. Cc 29 τι ante prius ἓν coll. P 30 καὶ μᾶλλον — γνώσεις om. P ἤπερ
scripsi: εἴπερ Cc 32. 33 ἐπὶ γῆς] ἐπίγειον c (cf. p. 7,24. 12,14)

ἤλυθες, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηόν·
δίζω εἴ σε θεὸν μαντεύσομαι ἦε καὶ ἄνδρα. 25
καὶ μὴ νομίσῃς, ἐπειδὴ εἶπε "δίζω," ὅτι ἠγνόει [κατὰ τὰς Ἑλλήνων φημὶ ψευδεῖς δόξας] (ἧ γὰρ ἂν ἡ Πυθία ἑτέρας ἐδεῖτο Πυθίας), ἀλλ' ἐπειδὴ
5 φύσει ἀμφίβολον ἦν εἰ θεὸς ὁ Λυκοῦργος ἢ ἄνθρωπος. τὰ δὲ ἀμφιβαλλό-μενα ἄλλως οὐ γινώσκεται, εἰ μὴ μετὰ τοῦ ἀμφιβάλλειν· ὥσπερ γὰρ τὸ 30 χλιαρὸν μέσον ὂν ψυχροῦ καὶ θερμοῦ, ἐὰν εἴπωμεν αὐτὸ θερμόν, ψευδό-μεθα, ὁμοίως καὶ ψυχρόν· εἰ δὲ μετὰ ἀμφιβολίας εἴπωμεν 'οὐκ οἶδα τί αὐτὸ καλέσω, θερμὸν ἢ ψυχρόν', ἔννοιαν παρέχομεν τῷ ἀκούοντι, ὅτι
10 μετέχει καὶ θερμότητος, μετέχει καὶ ψυχρότητος. ὁμοίως καὶ τὸ | φαιὸν 396 μέσον ὂν λευκοῦ καὶ μέλανος, ἐὰν εἴπωμεν αὐτὸ λευκόν, ψευδόμεθα, ὁμοίως καὶ μέλαν· εἰ δὲ μετὰ ἀμφιβολίας, δῆλον γίνεται τῷ ἀκούοντι, ὅτι μετέχει ἑκατέρου. οὕτως καὶ ἡ Πυθία εἰ εἶπεν αὐτὸν θεόν, ἐψεύδετο, ἄνθρωπον ὄντα, καὶ εἰ ἄνθρωπον εἶπεν αὐτόν, ὁποῖοί εἰσιν οἱ πολλοὶ τῶν ἀγελαίων, 5
15 ἐψεύδετο (οὐ γὰρ ἦν τοιοῦτος), ἀλλὰ ἔνθεον ἄνθρωπον αὐτὸν εἶπεν. ὁμοίως καὶ ὁ Πλάτων ἐν τοῖς Νόμοις εἰσάγει τὸν Σωκράτη ἐρωτῶντα Κρῆτα καὶ Λάκωνα πολίτην περὶ Μίνωος καὶ Λυκούργου, οὓς ᾔδει νομοθέτας, Μίνω μὲν Κρητῶν, Λυκοῦργον δὲ Λακώνων· 'θεὸς ὑμῖν, ὦ ξένοι, ἤ τις ἀνθρώ-πων τῆς αἰτίας τῶν νόμων γέγονεν αἴτιος;' καὶ ἀπεκρίνατο ὁ Κρὴς ὡς 10
20 τιμιώτερος· 'θεός, ὦ ξένε, θεός'· τιμιώτερος γὰρ ὁ Μίνως διὰ τὸν Δία· λέγουσι γὰρ αὐτὸν Ἕλληνες ὑπὲρ ἐννέα ἔτη ἀνιέναι πρὸς τὸν Δία διορθώ-σεως τῶν νόμων χάριν, καὶ τοῦτο αἰνίττεται Ὅμηρος λέγων
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής. 15
τοιοῦτον οὖν ἡ φιλοσοφία θέλει δεῖξαι τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς.
25 Ἐπεὶ οὖν ἔγνωμεν τί τὸ τέλος τῆς φιλοσοφίας καὶ τί τὸ ὑποκείμενον αὐτῇ, φέρε εἴπωμεν καὶ πῶς ἐκ τούτων ὁρίζεται. δεῖ εἰδέναι ὅτι ἕξ εἰσιν ὁρισμοὶ τῆς φιλοσοφίας καὶ οὔτε πλείους οὔτε ἐλάττους, δύο ἐκ τοῦ ὑπο- 20 κειμένου, δύο ἐκ τοῦ τέλους, εἷς ἐκ τῆς ὑπεροχῆς καὶ εἷς ἐκ τῆς ἐτυμο-λογίας. ἡ δὲ τάξις αὐτῶν ἐστιν αὕτη· ἔσχατος πάντων ὁ ἐκ τῆς ἐτυμο-
30 λογίας, ὡς περὶ φωνὰς μόνας ἠσχολημένος καὶ οὐδὲν τοῦ πράγματος λέγων τῆς φιλοσοφίας περὶ τὰ ὄντα ἐπτοημένης. μετ' αὐτόν ἐστιν ὁ ἐκ τῆς

---

1 ἦλθες P: ἥκεις Herod. I, 65   ὦ λυκοῦργε P: ὦ λυκόοργε Herod.: ὧδε λυκοῦργε Brand.   2 δίζω ex δείζω corr. C   εἰ] ἢ Herod. Dav.   ἦε καὶ ἄνδρα] ἢ ἄνθρωπον Herod. David.   3 κατὰ τὰς Ἑλ. φ. ψευδ. δόξας inclusi (cf. p. 12,1)   5 εἰ] ἢ P   δὲ] γὰρ c   5. 6 ἀμφιβαλόμενα P   6 ἀμφιβάλειν CP   7 εἴπομεν P   9 καλέσο C   ἔνοιαν C   παρέχωμεν Cc   11 ὂν om. P   εἴπομεν P   13 ἐψεύδετε C   14 αὐτὸν om. P   ἀγελαίων ex ἀγελέων corr. C   15 αὐτὸν ἄνθρωπον colloc. Cc   16 ὁ Πλάτων ἐν τοῖς Νόμοις] I, 1 p. 624 A   σωκράτην P   17 μίνωος] μίνωνος P   μίνω] μείνω P   18 θεὸς ἤ τις ἀνθρώπων ὑμῖν, ὦ ξένοι, εἴληφε τὴν αἰτίαν τῆς τῶν νόμων διαθέσεως Plat., unde pro τῆς αἰτίας scribas τῆς διαθέσεως   20 θεός, ὦ ξένε, θεός τιμιώτερος om. Cc   μίνος P   διὰ τῶν δία P   21 ἐνέα (sic) supra scr. C[2]   22 αἰνίτται C   Ὅμηρος] τ 179   23 ἐννέωρος C[2]: ἐννέορος C[1]P   βασιλεῦ P   ὀαριστής] ὁ ἀριστύς C: ὁ ἀρίστις P: ὀαριστύς c   24 τῆς om. P   27 οἱ ὁρισμοὶ c

ὑπεροχῆς, ἐπειδὴ τὰ κοινὰ προηγοῦνται τῶν ἰδικῶν καὶ κοινοὶ μὲν πάσης 25
τέχνης καὶ ἐπιστήμης ὁρισμοὶ οἱ ἐκ τοῦ ὑποκειμένου καὶ ἐκ τοῦ τέλους
λαμβανόμενοι, ὁ δὲ ἐκ τῆς ὑπεροχῆς ὁρισμὸς ἴδιος τῆς φιλοσοφίας· μόνη
γὰρ αὕτη ἐκ τῆς ὑπεροχῆς ὁρισμὸν ἔσχε τῶν ἄλλων, ὡς εἴρηται, ἐκ τοῦ
5 συναμφοτέρου ὁριζομένων. μετὰ δὲ τὸν ἐκ τῆς ὑπεροχῆς εἰσιν οἱ ἐκ τοῦ 30
τέλους, καὶ μετὰ ⟨τοὺς ἐκ⟩ τοῦ τέλους εἰσὶν οἱ ἐκ τοῦ ὑποκειμένου· ἀεὶ γὰρ
τὸ ὑποκείμενον προηγεῖται τοῦ τέλους. καὶ οὕτως μὲν ἀναλυτικῶς. συν-
θετικῶς δὲ πάλιν οὕτως· πρῶτος ὁ λέγων 'γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί',
δεύτερος ὁ λέγων 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', μετ' αὐτὸν
10 ὁ λέγων 'μελέτη θανάτου', τέταρτος ὁ λέγων 'ὁμοίωσις θεῷ κατὰ τὸ | 35
δυνατὸν ἀνθρώπῳ', πέμπτος ὁ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων 'τέχνη τεχνῶν 397
καὶ ἐπιστήμη ἐπιστημῶν', ἕκτος ὁ ἐκ τῆς ἐτυμολογίας ὁ λέγων 'φιλία σο-
φίας'. αὕτη μὲν ἡ τάξις.

Ἐφ' οἷς εἴπωμεν τίνες εὗρον τοὺς ὁρισμοὺς τῆς φιλοσοφίας. δεῖ εἰδέναι 5
15 ὅτι τὸν ἐκ τῆς ἐτυμολογίας τὸν ἕκτον καὶ τοὺς δύο τοὺς ἐκ τοῦ ὑποκει-
μένου ὁ Πυθαγόρας εἶπε, τοὺς δύο τοὺς ἐκ τοῦ τέλους ὁ Πλάτων, τὸν μὲν
ἐν Θεαιτήτῳ τὸν λέγοντα 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', τὸν
δὲ ἐν Φαίδωνι τὸν λέγοντα 'μελέτη θανάτου', τὸν ἐκ τῆς ὑπεροχῆς Ἀριστο-
τέλης φησὶν ἐν τῇ Μετὰ τὰ φυσικά. 10

20 Ἐφ' οἷς ἀποροῦσί τινες ὅτι 'διὰ τί ἓξ ὁρισμοὶ τῆς φιλοσοφίας;' καὶ
λέγομεν τούτου αἰτίαν τοιαύτην· ὅτι ἡ φιλοσοφία οὔτε πρᾶγμά ἐστιν ἀνώνυ-
μον, οἷα πολλά εἰσιν (ἡ γὰρ πρὸς μουσικὴν ἐπιτηδειότης ὄνομα οὐκ ἔχει·
οὐδὲ γὰρ λέγεται μουσικότης), ἀλλ' οὐδὲ φωνὴ ἄσημος· ἐπεὶ οὖν καὶ
ὀνομάζεται καὶ ὑφέστηκε, διότι μὲν ὀνομάζεται, ἔχει τὸν ἐκ τῆς ἐτυμολογίας, ᾗ
25 δὲ ὑφέστηκε, τὸ εἶναι ἐν πρώτῃ ἔσχεν ἐπιστήμῃ, καὶ ᾗ μὲν ἐν πρώτῃ, τὸν ἐκ 15
τῆς ὑπεροχῆς ἔσχε (τὸ γὰρ πρῶτον ὑπεροχή), ᾗ δὲ ἐπιστήμη, ἔσχε τοὺς δύο
τοὺς ἐκ τοῦ ὑποκειμένου καὶ τοὺς δύο τοὺς ἐκ τοῦ τέλους. ἐφ' οἷς ἀποροῦσιν ὅτι
'διὰ τί δύο ἐκ τοῦ ὑποκειμένου καὶ δύο ἐκ τοῦ τέλους;' καί φαμεν πρὸς τοῦτο
ὅτι τὸ ὑποκείμενον διττόν, ἢ καθόλου ἢ μερικόν, οἷον τῷ τέκτονι ὑπόκειται καὶ 20
30 τόδε τὸ ξύλον, τὸ ἀκάνθινον φέρε εἰπεῖν ἢ δρύϊνον, καὶ πᾶν ξύλον. διὰ μὲν
οὖν τὸ καθόλου ἔσχε τὸν λέγοντα 'γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί', διὰ δὲ
τὸ μερικὸν ἔσχε τὸν λέγοντα 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'.
ὁμοίως τὸ τέλος διττόν, προσεχὲς ἢ πόρρω, οἷον προσεχὲς τέλος τῷ ἰατρῷ 25
τήνδε τὴν διάθεσιν ὑγιάσαι, τὴν πυρεκτικὴν φέρε εἰπεῖν, πόρρω δὲ πᾶσαν
35 διάθεσιν ὑγιάσαι. διὰ μὲν οὖν τὸ προσεχὲς ἔσχε τὸν λέγοντα 'μελέτη

---

2 ὑποκειμένοι c 4 εἴρηται] p. 6,3 5 ὁριζομένου P 6 τοὺς ἐκ τοῦ τέλους scripsi: τοῦ τέλους Cc: τούτου P 7 τὸ ὑπο— in ras. C² 7. 8 συνθετικὸς C¹ (corr. m.²) 8 ᾗ] ἢ CPc 9 τε om. Cc (cf. v. 32) μετ' αὐτὸν] τρίτος P 10 ὁμοίωσις] ὁμοίως P 11 πέμπτος] εἶτα P 12 καὶ ὁ ἕκτος ἐτυμολογίας ἔσχατος ὁ λέγων φιλοσοφία ἐστὶ φιλία σοφίας P φιλία supra scr. C² 15 τὸν (prius) om. P 16 Πυθαγ.] cf. Diog. L. I,12 17 ἐν Θεαιτήτῳ] p. 176 A. B 19 ἐν Φαίδωνι] p. 64 A. 67 E 19 ἐν τῇ Μετὰ τὰ φυσικά] A 2 p. 982ª 4 sq. 22 ἡ γὰρ—μουσικότης in litura XXII fere litt. om. Cc ἡ scripsi: εἰ P 24 τὸν] τὴν c 25 ἐν (post μὲν) om. c 26 ὑπεροχῆς (alt. l.) P 29 τέκτον P 30 φέρει P 31 οὖν om. P 33 ante (alt.) τέλος ras. II litt. C 35 προσσεχές C

θανάτου', διὰ δὲ τὸ πόρρω ἔσχε τὸν λέγοντα 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'· προσεχέστερον γὰρ τὸ καθᾶραι τὴν ψυχὴν ἑαυτοῦ, εἶτα 30
καθαρθεῖσαν ἐξομοιῶσαι θεῷ· πρότερον γὰρ καθαίρει τις ἑαυτὸν καὶ εἶθ' οὕτως ἐξομοιοῦται θεῷ· μὴ καθαρὸν γὰρ καθαροῦ ἐφάπτεσθαι οὐχὶ θεμι-
5 τὸν κατὰ τὰς Πλάτωνος φωνάς.

Τινὲς δὲ προστιθέασι καὶ ἄλλον ὁρισμὸν ἕβδομον· οἱ γὰρ | ἰατροί, 398
χάλκεα χρυσέων ἀμειψάμενοι, οὐκ ἔμπαλιν χρύσεα χαλκείων καθ' Ὅμηρον, τοὺς ὁρισμοὺς ἤμειψαν καὶ τὴν ἰατρικὴν ὡρίσαντο φιλοσοφίαν σωμάτων, τὴν δὲ φιλοσοφίαν ἰατρικὴν ψυχῶν. ἀλλ', ὦ ἰατροί, διάλληλος ἡ τοιαύτη
10 δεῖξις τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς δεικνύουσα. διάλληλος δέ ἐστι δεῖξις, ὅτε 5
δύο τινῶν ἀμφιβαλλομένων πραγμάτων ἑκάτερον διὰ τοῦ λοιποῦ θελήσωμεν πιστώσασθαι, οἷον ἀγνοῶν ποῦ μένει Θέων καὶ ποῦ μένει Δίων, εἰ ἐρωτήσω 'ποῦ μένει Θέων' καὶ εἴπῃς 'ὅπου Δίων', εἰ ἐπανερωτήσω 'καὶ ποῦ μένει Δίων' καὶ εἴπῃς 'ὅπου Θέων'. ὁμοίως 'ἡ δεῖνα τέτοκεν, ἐπειδὴ γάλα ἔχει,
15 γάλα δὲ ἔχει, ἐπειδὴ τέτοκε'. φευκτέα δὲ ἡ διάλληλος δεῖξις παρὰ φιλο- 10
σόφοις, ὡς τὰ αὐτὰ τῶν αὐτῶν πρότερα ποιοῦσα καὶ ὕστερα, σαφέστερα καὶ ἀσαφέστερα, αἴτια καὶ αἰτιατά· ὅτε μὲν γὰρ διὰ τοῦ Δίωνος δείκνυται ποῦ μένει Θέων, ὁ Δίων σαφέστερός ἐστι, πρότερος, αἴτιος· ὅτε δὲ ἔμπαλιν διὰ τοῦ Θέωνος γίνεται ἡ δεῖξις, ὁ Θέων σαφέστερός ἐστι καὶ πρότερος 15
20 καὶ αἴτιος. ἄλλως τε ἀδολεσχίαν εἰσάγει ὁ λόγος· εἰ γὰρ Θέων μένει ὅπου Δίων, Δίων δὲ μένει ὅπου Θέων, Θέων ἄρα μένει ὅπου Θέων. καὶ εἰ ἡ δεῖνα τέτοκεν ἐπειδὴ γάλα ἔχει, γάλα δὲ ἔχει ἐπειδὴ τέτοκε, τέτοκεν ἄρα ἐπειδὴ τέτοκεν, ὅπερ ἐστὶν ἀδολεσχῆσαι. φευκτέον οὖν τὸ τοιοῦτον οὐ μόνον ἐπὶ τῶν ἀποδείξεων, ἀλλὰ καὶ ἐπὶ τῶν ὁρισμῶν ἀρχῶν ὄντων ἀπο- 20
25 δείξεως. καὶ οὗτος δὲ ὁ ὁρισμὸς ἀνάγεται ὑπὸ τὸν ἐκ τοῦ τέλους τὸν λέγοντα 'μελέτη θανάτου'· ὁ γὰρ θάνατος τῆς ἀκολάστου ζωῆς ἰατρεία ψυχῆς ἐστιν.

Ἄλλον ὄγδοον ὁρισμὸν ἀναφέρουσι τῷ Πλάτωνι εἰρημένον ἐν Φαίδωνι· 25
φησὶ γὰρ ἐκεῖ τὴν φιλοσοφίαν μεγίστην μουσικήν, μουσικὴν δὲ οὐ χορδὰς
30 ἁρμόζουσαν (εὐτελὲς γὰρ τοῦτο), ἀλλὰ τὰ μόρια τῆς ψυχῆς, λόγον, θυμόν, ἐπιθυμίαν, ἵνα ὁ μὲν λόγος ἀεὶ ἄρχῃ, ὁ δὲ θυμὸς ἄρχηται ὑπὸ τοῦ λόγου καὶ ἄρχῃ τῆς ἐπιθυμίας, ἡ δὲ ἐπιθυμία ἄρχηται· ὅταν γὰρ ταῦτα ἰδιοπραγῶσι, σώζεται ἡ ἁρμονία τῆς ψυχῆς· εἰ δὲ τὰ χείρω τυραννήσει, ποιεῖ 30
ἀναρμοστίαν, ἐὰν ἡ ἐπιθυμία κρατήσῃ, ὡς ἐπὶ τῆς Φαίδρας δι' ἔρωτα

---

2 αὐτοῦ c an εἶτα ⟨τὴν⟩ ? 3 καθάρει (alt. l.) P καὶ om. P 4 οὐχὶ] οὐ (sed post οὐ II litt. erasae) Cc 5 τὴν Πλάτωνος φωνήν P (cf. Phaedo. p. 67 B) 6 ἰατροί] οἰατροί (sic) C 7 καθ' Ὅμηρον] cf. Z 235 9 διάλληλος—δεικνύουσα (10) om. P 10 δὲ] ἤδε Brand. 12 καὶ ποῦ μένει Δίων, εἰ ἐρωτήσω ποῦ μένει Θέων om. c 19 γένηται P 21 θέων (tertim)] δίων P εἰ om. P 25 ὁ ὁρισμὸς om. Cc post τέλους add. ὁρισμὸν Cc 26 ἰατρία C 28 τῷ πλάτων P Φαίδωνι Dav.: Θεαιτήτῳ CPc (cf. Phaedo. p. 61 A) 30 ἐντελὲς Cc 31. 32 ἄρχει P (utrobique) 32 δὲ om. P ἄρχεται P 33 an τυραννήσῃ? 34 ἐναρμοστίαν P an ⟨οἷον⟩ ἐὰν ? ἐπὶ τῆς Φαίδρας] cf. Eur. Hippol. 772

ἀπαγξαμένης, ἢ ὅταν ὁ θυμὸς κρατῇ τοῦ λόγου, ὡς ἐπὶ τῆς Μηδείας φασκούσης

καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων. |

5 ἀλλὰ καὶ οὗτος ὁ ὁρισμὸς ἀνάγεται ὑπὸ τὸν ἐκ τῆς ὑπεροχῆς· τὸ γὰρ 399 μέγιστον ὑπεροχή ἐστιν.

Πρᾶξις ε'.

Μετὰ τὸ πλῆθος τῶν ὁρισμῶν τῆς φιλοσοφίας καὶ τὴν τάξιν αὐτῶν 5 καὶ τοὺς εὑρετὰς αὐτῶν καὶ τὴν αἰτίαν, δι' ἣν εἰσιν ἕξ (ἐκ διαιρέσεως τοῦτο 10 δέδεικται καὶ ἐκ τοῦ ἀνελεῖν ἡμᾶς τοὺς προστεθέντας δύο), φέρε ἔλθωμεν ἐπὶ τὴν ἐξήγησιν αὐτῶν. πρῶτος τοίνυν ὁρισμός ἐστι τῆς φιλοσοφίας ἐκ τοῦ καθόλου ὑποκειμένου λαμβανόμενος καὶ εἰς Πυθαγόραν ἀναγόμενος ὁ λέγων 'γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί'. καὶ οὐκ ἔχομεν εἰπεῖν ἐν ποίῳ 10 συγγράμματι ὁ Πυθαγόρας εἶπεν αὐτόν· οὐδὲ γὰρ κατέλιπε συγγράμματα, 15 ἀλλ' ὅπερ τοῖς ἄλλοις τὰ συγγράμματα, τοῦτο ἐκείνῳ οἱ μαθηταί· οὐδὲ γὰρ ὡς ἐν ἀγγείῳ ἀψύχῳ ᾤετο δεῖν καταλιπεῖν τοὺς ἑαυτοῦ λόγους, διότι οὐδὲν πλέον ὑπὲρ ἑαυτῶν ἢ τῶν διδασκάλων δύνανται ἀπολογεῖσθαι. καλῶς 15 δὲ πρόσκειται ἐν τῷ ὁρισμῷ τὸ 'ᾗ ὄντα' ἀντὶ τοῦ 'καθὸ ὄντα', ἵνα * * οἶδε τὴν φύσιν τῶν ἀστέρων τὸ πόθεν εἰσὶ καὶ τὴν φύσιν τῶν ἀνθρώπων· 20 οὐδὲ γὰρ πόσοι οἱ ἀστέρες ἢ πόσοι οἱ ἄνθρωποι θέλει εἰδέναι, ἀλλὰ τὴν φύσιν αὐτῶν· ὁ γὰρ τοὺς ἀνθρώπους ᾗ ἄνθρωποι ἐπιστάμενος οὗτος καὶ τοὺς γεγονότας καὶ τοὺς ὄντας καὶ τοὺς μέλλοντας εἴσεται, καὶ κατὰ τὸν 20 ποιητὴν

μάντις ἄριστος,
25 ὃς κ' εἰδῇ τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Ἀποροῦσι δέ τινες ὅτι 'διὰ τί μὴ εἶπε πάντων τῶν ὄντων;' καὶ λέγομεν ὅτι τῷ 'ᾗ ὄντα' συμπεριέχεται τὸ πάντων· ὁ γὰρ τὸ ὂν ᾗ ὂν 25 εἰδὼς καὶ πᾶν ὂν οἶδε, καὶ ὁ τὸν ἄνθρωπον ᾗ ἄνθρωπος εἰδὼς καὶ πάντα ἄνθρωπον οἶδεν. ἢ καὶ ἄλλως· ὅτι τὸ 'τῶν' ἄρθρον ἰσοδυναμεῖ τῷ πάν-30 των· τὰ γὰρ ἄρθρα τοῖς καθόλου προσδιορισμοῖς ἰσοδυναμεῖ, εἰ μὴ ἀνα-

---

1 ἀπ.. αγξαμένης (II litt. erasae) C ἐπὶ τῆς Μηδείας] cf. Eur. Med. 1066, memoria Chrysippea cf. Gal. plac. Hipp. 273,1. 382,11 Müller 3 καὶ μανθάνω μέν] . αιμα . θ . . . . (VI litt. erasae) C[1]: αἶ μ' ἀθλίαν C[2]Pc 5 τὸν] τῶν P 6 ὑπεροχῆς P 9 ὅτι ἐκ διαιρ. P 10 ἔλθομεν P 12 λαμβ. — ἀναγόμενος om. P post πυθαγόραν IV litt. erasae C 13 ἔχωμεν P: ἔχω μὲν Brand. 14 κατέλειπε C[1] 15 ἀλλ' ὅπερ Brand.: ἀλλ' ὃ Cc: ἀλλόπερ P τούτω P 17 αὐτῶν P δύναται P 18 post ἵνα defectum signavi, addas δηλώσῃ ὅτι ἡ φιλοσοφία 19 τῶν ἀστέρων — φύσιν om. P τὸ πόθεν εἰσὶ eicias 22 τὰς γεγονότας P 22. 23 κατὰ τὸν ποιητὴν] Hom. A 69 24 μάντης P: οἰωνοπόλων ὄχ' Hom. 25 κ' ἴδῃ Cc: εἴδει P: ᾔδη Hom. τε ὄντα (pr. l.) P ἐσόμενα CPc 27 τῷ] τὸ P ᾗ ὂν om. Cc 28 ante πᾶν add. πάντα ἄνθρωπον οἶδε P ὁ τὸν] ὅτῳ P ᾗ ἄνθρωπος om. Cc 29 τῶν] ἢ (sed in ras. III litt. m.[2]) Cc τῷ] τὸ P

φορικὰ εἴη, οἷον 'ὁ ἄνθρωπος ἦλθε'· τοῦτο γὰρ ὡς ἐπὶ ἐγνωσμένου λέγε- 30
ται ἀνθρώπου. εἰ δὲ εἴπω ὅτι ὁ ἄνθρωπος ζῷον, ἰσοδυναμεῖ τὸ 'ὁ ἄνθρωπος' τῷ
'πᾶς ἄνθρωπος'· πᾶς γὰρ ἄνθρωπος ζῷον. ἄλλη πάλιν ἀπορία· εἰ πάντα
τὰ ὄντα γινώσκει ἡ φιλοσοφία, περίεργοι αἱ ἄλλαι τέχναι· οὐδὲν γὰρ εὑρί-
5 σκεται ὑποκείμενον | αὐταῖς. καὶ λέγομεν ὅτι τῇ φιλοσοφίᾳ ὑπόκεινται 400
πάντα τὰ ὄντα πρὸς γνῶσιν καὶ θεωρίαν μόνον, ταῖς δὲ ἄλλαις τέχναις,
ἵνα πράξωσί τι περὶ αὐτά· οἷον ἡ φωνὴ ὑπόκειται τῷ φιλοσόφῳ, ἵνα γνῷ
τὰ αἴτια αὐτῆς καὶ ὑπὸ ποίας δυνάμεως γίνεται, τῷ δὲ γραμματικῷ, ἵνα
τι πράξῃ περὶ αὐτὴν καὶ γνῷ τὴν συνθήκην αὐτῆς. τὰ ἀνθρώπινα σώματα 5
10 ὑπόκεινται τῷ φιλοσόφῳ, ἵνα γνῷ τὴν φύσιν αὐτῶν μόνον καὶ τὰ στοιχεῖα,
τῷ δὲ ἰατρῷ, ἵνα ἐργάσηται περὶ αὐτὰ ὑγείαν. εἰ δὲ λέγεις ὅτι 'τί οὖν;
οὐ προγινώσκει ὁ ἰατρός;', καὶ λέγομεν ὅτι προγινώσκει, ἵνα μὴ μόνον εἰδῇ
αὐτὰ ὡς ὁ φιλόσοφος, ἀλλ' ἵνα καὶ πράξῃ τι διὰ τῆς προγνώσεως. ὁμοίως
καὶ ὁ γραμματικὸς οἶδε τὰ ὀκτὼ μέρη τοῦ λόγου, οὐχ ἵνα εἰδῇ αὐτὸ τοῦτο, 10
15 ἀλλ' ἵνα ἐργάσηται 'Ελληνίδα φωνήν. καὶ ἁπλῶς εἰπεῖν ὁ φιλόσοφος τὰς
φύσεις αὐτῶν οἶδεν, αἱ δὲ ἄλλαι τέχναι τὰ συμβαίνοντα τοῖς οὖσιν.

Ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ μερικοῦ ὑποκειμένου λαμβανό- 15
μενος καὶ αὐτὸς εἰς Πυθαγόραν ἀναγόμενος ὁ λέγων 'γνῶσις θείων τε καὶ
ἀνθρωπίνων πραγμάτων'. τί φής, ὦ Πυθαγόρα, θεῖα καὶ ἀνθρώπινα μόνον
20 οἶδεν ἡ φιλοσοφία, οὐκ οἶδεν ἵππου φύσιν καὶ βοὸς καὶ φυτοῦ καὶ τῶν
ἄλλων ἁπάντων; καὶ λέγομεν ὅτι πάντα περιέλαβε· διττῶν γὰρ ὄντων πάν-
των, ἢ ἀιδίων ἢ φθαρτῶν, καὶ ἐν μὲν τοῖς ἀιδίοις προὔχοντος τοῦ θείου, 20
ἐν δὲ τοῖς φθαρτοῖς τοῦ ἀνθρωπείου, ἀφ' ἑκάστου τοῦ τιμιωτέρου μνησθεὶς
καὶ τὰ λοιπὰ εἰσήγαγεν. ἐφ' οἷς ἀποροῦσιν ὅτι 'διὰ τί κἀνταῦθα μὴ πρόσ-
25 κειται τὸ ᾗ ὄντα ἐστί;' καὶ λέγομεν ὅτι * * ὅλως ἔφη εἰς διαφορὰς
ἐλθεῖν καὶ περιττὸν ἦν τὸ ᾗ ὄντα· μνησθεὶς γὰρ θείων ᾗ θεῖα αὐτὰ οἶδε, 25
καὶ ἀνθρωπείων μνησθεὶς ᾗ ἀνθρώπεια αὐτὰ οἶδεν. πάλιν ἀποροῦσι ὅτι
'εἰ λέγεις καὶ τὸν πρῶτον ὁρισμὸν πάντα περιλαβεῖν καὶ τοῦτον, τί διαφέρει
οὗτος ἐκείνου, καὶ πῶς ἐκεῖνον μὲν καθολικόν, τοῦτον δὲ μερικόν φατε;'
30 πρὸς ὃ λεκτέον ὅτι αὐτὸ τοῦτο μερικὸν αὐτὸν ποιεῖ τὸ μνησθῆναι αὐτὸν
ὀνομαστὶ θείων καὶ ἀνθρωπίνων. δεῖ δὲ εἰδέναι ὅτι πλεονεκτεῖ ὁ πρῶτος 30
ὁρισμὸς τὸν δεύτερον συντομίᾳ καὶ ἀκριβείᾳ, συντομίᾳ μὲν εἰπὼν 'τῶν ὄντων',
ἀκριβείᾳ δὲ προσκειμένου τοῦ 'ᾗ ὄντα'. ὁ μέντοι δεύτερος πλεονεκτεῖ τὸν
πρὸ αὐτοῦ σαφηνείᾳ· ἃ γὰρ ἐκεῖνος ἔκρυψεν, οὗτος ἐσαφήνισεν | εἰπὼν 401
35 'θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'· τὰ γὰρ ὄντα ἢ θεῖά εἰσιν ἢ ἀνθρώ-
πινα συνεπινοουμένων τῶν μέσων, ὡς εἴρηται· οὕτως γὰρ ὁ Ζεὺς πατὴρ

---

1 ὁ om. Cc 2 ὁ ἄνθρ. (alt. l.) scripsi: ὁ ἄρθρον Cc: ἄρθρον P 4 περιέργως P: πάρεργοι c 6 μόνην Cc 7 αὐταί P οἷον] ὅσον P 9 ἀνθρώπεια P
11 ὑγίεια (sic) P ὅτι om. P 12 ὁ om. P καὶ eicias εἰδῇ scripsi: οἶδεν Cc: εἶδεν P 13 γνώσεως Cc 14 οἶδε] οἶδα P εἰδῇ scripsi: οἶδεν CPc
16 αὐτῶν] an τῶν ὄντων? 19 μόνον] μὲν Cc 22 ἢ ἀιδίων—μὲν om. P
23 ἀνθρωπείου] ἀνθρώπου Cc 24 ἀφ' οἷς P 25 ante ὅλως defectum signavi, conicias ὅτι ⟨διὰ τὸ ἐνταῦθα ἃ ὁ πρῶτος ὁρισμὸς⟩ ὅλως ἔφη ἔφη] ἔφθην P 27 post ἀποροῦσι add. τινὲς c 28 pr. καὶ] κατὰ P 36 εἴρηται] v. 23 γὰρ om. Cc

ἀνδρῶν τε θεῶν τε λέγεται, οὐχ ὅτι καὶ τῶν ἄλλων οὐκ ἔστι πατήρ [κατὰ τοὺς Ἑλλήνων ψευδεῖς μύθους], ἀλλὰ διὰ τούτων καὶ τὰ λοιπὰ εἰσάγεται.

Ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ προσεχοῦς τέλους λαμβανόμενος ὁ λέγων αὐτὴν μελέτην θανάτου· ἐν γὰρ τῷ Φαίδωνι τῷ διαλόγῳ οὕτως ὁ Πλάτων ὁρίζεται· φησὶ γὰρ ὅτι 'κινδυνεύουσιν οἱ φιλοσοφοῦντες λεληθέναι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους μηδὲν ἕτερον μελετῶντες πλὴν ἀποθνήσκειν τε καὶ τεθνάναι', τοῦτ' ἔστιν ἢ καθαροὶ θέλουσι γίνεσθαι ἢ ἤδη κεκαθαρμένοι, ὧν τὸ μὲν θνήσκειν ἐνεστῶτος χρόνου ἐστὶ καὶ δηλοῖ τὸν καθαρτικὸν φιλόσοφον τὸ δὲ τεθάναι παρῳχηκότος καὶ δηλοῖ τὸν κεκαθαρμένον· ὡς συνάγεσθαι ὅτι οὐδὲν ἕτερον μελετῶσιν οἱ φιλόσοφοι ἢ καθαίρεσθαι ἢ κεκαθάρθαι, τοῦτ' ἔστι φιλοσοφία ἐστὶ μελέτη θανάτου. τὸ δὲ 'κινδυνεύουσιν' ἀντὶ τοῦ 'δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται.' ἐφ' οἷς ἀποροῦσι λέγοντες· τί φής, ὦ Πλάτων; ὁ φιλόσοφος, ὃν ἔθου τῷ θεῷ ὅμοιον ἐπὶ γῆς, τυραννίδα μελετᾷ κατὰ τοῦ δημιουργοῦ καὶ ὃν ἔδησεν ἐκεῖνος δεσμόν, οὗτος ἐπιχειρεῖ λύειν δίκην τῶν τὰς εἱρκτὰς δραπετευόντων δούλων παρὰ γνώμην τῶν ἀρχόντων; οὐκ αὐτὸς ἔφης ἐν τῷ αὐτῷ διαλόγῳ ἐναντίας φωνὰς 'ὡς ἔν τινι δὴ φρουρᾷ ἐσμεν καὶ οὐ δεῖ ταύτην λύειν, ἄχρις οὗ λύσει ὁ δήσας'; τί οὖν ποιητέον, ὦ Πλάτων; μελετητέον θάνατον διὰ τὴν πρώτην σου ῥῆσιν; οὐ μελετητέον θάνατον διὰ τὴν δευτέραν σου ῥῆσιν; πρὸς ὅ φαμεν ὅτι οὐ διαφωνεῖ ὁ Πλάτων ἑαυτῷ οὔτε ὁ φιλόσοφος προεξανίσταται τοῦ δημιουργοῦ καὶ ὃν ἔδησεν ἐκεῖνος δεσμόν, οὗτος ἐπιχειρεῖ λύειν. ἀλλ' ἐπειδὴ ὁ θάνατος διττός, μᾶλλον δὲ ἡ ζωή, ἵνα ἀπὸ τῶν σαφεστέρων ἄρξωμαι (σαφέστεραι γὰρ αἱ ἕξεις τῶν στερήσεων)· ἔστι γὰρ φυσικὴ ζωὴ καὶ προαιρετικὴ ζωή, καὶ φυσικὴ μὲν ζωή ἐστι δεσμὸς ψυχῆς καὶ σώματος, ὅτε ἡ ψυχὴ χορηγεῖ αἴσθησιν καὶ κίνησιν τῷ σώματι, ἣν πάντες οἱ ἄνθρωποι ὑπομένομεν, προαιρετικὴ δὲ ζωή ἐστι δεσμὸς ψυχῆς καὶ σώματος, ὅταν ἡμεῖς ἐπιτρέψωμεν τῇ ψυχῇ ἕπεσθαι ταῖς ἡδυπαθείαις τοῦ σώματος· φησὶ γὰρ οὕτως ὁ Πλάτων ὅτι | ἑκάστη ἡδονὴ δίκην ἥλου προσπερονᾷ τὴν ψυχὴν τῷ σώματι· ταύτην οὐ πᾶς ἄνθρωπος ζῇ, ἀλλ' ὁ ἀκόλαστος μόνον· εἰ οὖν διττὴ ἡ ζωή, καὶ ὁ θάνατος ἄρα διττός· ὁσαχῶς γὰρ τὸ ἀντικείμενον, τοσαυταχῶς καὶ τὸ ἀντικείμενον, ὄντων αὐτῶν ἰσοσθενῶν, ἐπεὶ ἀεὶ τὸ ἰσχυρότερον κατακρατήσει καὶ ἔσται ἕν, οὐκέτι δύο. φυσικὸς μὲν οὖν θάνατός ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος, ὃν πάντες ἄνθρωποι ὑπομένομεν, ἡνίκα μὴ χορηγεῖ ἡ ψυχὴ

---

1. 2 κατὰ τοὺς Ἑλλήνων ψευδεῖς μύθους inclusi (cf. p. 7,3) 4 λέγω c αὐτὸν P Φαίδωνι] Φαίδρῳ c (cf. p. 8,18 Phaedo p. 64 A) 5 λεληθῆναι P 8 διλοῖ C 8. 9 τὸν καθαρτικὸν — δηλοῖ om. P 9. 10 ante κεκαθαρμένον add. punctis del. τεθρ. C 11. 12 τὸ δὲ κινδυνεύουσιν — συνάγεται fort. eicias 15 et 21 δεσμόν P Dav.: δεσμιόν C: δέσμιον c 15 ἐπιχειρεῖν P 16 ἔφης] Phaedo. p. 62 B 17 δὴ] δὲ P 19 τὴν (ante πρώτην) om. c 19. 20 οὐ — ῥῆσιν iter. P 20 διαφονεῖ P 21 κατεξανίσταται P 24 καὶ προαιρετικὴ ζωή om. P μὲν om. Cc 26 οἱ om. P 28 ἡδειπαθείαις P φησὶ . . ὁ Πλάτων] Phaedo. p. 83 D 29 προσπερνᾷ P an ταύτην ⟨δὲ⟩? 31. 32 ἀντιπαρακείμενον P 33 οὖν om. Cc 34 χορηγῇ C

τῷ σώματι αἴσθησιν καὶ κίνησιν· προαιρετικὸς δὲ θάνατός ἐστιν, ἡνίκα μὴ συγχωροῦμεν τῇ ψυχῇ ἕπεσθαι ταῖς ἡδυπαθείαις, ἀλλ' ἐπιστατήσει λοιπὸν ἡ ψυχή, ὅτι αὐτὴ μὲν Ὀλυμπία γηγενὲς δὲ τὸ σῶμα, καὶ οὐ θέμις τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος ἄρχεσθαι. τοῦτον τὸν θάνατον οἱ φιλόσοφοι ὑπομένουσι μόνοι, περὶ ὧν φησιν ὁ ποιητής

διςθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι.

εἰ οὖν διττὸς ὁ θάνατος, οὐ διαφωνεῖ γε ἑαυτῷ ὁ Πλάτων, ποτὲ μὲν λέγων ὅτι δεῖ μελετᾶν τὸν θάνατον, ποτὲ δὲ λέγων μὴ λύειν, ἄχρις οὗ λύσει ὁ δήσας, ἀλλὰ τὸν μὲν φυσικὸν δεσμὸν ἐατέον τῇ φύσει λύειν, ὅτε φίλον αὐτῇ, τὸν δὲ προαιρετικὸν δεσμόν, ⟨ὃν⟩ ἡμεῖς ἐδήσαμεν, ἡμεῖς καὶ λύσωμεν, ἵνα πανταχοῦ τὰ τοῦ Πλάτωνος κρατῇ καὶ τὸ δῆσαν ἐκεῖνο καὶ τὴν λύσιν ἐπαγάγῃ. λέγουσι δὲ καὶ τοιαύτην διαίρεσιν, ὅτι τέσσαρά τινα παράκεινται ἀλλήλοις, εἶναι, μὴ εἶναι, εὖ εἶναι, κακῶς εἶναι, καὶ εἶναι μὲν ποιεῖ ἡ φυσικὴ ζωή, μὴ εἶναι δὲ ὁ φυσικὸς θάνατος, εὖ εἶναι ὁ προαιρετικὸς θάνατος, κακῶς εἶναι ἡ προαιρετικὴ ζωή. δύο δὲ οὐσῶν ἀντιθέσεων ἓξ γίνονται συμπλοκαί, ὧν αἱ μὲν τρεῖς συνίστανται, αἱ δὲ ἄλλαι τρεῖς ἀσύστατοί εἰσι, καθὼς τὸ διάγραμμα τοῦτο δηλοῖ·

φυσικὴ ζωή — ἀσύστατον — φυσικὸς θάνατος
συν-ί-στα-ται (left) | συνί-σταται / συνίσταται (diagonals) | ἀ-σύ-στα-τον (right)
προαιρετικὴ ζωή — ἀσύστατον — προαιρετικὸς θάνατος

Θάνατον οὖν μελετητέον, οὐ τὸν μὴ εἶναι ποιοῦντα, ἀλλὰ τὸν εὖ εἶναι. ἔστι δὲ φυσικὴ μὲν ζωὴ καὶ προαιρετικὸς θάνατος, ὅταν τῆς ψυχῆς χορηγούσης τῷ σώματι αἴσθησιν καὶ κίνησιν μὴ συγχωρῶμεν αὐτῇ ἕπεσθαι ταῖς ἡδυπαθείαις τοῦ σώματος, ἀλλ' ἄρχῃ τὸ κρεῖττον τοῦ χείρονος. φυσικὸς δὲ θάνατός ἐστι καὶ προαιρετικὴ ζωή, ὅταν αἱ φιλοσώματοι ψυχαὶ μετὰ τὸν φυσικὸν θάνατον περιπολῶσιν εἰς τοὺς τάφους σκιοειδῆ ποιοῦσαι φαντάσματα. καὶ τοῦτο αἰνίττεται Ὅμηρος, ἡνίκα φησὶν

ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.

φυσικὴ δὲ ζωὴ καὶ προαιρετικὴ ζωή ἐστιν, ὅταν τὴν κατὰ φύσιν ζωὴν

---

2 τῆς ἡδυπαθείαις P post ἀλλ' defectus esse videtur ἐπιστατήσει scripsi (cf. Plat. Gorg. p. 465 C): ἐπιστήσω (νοήσω, βουλεύσομαι, γνώσομαι in mrg. m.[2]) Cc: ἐπιστήσει P 3 τὸ σῶμα — φησιν (5) om. P (alt.) τὸ] τῷ C 5 φησιν ὁ ποιητής] Hom. μ 22 6 θνήσκουσ'] θνήσκουσιν CPc 7 γε om. P 8 — ρις οὗ in ras. C[2] 9 τὴν φύσει P ὅτε φίλον om. P 10 αὐτήν P ὃν inserui 11 κρατεῖ P an ἐκεῖνον ? 12 ἐπαγάγει Cc 13 εἶναι, μὴ in ras. C[2] 15 προερετικὴ C 17 δίγραμα C διλοῖ C 18 ἀσύστατον (in dextro figurae latere) om. Cc 24 ἀλλὰ τὸ εὖ P 25 ὅταν] ὅτε Cc (cf. v. 28. 32) 26 μὴ] μηδὲ P 27 ἄρχει P 30 καὶ τοῦτο αἰν. Ὅμηρος] κατὰ τὰς τῶν Ἑλλήνων δόξας καὶ φλυαρίας, καθὼς καὶ Ὅμηρος τοῦτο αἰνίττεται Cc (cf. p. 7,3. 12,1) ἡνίκα φησὶν] Π 857 31 ἀνδρότητά (sic) τε Cc 32 φυσικὴ δὲ ζωὴ] φυσικὸς δὲ θάνατος P

ζῶντες ἀκολάστως τὸν βίον μετερχώμεθα. ἐβουλόμην δὲ τούτων τῶν λόγων ἀκοῦσαι Κλεόμβροτον· οὗτος γὰρ περινοήσας τὸ ἐν Φαίδωνι ῥητὸν * *, ὡς δηλοῖ τὸ εἰς αὐτὸν ἐπίγραμμα τοῦ Καλλιμάχου οὕτω λέγον· 15

Εἴπας "Ἥλιε χαῖρε" Κλεόμβροτος Ἀμβρακιώτης
5 ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀίδην,
ἄξιον οὔτι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

ἐγὼ δὲ τἀναντία ἐκείνῳ φημὶ ἔπη οὕτως· 20

εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν,
10 ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν,

τοῦτ' ἔστιν εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινον ἂν μὴ εἶναι ἢ κακῶς εἶναι. ἔστιν οὖν τις θάνατος ζωῆς τινος κρείττων, ὃν ἡ 25 φιλοσοφία μελετᾶν ἀεὶ ἐπαγγέλλεται.

Πρᾶξις ς'.

15 Οὐ μόνος ὁ Κλεόμβροτος, ἀλλὰ καὶ οἱ Στωϊκοὶ φιλόσοφοι οἷον Κλεόμβροτοί τινες ὄντες τὴν φιλοσφίαν ὑπέλαβον μελέτην εἶναι τοῦ φυσικοῦ θανάτου. διὸ καὶ πέντε τρόπους εὐλόγου ἐξαγωγῆς ἔγραψαν· ἔοικε γάρ, 30 φασίν, ὁ βίος μακρῷ συμποσίῳ, ἐν ᾧ δοκεῖ εὐωχεῖσθαι ἡ ψυχή, καὶ παρ' ὅσους τρόπους λύεται τὸ συμπόσιον, παρὰ τοσούτους τρόπους γίνονται καὶ 20 αἱ εὔλογοι ἐξαγωγαί· | λύεται γὰρ τὸ συμπόσιον κατὰ πέντε τρόπους· ἢ 404 διὰ χρείαν μεγάλην ἄφνω καταλαβοῦσαν οἷον παρουσίαν φίλου διὰ χρόνου (ὑπὸ χαρᾶς γὰρ ἀνίστανται οἱ φίλοι καὶ λύεται τὸ συμπόσιον), ἢ διὰ τοὺς ἐπεισκωμάζοντας καὶ αἰσχρορρημονοῦντας λύεται ὁμοίως τὸ συμπόσιον, ἢ 5 διὰ τὸ νεκρὰ καὶ νοσώδη εἶναι τὰ παρατιθέμενα ἢ διὰ σπάνιν ἐδεσμάτων ἢ 25 διὰ μέθην λύεται τὸ συμπόσιον. κατὰ τοὺς αὐτοὺς οὖν πέντε τρόπους γίνονται καὶ εὔλογοι ἐξαγωγαί· ἢ διὰ χρείαν μεγάλην καταλαβοῦσαν, ὡς προσέταξεν ἡ Πυθία τινὶ ἀποσφάξαι ἑαυτὸν ὑπὲρ τῆς ἰδίας πόλεως, φθορᾶς τῇ πόλει ἐπικειμένης, ὅπερ πεποίηκεν ὁ Μενοικεὺς ἀποσφάξας ἑαυτὸν ὑπὲρ 10 τῆς ἰδίας πατρίδος καὶ σώσας αὐτήν. ἢ διὰ τοὺς ἐπεισκωμάζοντας τυράννους 30 καὶ ἀναγκάζοντας ἡμᾶς ἢ πράττειν αἰσχρὰ ἢ λέγειν τὰ ἀπόρρητα· οὕτω

---

1 μετερχόμεθα Cc ἠβουλόμην P 1. 2 τούτων ἀκοῦσαι τῶν λ. colloc. P
2 περινοήσας — οὕτω (3) om. P post ῥητὸν defectum signavi: ἀπὸ τοῦ τείχους ἑαυτὸν κατεκρήμνισε Amm. (p. 4,20): ῥίψας ἑαυτὸν ἐκ τοῦ τείχους ἐτελεύτησε Dav. (Brand. p. 13b36)
3 ἐπίγρ. τοῦ Καλλ.] fr. XXIII ed. Wilam. (Berol. 1897) λέγων P 4 εἶπας CPc Ὠμβρακ. Anth. P. 5 ἧλλατ' Cc ὑψηλοῖο Cc τείχεως Cc ἐς Cc
6 οὔτι παθὼν] οὐδὲν ἰδὼν Anth., Amm. πλάττωνος C 7 ἓν τὸ] ἐν τῷ CPc, Anth.
8 ἐγὼ] cf. Busse *Porph. Is.* p. XLI ἔπη] ἐπεὶ P 9 ἐμὴν PDav. coni. Cramer: ἐμ (una litt. erasa) C: ἓν c 10 ἔλυσα P Dav.: ἔδησα Cc πολλὺ κηδέα C: πολὺ κηδέα c
11 εἰ] ἡ C an ⟨πρὸς⟩ τρόπον? 15 οἱ Στωϊκοὶ] cf. Zelleri Ph. Gr. IV³ p. 305
18 φασίν scripsi: φησίν libri 20 αἱ om. Cc γὰρ] δὲ c 21 παρουσία P (cf. Olymp. schol. in Plat. Phaedo. p. 5,25 Finckh) post παρουσίαν spatium XI fere litt. vacuum C
3 ἐπισκωμάζοντας P αἰσχρορημονοῦντας C 24 σπάνην P 28 Μενικεὺς P (cf. Eur. Phoen. 768) 29 ἐπισκωμάζοντας CP 30. p. 15,1 οὕτω γοῦν] οὕτως Cc

γοῦν Πυθαγόρειον γύναιον ὑπὸ τυράννου συσχεθὲν καὶ ἀναγκαζόμενον ἐξ-
ορχήσασθαι τὰ ἀπόρρητα, τοῦτ' ἔστι τὴν αἰτίαν εἰπεῖν, δι' ἣν οὐκ ἐσθίουσι 15
κυάμους (ἦν γὰρ παρ' αὐτοῖς τὸ

ἶσόν τοι κυάμους φαγέειν κεφαλάς τε τοκήων),

5 ἔφη 'φάγοιμι ἂν ἢ εἴποιμι,' τοῦ δὲ φαγεῖν ἀναγκάζοντος πάλιν εἶπεν 'εἴποιμι
ἂν ἢ φάγοιμι.' τέλος οὖν ἀναγκαζομένη δυοῖν θάτερον πρᾶξαι, ἢ φαγεῖν 20
ἢ εἰπεῖν, μασησαμένη τὴν ἑαυτῆς γλῶτταν ἀπέτεμεν ὡς ὄργανον διαλέκτου
καὶ γεύσεως, καὶ ἐντεῦθεν αἰκιζομένη μετήλλαξε τὸν βίον. ἢ διὰ μακρὰν
νόσον κωλύουσαν ἐπὶ πολὺ ὀργάνῳ χρῆσθαι τὴν ψυχὴν τῷ σώματι εὐλόγως
10 δεῖ ἐξάγειν αὐτήν· διὸ καὶ ὁ Πλάτων οὐκ ἀποδέχεται τὸ διαιτητικὸν τῆς
ἰατρικῆς ὡς παιδαγωγοῦν τὰ νοσήματα καὶ ποιοῦν ἐγχρονίζειν, ἀλλ' ἀπο- 25
δέχεται τὸ χειρουργικὸν καὶ φαρμακευτικόν, ᾧ ἐχρῆτο Ἀρχιγένης ὁ στρατό-
πεδον θεραπεύων. φησὶ δὲ καὶ Σοφοκλῆς

οὐ πρὸς ἰατροῦ σοφοῦ

15 θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι τραύματι.

ἢ διὰ πενίαν· καὶ καλῶς φησιν ὁ Θέογνις 20

χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.

ἢ διὰ λῆρον· ὥσπερ γὰρ ἐκεῖ ἡ μέθη ἔλυε τὸ συμπόσιον, οὕτως κἀνταῦθα
20 εὐλόγως ἔστι τινὰ ἐξαγαγεῖν ἑαυτὸν διὰ λῆρον· οὐδὲν γάρ ἐστι | λῆρος, εἰ 405
μὴ φυσικὴ μέθη, καὶ οὐδέν ἐστι μέθη, εἰ μὴ προαιρετικὸς λῆρος. καὶ
ταῦτα μὲν περὶ τούτου.

Ὁ μέντοι Πλωτῖνος περὶ εὐλόγου ἐξαγωγῆς γράφει μονόβιβλον καὶ οὐ-
δένα τῶν πέντε τρόπων τούτων ἀποδέχεται· φησὶ γὰρ ὅτι ὥσπερ ὁ θεὸς 5
25 οὐκ ἀφίσταται ἡμῶν προνοούμενος, ἀλλ' ἡμεῖς ἑαυτοὺς ποιοῦμεν ἀνεπι-
τηδείους καὶ νομίζομεν τὸν θεὸν πόρρω εἶναι ἀφ' ἡμῶν ἀεὶ παρόντα πᾶσιν
ἐπίσης, ὡς δηλοῦσιν οἱ καθαροὶ τὸν βίον, αὐτόπται τοῦ θείου καὶ συνομιληταὶ
γινόμενοι· ὥσπερ καὶ ὁ ἥλιος χορηγεῖ ἐπίσης τὸ φῶς, ἀλλ' αἱ νυκτερίδες 10
ἀνεπιτήδειοι οὖσαι ἀποφεύγουσιν αὐτὸν καὶ οὐ φωτίζονται ἐξ αὐτοῦ, ἀλλὰ
30 σκότος αὐτὸν νομίζουσιν εἶναι πηγὴν φωτὸς ὑπάρχοντα· οὕτως δεῖ καὶ
τὸν φιλόσοφον μιμούμενον θεὸν καὶ ἥλιον μὴ ἀμελεῖν πάντῃ τοῦ σώματος
δι' ἐπιμέλειαν τῆς ψυχῆς, ἀλλὰ τὴν προσήκουσαν αὐτοῦ ποιεῖσθαι πρόνοιαν,

---

1 πυθαγόρον Cc (cf. Zelleri Ph. Gr. I⁴ p. 288. 291 not. 1 297 not. 2) ἀναγκαζομένη P 3 παρ' om. P τὸ om. Brand. 4 τοι] τὸ P 5. 6 ἢ] εἰ utrobique coni. Brand. (p. 8ᵃ 1 not.): φάγοιμι ἂν ἢ εἴπομι ἄν et εἴποιμι ἂν ἢ φάγοιμι ἄν Olympiodori meliores codd. (Finckhius utrobique haud recte εἰ pro ἤ; cf. Nauck ad Iambl. De Pythag. vita 193 sq. p. 139,9) 5 φαγεῖν om. Cc 10 ὁ om. Cc Πλάτων] Reipubl. III, 15 p. 477 D ἀποδέχεται] ἀπο in ras. C² 12 Ἀρχιγ.] cf. Pauly-Wissowa, Encycl. II p. 484 ὁ] ὡς P 13 θεραπεῦον P Σοφοκλῆς] Ai. 581 15 στομῶντι Cc τραύμ.] πήματι Soph. 16 Θεόγνης P (v. 175 Bergk) 17 βαθυκήτεα Theogn. codd. 20 εὐλόγως om. Cc αὐτὸν ἐξαγάγαι P εἰ] ἢ P 21 καὶ οὐδέν ἐστι μέθη in mrg. C² 23 Πλωτῖνος περὶ εὐλόγου ἐξαγωγῆς] Enn. I lib. 9, sed quae sequuntur, apud Plotinum frustra quaeras. 23. 24 οὐδὲ ἕνα P 27 θείου] θεί in ras. C² 29 ἀνεπιτήδειαι P post αὐτὸν XVII litt. erasae C 30 πηγὴν φωτὸς ὑπάρχοντα] παρέχοντα πηγὴν φωτός P 31 πάντα Cc

ἕως οὗ ἐκεῖνο ἀνεπιτήδειον γενόμενον διαστήσοι ἑαυτὸ τῆς πρὸς τὸ σῶμα κοινωνίας· ἄτοπον γὰρ τὸ πρὸ καιροῦ ἐξάγειν ἑαυτόν, πρὸ οὗ λύσῃ ὁ δήσας. δηλοῦσι δὲ καὶ οἱ Ῥωμαίων νόμοι, μὴ πρότερον ταφῇ παραδιδόντες τὰ τῶν ἐξαγαγόντων ἑαυτοὺς σώματα, πρὶν ἂν αἰκίσωνται κατὰ τῶν ποδῶν, ᾗ καὶ ἔστιν εἰπεῖν ἐπ' αὐτῶν τὸ ῥηθὲν ὑπὸ τοῦ ποιητοῦ ἐπὶ τῷ σώματι τοῦ Ἕκτορος

κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

καὶ ταῦτα μὲν περὶ τούτου.

Ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ πόρρω αὐτῆς τέλους λαμβανόμενος ὁ λέγων αὐτὴν 'ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'· ἐν γὰρ τῷ Θεαιτήτῳ τῷ διαλόγῳ πρός τινα Θεόδωρον Κυρηναῖον γεωμέτρην εἰσάγει τὸν Σωκράτη τὸν ἑαυτοῦ διδάσκαλον ὁ Πλάτων διαλεγόμενον. ἔχει δὲ ἡ ῥῆσις οὕτω· 'ἀλλ' ἐπεὶ τὰ κακά, ὦ Θεόδωρε, ἐνθάδε καὶ τόνδε τὸν βίον περιπολεῖ, φευκτέον ἐνθένδε.' 'τίς δὲ φυγή;' εἰπόντος τοῦ Θεοδώρου, τοῦ πρὸς ὃν ὁ λόγος, ἔφη ὁ Σωκράτης 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ.' 'καὶ τίς ὁ τρόπος τῆς ὁμοιώσεως;' εἰπόντος ἔφη 'δίκαιον γενέσθαι καὶ ὅσιον μετὰ φρονήσεως καὶ ταῦτα γινώσκειν.' ταῦτα μὲν οὖν ὁ Πλάτων.

Ἀποροῦσι δέ τινες ὅτι 'πῶς δύναται ὁ φιλόσοφος ὅμοιος τῷ θεῷ | γενέσθαι;' καὶ λέγομεν ὅτι ἐπειδὴ ἔχει τὰ χαρακτηρίζοντα τὸ θεῖον· οἱ γὰρ ποιηταὶ τρισσῶς τὸ θεῖον χαρακτηρίζουσι, τῷ ἀγαθῷ, τῷ δυνατῷ, τῷ γνωστικῷ, ὡς δηλοῖ τὸ

θεοὶ δωτῆρες ἑάων,
θεοὶ δέ τε πάντα δύνανται,
θεοὶ δέ τε πάντα ἴσασιν.

οὐκ ἀσφαλῶς δὲ ἐνταῦθα εἴρηται τὸ θεῖον πάντα δύνασθαι διὰ τὸ ἀδυναμεῖν περὶ τὸ κακοποιεῖν ὑπερβολῇ ἀγαθότητος· ὡς γὰρ τὸ πῦρ ψύχειν οὐ δύναται διὰ τὸ ἐν θερμότητι αὐτὸ οὐσιῶσθαι καὶ ἡ χιὼν θερμαίνειν οὐ δύναται διὰ τὸ ἐν ψυχρότητι αὐτὸ οὐσιῶσθαι, οὕτω καὶ τὸ θεῖον κακοποιεῖν οὐ δύναται διὰ τὸ ἐν ἀγαθότητι αὐτὸ οὐσιῶσθαι. οὕτω γοῦν καὶ ἐπὶ τῶν ἀνθρώπων ἔστιν ἰδεῖν ὅτι τινὲς ὄντες φύσει ἀγαθοί, κἂν εἰ ἐπιτηδεύσωσι κακοὶ γενέσθαι, οὐ δύνανται. δυνατὸν δὲ καὶ τὸ ὑπὸ τῶν ποιητῶν εἰρημένον εἶναι ἀληθές· τὸ γὰρ κακοποιεῖν οὐκ ἔστι δύναμις ἀλλ' ἀδυναμία ἀγαθότητος, ὥσπερ καὶ αἱ συμβαίνουσαι ἀρρωστίαι ἐξ ἀδυναμίας τοῦ ὑγιαίνειν γίνονται. ἐπειδὴ δὲ ἄλλο τὸ ἐν τῷ θεῷ ἀγαθὸν καὶ δυνατὸν καὶ γνωστικὸν

---

1 ἀνεπιτήδιον P ἑαυτὸν P τὸ σῶμα] scribas τὴν ψυχὴν 2 πρὸ οὗ scripsi: πρὸ τοῦ CPc λύσει Cc 3 τὰ om. P 4 ἐξαγόντων P αἰκίσονται P; an αἰκίζωνται? ᾗ] εἰ Cc 5 ὑπὸ τοῦ ποιητοῦ] Hom. Ω 54 τὸ σώματι P 7 κωφῆ Cc γαῖαν] γῆ Cc ἀεικίζει] ἀναικίζεις Cc: ἀεὶ αἰκίζει P 11 Θεαιτήτῳ] p. 176 A sq. 12 Σωκράτην P 13 ἐνθάδε scripsi: ἔνθα τε Cc: ἔνθα πτε P: ἐνταῦθα Plotin. (Enn. I, 2, 1 p. 11): τὴν θνητὴν φύσιν Plat. βίον] τόπον Plat. Plotin. 14 περιπολεῖ Plat. Plot.: περιπλεῖ CPc 16 ὁμοιότητος Cc 20 λέγουσι Brand. 23 Hom. ϑ 325 24 τε] γε P (cf. Hom. κ 306) 25 τε om. P (cf. Hom. δ 379. 468) 26 ἐνταῦθα in ras. P 29. 30 οὕτω καὶ τὸ θεῖον — οὐσιῶσθαι om. c 32. 33 εἰρημένων P

καὶ ἄλλο τὸ ἐν τῷ φιλοσόφῳ· τὸ μὲν γὰρ ἐν τῷ θεῷ ἀγαθὸν οὐκ ἄλλο
παρ' αὐτόν ἐστιν, ἀλλ' αὐτοαγαθότης ἐστὶ τὸ μεθεκτὸν ἀγαθόν, τὸ δὲ ἐν
τῷ φιλοσόφῳ ἀγαθὸν μεθεκτὸν καὶ ἄλλο παρ' αὐτόν, ὡς λελευκωμένον ξύλον 20
ἕτερον ὂν παρὰ τὸ λευκόν. ἀλλὰ καὶ τὸ δυνατὸν τοῦ θεοῦ ἕτερον· ὁ γὰρ
5 θεὸς πάντα, ὅσα βούλεται, δύναται, ὁ φιλόσοφος δὲ οὐ πάντα, ὅσα βούλεται,
δύναται· ἀληθὲς γὰρ

οὔποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων. 25

ἀλλ' οὐδὲ τὸ γνωστικὸν τοῦ θεοῦ καὶ τοῦ φιλοσόφου ὅμοιον· ὁ γὰρ θεὸς
10 καὶ πάντα οἶδε καὶ ἅμα καὶ ἀεί, ὁ δὲ φιλόσοφος πάντα μὲν ἐπαγγέλλεται
εἰδέναι, οὐχ ἅμα δέ, ἀλλ' ἕκαστον ἰδίᾳ προχειρίζεται, καὶ οὐκ ἀεὶ αὐτὰ
οἶδεν, ἀλλὰ ποτέ, ὡς δηλοῖ ὁ Πλάτων λέγων ὅτι 'ἀγαπητὸν ὅτῳ κἂν ἐν 30
γήρᾳ παρῇ σοφία καὶ φρόνησις'· διὰ τοῦτο πρόσκειται 'κατὰ τὸ δυνατὸν ἀν-
θρώπῳ,' ὅτι ὡς ἐνδέχεται ἄνθρωπον θεῷ ὁμοιωθῆναι, ὁ φιλόσοφος ὁμοι-
15 οῦται· δεῖ γὰρ αὐτὸν ἐν ἅπασι τὸν θεὸν μιμεῖσθαι, ἐν μὲν τῷ ἀγαθῷ,
ἵνα προνοῇ | καὶ αὐτὸς τῶν ἀτελεστέρων ψυχῶν (ὥσπερ ὁ Σωκράτης περι- 407
ερχόμενος τὰ ἐργαστήρια καὶ ἐκλεγόμενος τὰς ἐπιτηδείας φύσεις πρὸς φιλο-
σοφίαν), ἐν δὲ τῷ δυνατῷ, ἵνα διὰ μηχανῆς τινος δυνηθῇ τὸ παντοδύναμον
τοῦ θεοῦ πορίσασθαι, εἰ μόνα ἐκεῖνα βούλεται, ὅσα δύναται, καὶ μὴ ἀλλο- 5
20 κότων ὀρέγεται, οἷον ἵπτασθαι, ἐν δὲ τῷ γνωστικῷ, ἵνα πάντων ἐπίστηται
τὰς αἰτίας.

Ἐφ' οἷς καὶ ἀποροῦσιν ὅτι 'εἰ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον, ἔσται καὶ ὁ
θεὸς τῷ φιλοσόφῳ ὅμοιος, εἰ ὁ φιλόσοφος τῷ θεῷ, καὶ οὐδὲν πλέον ἕξει
ὁ θεὸς ἡλικίᾳ τοῦ φιλοσόφου'. πρὸς ὃ λεκτέον ὅτι παραλογισμός ἐστι τὸ
25 τοιοῦτο· καθ' ἃ μὲν γὰρ ἐοίκασιν ἀλλήλοις, οὐδὲν διαφέρουσιν, κατ' ἄλλα 10
δὲ πολλὰ διαφέρουσιν· ὥσπερ ἡ εἰκὼν τοῦ Σωκράτους ὁμοία ἐστὶν αὐτῷ,
διαφέρει δὲ ὁ Σωκράτης τῆς εἰκόνος, ὡς ἔμψυχον ἀψύχου, οὕτω καὶ ὁ
θεὸς διαφέρει τοῦ φιλοσόφου ὡς ἔμψυχον ἀψύχου καὶ ὡς παράδειγμα ἀρχε-
τύπου. ἢ καὶ ἄλλως· ὅτι ἡ μὲν εἰκὼν τῷ Σωκράτει λέγεται ὁμοία, ὁ δὲ 15
30 Σωκράτης τῇ εἰκόνι οὐ λέγεται ὅμοιος ὡς ἀρχέτυπον, οὕτως καὶ ἐπὶ θεοῦ
καὶ φιλοσόφου· ὁ μὲν φιλόσοφος λέγεται τῷ θεῷ ὅμοιος ὡς εἰκὼν ἀρχε-
τύπῳ, ὁ δὲ θεὸς ἐπειδὴ ἀρχέτυπον τῷ φιλοσόφῳ ὡς εἰκόνι ἰδίᾳ οὐκ ἔστιν
ὅμοιος. ἢ καὶ ἄλλως· ὅτι ὁ μὲν φιλόσοφος μετέχει τοῦ θεοῦ τῷ ἀγαθῷ
καὶ δυνατῷ καὶ γνωστικῷ, μετέχεται δὲ ὁ θεὸς ὁμοίως ὑπὸ τοῦ φιλοσόφου 20
35 τοῖς αὐτοῖς καὶ κατὰ τοῦτο λέγεται ὅμοιος.

---

1 οὐκ ἄλλο — ἐν τῷ φιλοσόφῳ ἀγαθὸν (3) om. P 2 τὸ μεθ. ἀγαθόν eicias, nisi malis οὐδὲ μεθ. ἀγ. 3 ἄλλῳ P 7 φῦλον] φύσιν P (cf. Hom. E 441) 10 οἶδε] εἶδεν P 12 ὁ Πλάτων] φρόνησιν δὲ καὶ ἀληθεῖς δόξας βεβαίους, εὐτυχὲς ὅτῳ καὶ πρὸς τὸ γῆρας παρεγένετο Leg. II p. 653 A (cf. Cic. De fin. V, 21, 58) 13 κατὸ C 15 ἅπασι] πάσῃ P 19. 20 ἀλοκότων C 20 ἵππασθαι Cc ἐπίστηται scripsi: ἐπίσταται CPc 23 ὅμοιος — θεῷ om. P πλέον ἕξει] πλεονάζει P 24 ἡλίκον Cc 26 an ὥσπερ ⟨γὰρ⟩? 27. 28 ἀψύχῳ Cc (utrobique) 28 διαφέρει] διὰ P 29 ἢ] εἰ P; an ⟨ὥσπερ⟩ ἡ? Σωκράτη P 30 ὅμ. ὡς] ὁμοίως (ο superscr.) P 31. 32 ἀρχετύπου P 32 εἰκὼν ἡ ἰδία P 33 ὁμοία P 34 καὶ γνωστικῷ καὶ δυνατῷ colloc. P

Πρᾶξις ζ'.

Ἐπειδὴ μὴ ἠρκέσθη ὁ Πλάτων εἰπεῖν τὴν φιλοσοφίαν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἀλλὰ καὶ τὸν τρόπον τῆς ὁμοιώσεως προσέθηκεν εἰπὼν 'ὁμοίωσις δέ ἐστι δίκαιον καὶ ὅσιον γενέσθαι μετὰ φρονήσεως καὶ ταῦτα γινώσκειν', φέρε τρία τινὰ ζητήσωμεν· πρῶτον μὲν διὰ τί προσέθηκε τῷ δικαίῳ τὸ ὅσιον, δεύτερον διὰ τί τεσσάρων οὐσῶν ἀρετῶν δύο μόνων ἐμνήσθη, δικαιοσύνης καὶ φρονήσεως, τρίτον διὰ τί εἶπε 'καὶ ταῦτα γινώσκειν'. καὶ πρὸς μὲν τὸ πρῶτον, ἐν ᾧ ἐζητήσαμεν διὰ τί προσέθηκε τῷ δικαίῳ τὸ ὅσιον (φαίνεται γάρ, φασίν, ἐκ τούτου ἀδολεσχῶν ὁ Πλάτων καὶ τὰ αὐτὰ λέγων, ἐπεὶ μηδὲν διαφέρει τοῦ δικαίου τὸ ὅσιον), λεκτέον ὅτι οὐκ ἀδολεσχεῖ ὁ Πλάτων· πολὺ γὰρ τὸ διάφορον τούτων· δίκαιον μὲν γάρ ἐστι τὸ πρὸς ἀνθρώπους τὰ καθή|κοντα πράττειν, ὅσιον δὲ τὸ πρὸς τὸ θεῖον τὰ πρέποντα διαπράττεσθαι, ὅθεν τοὺς περὶ τὰ ἱερὰ ἠσχολημένους ὁσίους καλοῦμεν· ἐπιτεταμένη γὰρ δικαιοσύνη ἡ ὁσιότης, διὸ καὶ ἡ ἐπιτεταμένη ἀδικία ἀνοσιότης λέγεται· τὸ γὰρ δίκαιον πρὸς τὰ ὅμοια λέγεται, οἷον πρὸς ἀνθρώπους, τὸ δὲ ὅσιον πρὸς τὰ κρείττω. τὸ οὖν δίκαιον ἢ πρὸς τὰ κρείττονα λέγεται καὶ ποιεῖ τὸ ὅσιον, ἢ πρὸς τὰ χείρω καὶ λέγεται κηδεμονικόν. τὴν δὲ διαφορὰν τοῦ δικαίου καὶ τοῦ ὁσίου οὐδὲ ὁ Πλάτων ἠγνόησεν· δύο γὰρ διαλόγους γράψας, Εὐθύφρονα καὶ Πολιτείαν, τὸν μὲν Εὐθύφρονα ἐπέγραψεν "Εὐθύφρων ἢ περὶ ὁσίου", τὴν δὲ Πολιτείαν "Πολιτεία ἢ περὶ δικαίου"· ἡ γὰρ πολιτεία ἀνθρώπων ἐστί. καὶ καλῶς κλιμακηδὸν προῆλθεν ὁ λόγος· πρότερον γὰρ τὸ δίκαιον τοῦ ὁσίου· οὐδὲ γὰρ δυνατὸν εἶναί τινα ὅσιον μὴ γενόμενον δίκαιον, ὥσπερ οὐ δυνατὸν τὸν πρὸς ἀνθρώπους τὰ καθήκοντα μὴ πράττοντα πρὸς τὸ θεῖον ταῦτα ἐπιτηδεύειν. ἐν τούτοις οὖν ἡ λύσις τῆς πρώτης ζητήσεως.

Δεύτερον κεφάλαιον. χρὴ ζητῆσαι διὰ τί τεσσάρων οὐσῶν ἀρετῶν δύο μόνων ἐμνήσθη. καὶ λέγομεν ὅτι τῶν δύο τῶν τιμιωτέρων μνησθεὶς καὶ τὰς ἄλλας περιέλαβε· τιμιώτεραι γὰρ αὗται τῶν ἄλλων, ὡς δείξομεν· τριῶν γὰρ ὄντων μορίων τῆς ψυχῆς, λογικοῦ, θυμικοῦ, ἐπιθυμητικοῦ, ἑκάστη τῶν ἄλλων ἑνὶ μορίῳ ἐποχεῖται (ἡ μὲν φρόνησις τῷ λόγῳ, ἡ δὲ ἀνδρία τῷ θυμῷ, καὶ ἡ σωφροσύνη τῇ ἐπιθυμίᾳ), ἡ δὲ δικαιοσύνη οὐκ ἠξίωσεν ἑνὶ μορίῳ ἐποχεῖσθαι τῆς ψυχῆς, ἀλλὰ διὰ τῆς τριμερείας πεφοίτηκεν· δικαιοσύνης γὰρ τὸ τὸν κατ' ἀξίαν κόσμον ἐπάγειν τῷ κοσμουμένῳ· ὅταν γὰρ ἕκαστον ἰδιοπραγῇ κατὰ φύσιν ἔχον, οἷον ἵνα ὁ λόγος ἄρχῃ ὡς ὁ βασιλεύς, ὁ θυμὸς ἄρχῃ καὶ ἄρχηται (ἄρχῃ μὲν τῆς ἐπιθυμίας, ἄρχηται

---

2 εἰρκέσθην P 3. 4 προσέθηκεν] προσέοικεν P 4 εἰπὼν] cf. p. 16,16 6 τί om. P 7 μόνον P 9 φασίν scripsi: φησίν CPc 11 πολλὺ P post τούτων add. τί διαφέρει δίκαιον ὁσίου Cc 15 τὸ γὰρ δίκαιον — λέγεται (16) P 16 κρείττω — δίκαιον ἢ πρὸς τὰ (17) om. P; fort. τὸ οὖν δίκαιον — κηδεμονικόν (18) eicias 18 κηδαιμονικόν C 20 εὐθύφρον (alt. l.) P 22 κλημακιδὸν P 23 δύναται P ὅσπερ c 25 οὖν] δὲ C: δὴ c 27 μόνον P (cf. v. 7) 28 δείξωμεν P 30 ἀνδρεία (ubique) P 33 ἐπάγει P 34 ἔχων P alt. ὁ om. P 35 ἄρχει (utrobique) P

δὲ ὑπὸ τοῦ λόγου) ἀναλογῶν στρατιώταις, ἡ ἐπιθυμία ἄρχηται ἐοικυῖα 30
δήμῳ, τότε ἐπιφαίνεται ἡ δικαιοσύνη ἁρμονία τις οὖσα τούτων. ὅτι δὲ δι᾿
ὅλης τῆς ψυχῆς πεφοίτηκεν ἡ δικαιοσύνη, δηλοῦσιν οἱ ἀδικούμενοι νεκροὺς
ἑαυτοὺς καλοῦντες καὶ ἀνοσίους, ὡς τῆς | οὐσίας αὐτῶν ἐστερημένης τοῦ 409
5 δικαίου οἷον συνέχοντος αὐτὴν καὶ ζωοῦντος. διὸ καὶ ἀποροῦσί τινες ὅτι 'εἰ
ἡ δικαιοσύνη ἁρμονία ἐστὶ τῶν ἄλλων καὶ ἕπεται αὐταῖς, πῶς συναριθμεῖται
αὐταῖς κοινὴ αὐτῶν οὖσα;' καὶ λέγομεν ὅτι τὸ κοινὸν διττόν, ἢ ὡς γένος
εἰς εἴδη διαιρούμενον οἷον τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον (τότε γὰρ οὐ 5
συναριθμεῖται τὸ γένος τοῖς εἴδεσιν), ἢ ὡς κτῆμα, ὅτε καὶ συναριθμεῖται·
10 οἷον ὑποκείσθωσαν τρεῖς τινες ἔχοντες τρεῖς οἰκέτας, ἕκαστος ἕνα ἴδιον, ἐχέ-
τωσαν δὲ καὶ ἕνα κοινόν, οὗτος συναριθμεῖται τοῖς ἄλλοις, ὡς εἶναι τέσσαρας.
οὕτως οὖν κἀνταῦθα ληπτέον· αἱ γὰρ ἀρεταὶ κτῆμά εἰσι τῆς ψυχῆς, ἑκάστη 10
ἑνὶ μορίῳ ἐποχουμένη, κοινὸν δὲ κτῆμα τῆς τριμερείας τῆς ψυχῆς ἡ
δικαιοσύνη, διὸ καὶ συναριθμεῖται ταῖς ἄλλαις ἀρεταῖς, καί εἰσι τέσσαρες.
15 ἔδειξεν οὖν ὁ λόγος ὅτι τιμιωτέρα ἡ δικαιοσύνη ὡς διὰ τῆς τριμερείας τῆς
ψυχῆς πεφοιτηκυῖα, μετ᾿ αὐτὴν ἡ φρόνησις ὡς ἐν τῷ τιμιωτέρῳ μορίῳ τῆς 15
ψυχῆς τῷ λόγῳ ἐποχουμένη, μετ᾿ αὐτὴν ἡ ἀνδρία ὡς ἐν τῷ θυμοειδεῖ
ἐποχουμένη, καὶ τετάρτη ἡ σωφροσύνη ὡς ἐν τῇ ἐπιθυμίᾳ τῇ χείρονι ἐπο-
χουμένη. ἔργον δὲ τῆς μὲν δικαιοσύνης τὸ τὸν κατ᾿ ἀξίαν κόσμον ἐπά-
20 γειν τῷ κοσμουμένῳ, τῆς δὲ φρονήσεως τὸ τὰ δέοντα ποιεῖν, τῆς ἀνδρίας 20
τὸ νικᾶν τὸ ἀνθιστάμενον, τῆς σωφροσύνης τὸ μὴ εἴκειν τῷ χείρονι· εἰ
γάρ ἐστι καὶ ἀνδρίας τὸ μὴ τῷ χείρονι εἴκειν, ἀλλ᾿ οὖν κυρίως τὸ χεῖρον
ἐπὶ τῆς ἡδονῆς λέγεται ἐγκατακεχωσμένης τῷ σώματι, ὁ δὲ θυμὸς περι-
χωριστὸν ἔχει τέλος ἀντιλυπῆσαι τὸν λυπήσαντα· ὁ γὰρ λυπήσας ἐκτός.
25 εἰ οὖν ταῦτα οὕτως ἔχει, ὁ ἔχων μίαν ἀρετὴν καὶ τὰς λοιπὰς ἕξει, καὶ 25
ἔσται ἑκάστη αὐτῶν δικαιοσύνη τὸν πρέποντα κόσμον ἐπάγουσα τῷ κοσμου-
μένῳ, ἑκάστη φρόνησις τὰ δέοντα ποιοῦσα, ἑκάστη ἀνδρία νικῶσα τὸ ἀνθι-
στάμενον, ἑκάστη σωφροσύνη μὴ εἴκουσα τῷ χείρονι. καὶ ταῦτα μὲν περὶ
τούτου.

30 Τρίτον ἐστὶ κεφάλαιον ζητῆσαι διὰ τί εἶπε τὸ 'καὶ ταῦτα γινώσκειν'. 30
καὶ λέγομεν ὅτι εὐλόγως, ἵνα ἔχοιμεν ἀρετὰς τὰς μετὰ παιδείας καὶ πόνου
παραγινομένας, καὶ μὴ τὰς φυσικὰς καὶ ἠθικάς· αἱ μὲν γὰρ φυσικαὶ ἀρεταὶ
ἐκ κράσεως παραγίνονται, οἷον | οἱ ψυχροὶ σώφρονες ἀλλὰ δειλοί, οἱ θερμοὶ 410
ἀνδρεῖοι ἀλλ᾿ ἀκόλαστοι. αὗται μὲν οὖν φυσικαὶ ἀρεταί, αἵτινες καὶ ἀλόγοις
35 ὑπάρχουσιν· ὁ γοῦν πελαργὸς δίκαιος, φρόνιμος ἡ ἀλώπηξ, ἀνδρεῖος ὁ

---

2 ante δικαιοσύνη VIII fere litt. erasae C 4 ἀνοσίους] an ἀνουσίους? 4. 5 τοῦ δικαίου τοῦ P 5 post αὐτὴν add. τὴν ζωὴν P εἰ om. Cc 6. 7 πῶς—οὖσα] κοινὴ αὐτῶν οὖσα τί καὶ συναριθμεῖται P πῶς] καὶ πῶς coni. Cramer 8 οὐ om. P 11 οὗτως P τέσσαρα P 15 λόγος ὅτι in ras. P 16 πεφυκυῖα P 17 ἐν om. P 18 τῇ ἐπ. τῇ χείρ.] an τῷ χείρονι τῇ ἐπ.? 21 τῷ χείρονι] χείρονι C: χεῖρον c 23 ἐγκατακεχωσμένως P 23. 24 περιχωριστὸν] an περιόριστον? 24 post ἀντιλυπῆσαι add. τὸν λυπῆσαι P 28 σωσωφροσύνη P 31 τὰς] τὰ C 32 περιγινομένας Cc (cf. v. 33 p. 20,1. 2) 33 δηλοί C 34 αἱ φυσικαὶ P ἀλλόγοις C

λέων, σώφρων ἢ τρυγών. αἱ δὲ ἠθικαὶ ἀρεταὶ ἐκ συνηθείας τινὸς παρα- 5
γίνονται, διὰ τὸ ἐσχηκέναι τινὰ ἢ γονεῖς τοιούτους ἢ διδασκάλους. καὶ
ἁπλῶς εἰπεῖν τῶν ἀρετῶν αἱ μὲν μετὰ λόγου, αἱ δὲ χωρὶς λόγου, καὶ αἱ
μὲν πάντῃ χωρὶς λόγου ὡς αἱ φυσικαί, αἱ δὲ μετὰ λόγου μὲν ἀλλ' ἢ τοῦ
5 θύραθεν, τοῦτ' ἔστι τοῦ διδάσκοντος, οἷαι αἱ ἠθικαί, ἢ τοῦ οἴκοθεν, οἷαί
εἰσιν αἱ μετὰ παιδείας καὶ πόνου τινὶ προσγινόμεναι. διὰ τοῦτο οὖν πρόσ- 10
κειται τὸ 'καὶ ταῦτα γινώσκειν' ἀντὶ τοῦ ἵνα ἔχωμεν ἀρετὰς οὐκ ἀλόγους,
ἀλλὰ τὰς μετὰ λόγου, τοῦ οἴκοθέν φημι, τὰς μετὰ πόνου τινὶ προσγινο-
μένας· ὁ γὰρ Πλάτων τὰς φυσικὰς ἀρετὰς ἀνδραποδιώδεις καλεῖ ὡς καὶ
10 ἀνδραπόδοις δυναμένας ὑπάρχειν, ὁ δὲ Πλωτῖνος ἀτελεῖς, διότι πρὸς τὸ μὴ 15
ἀντιστρέφειν καὶ ἀντιπράττουσιν ἀλλήλαις· ὡς γὰρ εἴπομεν, εἴ τις θερμὸς
ὢν ἐπιτηδεύσει ἀνδρεῖος εἶναι, ὁ τοιοῦτος οὐ πάντως σώφρων (διὰ γὰρ τὴν
θερμότητα ἀκόλαστος), καὶ εἴ τις πάλιν ψυχρὸς ὢν ἐπιτηδεύσει σώφρων
εἶναι, ὁ τοιοῦτος οὐ πάντως ἀνδρεῖος ἀλλὰ δειλός. αἱ δὲ μετὰ πόνου καὶ
15 παιδείας ἀρεταὶ ἀντιστρέφουσι μὴ ἀντιπράττουσαι. ταῦτα καὶ περὶ τοῦ 20
τετάρτου ὁρισμοῦ τῆς φιλοσοφίας εἰπεῖν ἔχομεν.

Πρᾶξις η'.

Πέμπτος ὁρισμὸς τῆς φιλοσοφίας εἰς Ἀριστοτέλην ἀναγόμενος ὁ λέγων
αὐτὴν 'τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν'· ἐν γὰρ τῇ Μετὰ τὰ 25
20 φυσικὰ πραγματείᾳ Θεολογικῇ ἐπιγεγραμμένῃ εἴρηται αὐτῷ ὁ ὁρισμὸς οὗτος.
καὶ εἰκότως ἐκ τῆς ὑπεροχῆς οὗτος λέγεται ὡς καὶ ἐν τῇ Θεολογικῇ πραγ-
ματείᾳ εἰρημένος. διὸ καὶ ἀποροῦσιν ὅτι 'διὰ τί τοιούτῳ ἐπαναδιπλασιασμῷ
κέχρηται;' καὶ λέγομεν τούτου αἰτίας πέντε.

Πρώτην, ὅτι θαυμάσαντές τινες τὸ ὕψος τῆς φιλοσοφίας τούτῳ ἐχρή- 30
25 σαντο τῷ ἐπαναδιπλασιασμῷ· ὡς εἰ καί τις θεασάμενος λευκὸν εἴποι
πολλάκις 'λευκὸν λευκὸν καὶ πάντῃ μελανίας ἀνέμφατον', καὶ γλυκέος τις
γευσάμενος εἴποι 'γλυκὺ γλυκὺ καὶ πάντῃ πικρίας ἄψαυστον', οὕτως καὶ ἐπὶ τῆς
φιλοσοφίας | θαυμάσας τις τὸ ὑπερέχον τῆς γνώσεως εἴποι 'γνῶσις γνῶσις' 411
πολλάκις 'καὶ οὐδαμῶς ἄγνοια'· μόνη γὰρ ἡ φιλοσοφία γνῶσις. αὕτη πρώτη
30 αἰτία.

Δευτέρα αἰτία, ὅτι ἔοικεν ἡ φιλοσοφία βασιλεῖ καὶ θεῷ. καὶ ὥσπερ 5
ὁ βασιλεὺς καθιστᾷ ἄρχοντας, δι' ὧν ὁμιλεῖ πᾶσι, καὶ πάντας ὁρᾷ μηδένα
ὁρῶν μηδὲ διαλεγόμενος (οὐδὲ γὰρ ῥυπαίνεται τῷ πολλῷ τῶν ἀνθρώπων
ὁμίλῳ), καὶ ὥσπερ ὁ θεὸς κατέστησεν ἀρχαγγελικὰς δυνάμεις, δι' ὧν

---

3 τῶν ἀρετῶν om. Cc 6. 7 πρόκειται Cc 8 prius τὰς om. P τοῦ οἴκοθέν — πόνου om. P 9 Πλάτων] Phaedo p. 69 B 10 ὑπάρχειν ἐποχεῖν P Πλωτῖνος] Enn. I, 3,6 p. 22 11 ἀλλήλας P εἴπομεν] εἴρηται P (cf. p. 19,33) εἴ] ἤ P 13 θεμότητα C 16 ἐπέχομεν Cc 19 τῇ μετὰ τὰ φυσικὰ πραγματείᾳ] μετὰ τὴν φυσικὴν πραγματείαν P (cf. A 2 p. 982a 4 sq.) 21 οὕτως P τῇ om. Cc 22 εἰρημένος] οὕτως P 26 γλυκέως P 28 ὑπερέχων P γνῶσις γνῶσις] γνῶ γνῶσις P 29 οὐδαμοῦ P 34 ὁμιλίᾳ P

φρουρεῖ τὸν κόσμον, οὕτως καὶ ἡ φιλοσοφία ἐν ἀκροπόλει τινὶ οὖσα διὰ τῶν κατὰ μέρος τεχνῶν καὶ ἐπιστημῶν γινώσκει τὰ κατὰ μέρος. καὶ ὥσπερ ὁ βασιλεὺς ἄρχων ἐστὶν ἀρχόντων, οὕτως ἡ φιλοσοφία τέχνη τεχνῶν λέγεται. καὶ ὥσπερ πάλιν ὁ θεὸς λέγεται βασιλεὺς βασιλέων, οὕτως καὶ ἡ φιλοσοφία ἐπιστήμη ἐπιστημῶν. τοῦτο δεύτερον.

Τρίτη αἰτία, ὅτι ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις χορηγεῖ τὰς ἀρχὰς ἡ φιλοσοφία· φησὶ γὰρ Ἀριστοτέλης ἐν Ἀποφθέγμασιν ὅτι ‘ὅσοι ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις σχολάζοντες τῆς φιλοσοφίας ἀμελοῦσιν, ἐοίκασι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἵτινες αὐτῇ συγγενέσθαι μὴ δυνάμενοι ἠγάπων κἂν ταῖς θεραπαίναις αὐτῆς συγγίνεσθαι’. τῆς γὰρ γραμματικῆς λεγούσης ‘τῶν φωνηέντων τὰ μέν ἐστι φύσει μακρά, τὰ δὲ φύσει βραχέα, τὰ δὲ ἐπαμφοτερίζει’, ἐρωτωμένη διὰ τί τὸ η̄ καὶ τὸ ω̄ φύσει μακρά, ἀγνοεῖν ὁμολογήσει, εἰς δὲ τὸν μουσικὸν φιλόσοφόν σε ἀποπέμψει. ὁμοίως τῆς ἰατρικῆς λεγούσης τέσσαρας τοὺς χυμούς, ἐπειδὴ καὶ τέσσαρα τὰ στοιχεῖα, ἐρωτωμένη διὰ τί τέσσαρα καὶ οὐδὲ πλείονα οὐδὲ ἐλάττονα, ἀναπέμψει ἡμᾶς εἰς τὸν φυσικὸν φιλόσοφον· τῷ δὲ Ἀριστοτέλει δέδεικται ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς διὰ τί οὐδὲ πλείονα τῶν τεσσάρων τὰ στοιχεῖα οὐδὲ ἐλάττονα. ὁμοίως τῆς ῥητορικῆς διελομένης ἑαυτὴν εἰς τρία, εἰς τὸ συμβουλευτικὸν καὶ δικανικὸν καὶ πανηγυρικόν, καὶ τέλος εἰπούσης εἶναι τοῦ μὲν συμβουλευτικοῦ τὸ συμφέρον, τοῦ δὲ δικανικοῦ τὸ δίκαιον, τοῦ πανηγυρικοῦ τὸ καλόν, καὶ ἐρωτωμένης τί τὸ ὄντως συμφέρον, τί τὸ ὄντως δίκαιον ἢ τί τὸ καλόν, αὐτὴ τοῦτο ἀγνοεῖν ὁμολογήσει, παραπέμψει δὲ ἡμᾶς τῷ πολιτικῷ φιλοσόφῳ. οὐ μόνον δὲ ταῖς τοιαύταις τέχναις καὶ ἐπιστήμαις ἀρχὰς χορηγεῖ, ἀλλὰ καὶ ταῖς βαναύσοις τέχναις· ἡ γοῦν τεκτονικὴ βουλομένη ποιῆσαι | εὐθεῖαν ἀποτείνει τὴν στάθμην ὅτι μάλιστα, λαβοῦσα παρὰ γεωμετρίας ὅτι εὐθεῖά ἐστιν ἧς τὰ μέσα τοῖς ἄκροις ἐπιπροσθεῖ· τότε γὰρ λέγομεν ἐπ᾽ εὐθείας τρεῖς ἑστάναι ἀνθρώπους, εἰ ἰσχύσει ὁ μέσος τοῖς ἄκροις ἐπιπροσθῆσαι, εἰ δὲ περιφέρειαν ποιοῦσιν, ἀλλήλους ὁρῶσιν· διὰ τοῦτο γὰρ τὰ θέατρα κυκλοτερῆ διὰ τὸ ἀλλήλους βλέπειν, καὶ αἱ διατριβαὶ κυκλοτερεῖς, ἵνα ὁρῶσιν ἀλλήλους καὶ τὸν διδάσκαλον. ἀλλὰ καὶ τῇ οἰκοδομικῇ δίδωσιν ἀρχάς· βουλομένη γὰρ γνῶναι εἰ ὀρθὸς ὁ τοῖχος, κέχρηται βαρυλλίῳ, ἰδοῦσα ὅτι τὰ βαρέα πρὸς ὀρθὰς φέρεται τῷ ὁρί-

---

1. 2 διὰ τῶν κατὰ μέρος τεχνῶν] διά τι τοῦ μέρους τῶν τεχνῶν P 2. 3 καὶ ὥσπερ ὁ βασιλεὺς — ἐπιστημῶν (5) ex Davide videntur irrepsisse 3 ante ἀρχόντων add. τῶν P 5 τοῦτο δεύτερον om. Cc 7 Ἀριστ. ἐν Ἀποφθ.] potius Ἀρίστων ἐν Ὁμοιώμασιν, cf. Stob. Flor. IV, 110 Diog. Laert. II, 79.80 ἀποφθέγματι Brand. 9 πηνελώπης P 10 συγγενέσθαι P 12 ἦτα P 13 ἀγνωεῖν C 14 τέσσαρας λεγούσης colloc. P 15 τὰ om. P οὔτε . . οὔτε P (cf. v. 17. 18 p. 2,1. 2) ἐλλάτονα C 17 Περὶ γεν. κ. φθ.] B 5 p. 332a 3 sq. 20 τὸ συμφέρον, τοῦ δὲ δικανικοῦ om. P 21. 22 τὸ ὄντος δίκαιον C: τὸ δίκαιον ὄντως P 22 an τὸ ⟨ὄντως⟩ καλόν ? 24 βαναύσαις P 24. 25 ἤγουν τεκτονικὴ οἰκοδομικὴ καὶ τοιούτοις (sic) βουλομένη P 25 ἀποτίνει C 27 τότε — εὐθείας in lit. P 28 ἐπιπροσθεῖσαι P ποιήσουσιν P 29 γὰρ] γοῦν P 31. 32 τοῖχος] τεῖχος P 32 post βαρέα add. ὅσω βαρέα P

ζοντι, οἷον μόλυβος ἤ τι τοιοῦτον, εἰ δὲ πτερὸν εἴη, οὐ κατ' εὐθὺ φέρεται, 10
ἀλλὰ περιφέρειαν ποιεῖ. ταῦτα καὶ τὸ τρίτον.

Τετάρτη αἰτία, ὅτι τὰ σφάλματα διορθοῦται τῶν ἄλλων τεχνῶν· τῆς γὰρ ῥητορικῆς θέσει λεγούσης τὸ δίκαιον, (κατὰ γὰρ τοὺς τεθέντας φησὶ
5 νόμους, ἄλλους ὄντας παρ' ἄλλοις, παρὰ μὲν Πέρσαις τὸ ταῖς μητράσιν 15
ἑαυτῶν συγγίνεσθαι καὶ ἀδελφαῖς καὶ θυγατράσι, παρὰ δὲ Τριβαλλοῖς τὸ τοὺς πατέρας γηράσκοντας ἀποσφάττειν), ἡ φιλοσοφία ἐφίστησι λέγουσα ὅτι ὁ μὲν νόμος θέσει (ἄλλος γὰρ παρ' ἄλλοις), τὸ δὲ δίκαιον φύσει πανταχοῦ ὂν τὸ αὐτό· ἄδικον γὰρ τὸ τὰ αἴτια συγχεῖν τοῖς αἰτιατοῖς καὶ ποιεῖν τὸ 20
10 αἴτιον αἰτιατὸν καὶ τὸ αἰτιατὸν αἴτιον ἢ τὰ ἄρχοντα ἀρχόμενα ποιεῖν, ὅπερ ἐστὶν ἐπὶ τῆς μητρογαμίας· ἡ γὰρ πάλαι αἰτία καὶ ἄρχουσα ὡς μήτηρ αἰτιατὴ καὶ ἀρχομένη ὡς γυνὴ γίνεται. ἄδικον δὲ παρὰ φιλοσοφίᾳ καὶ τὸ τοὺς πατέρας γηράσκοντας κατασφάττειν, ὡς λύοντας τὸν φυσικὸν δεσμὸν παρὰ γνώμην τοῦ δήσαντος. πάλιν τῆς ῥητορικῆς ἀντιδιαιρούσης τὸ δίκαιον 25
15 τῷ συμφέροντι, καὶ τὴν Ἀντιλόχου περὶ τὸν ἴδιον πατέρα τὸν Νέστορα πρᾶξιν δικαίαν μὲν οὖσαν ὡς ὑπὲρ πατρὸς οὐ συμφέρουσαν δὲ τῷ σώματι ὅτι ἐτρώθη, ἡ φιλοσοφία φησὶ 'καὶ δίκαιον τὸ τοιοῦτο καὶ συμφέρον· πᾶν γὰρ συμφέρον δίκαιον καὶ πᾶν μὴ συμφέρον οὐ δίκαιον· τί γὰρ πρὸς ἡμᾶς 30
τὰ τοῦ σώματος τραύματα;', ἡμᾶς τὴν ψυχὴν εἰποῦσα. οὕτω τρωθείς τις
20 ἐν πολέμῳ ὑπὲρ φίλου ἔφη

αὐτόν μ' ἐξεσάωσα· τί μοι μέλει ἀσπὶς ἐκείνη;
ἐρρέτω,

αὐτὸν μὲν τὴν ἰδίαν ψυχὴν εἰπών, ἀσπίδα δὲ τὸ ἴδιον σῶμα καλέ|σας. καὶ 413
ἄλλος διψήσας ἔφη 'ἀπέρχομαι τὸν ὄνον μου ποτίσαι', ὄνον τὸ σῶμα
25 καλέσας, καὶ τὸ 'πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, αὐτὸν γὰρ Ἀνάξαρχον οὐ μὴ πτίσῃς ποτέ'. πάλιν τῆς ῥητορικῆς λεγούσης ὅτι κρεῖσσον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι, ἡ φιλοσοφία τοὐναντίον φησὶν ὅτι 'μακρῷ χεῖρον 5
τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι· ὁ γὰρ ἀδικῶν εἰς ἑαυτὸν βλάπτεται καὶ εἰς ψυχήν, ὁ δὲ ἀδικούμενος ἢ εἰς τὸ πρῶτον κτῆμα ἀδικεῖται, τοῦτ' ἔστιν
30 εἰς τὸ σῶμα, ἢ εἰς τὸ δεύτερον κτῆμα, φημὶ τὰ ὑπάρχοντα· μακρῷ δὲ χεῖρον τὴν ψυχὴν κακῶς ἔχειν ἢ τὸ σῶμα καὶ τὰ ἐκτός', φησὶν 'οὐδείς 10
σε βλάψει, εἰ μὴ σὺ σαυτόν· κατὰ τὴν ψυχὴν γὰρ οὐκ ἔστιν ὑφ' ἑτέρου ἀδικηθῆναι'· ὁ γὰρ Πλάτων οὐκ οἶδε τὸν ἄνθρωπον ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν λογικὴν ὀργάνῳ χρωμένην τῷ σώματι· τρισὶ γὰρ προσρήμασι προσ-
35 αγορεύει τὸν ἄνθρωπον, ἐγώ, τὸ ἐμόν, τὰ τοῦ ἐμοῦ, ἐγὼ καλῶν τὴν ψυχήν,

---

1 μόλιβδος P 5 ἄλλους] ἄλλοις C 7 ἐφίστησι] ἀπέφηνε P 10 αἰτιατὸν καὶ τὸ αἰτιατὸν αἴτιον om. P 12 φιλοσόφοις P (cf. v. 17) 13 λύων P 14 δύσαντος P ἀντιδιαιρούσης (superscr. ελού) P 15 Ἀντιλ.] cf. Pind. Pyth. 6,28 16 an ⟨δηλούσης⟩ δικαίαν? ὑπὲρ scripsi: ὑπὸ CPc (cf. v. 20) 17 οἱ φιλόσοφοι φασὶν P (cf. v. 12) prius καὶ] ὅτι P 20 ὑπὲρ] ὑπὸ P (cf. v. 16) ἔφη] Archiloch. frg. 6,3 (II p. 384 Bergk) 24 πιτίσαι C 25 πτίσσε (bis) Mon. 399: πτῆσαι C: πτῆσσε P: πτίσαι c (cf. Dio Chrys. or. 37 p. 467 Diog. Laert. IX, 59 Michael Apostol. XV, 6) 26 πτίσῃς Brand. πτήξῃς CP: πτίξῃς c 27 τὸ (ante ἀδικεῖσθαι) om. P τὸ ἐναντίον 32 τὴν om. P 33 Πλάτων] Alcib. I p. 129 E sq.

τὸ ἐμὸν τὸ σῶμα, τὰ τοῦ ἐμοῦ τὰ κτήματα. ὅτι δὲ ταῦτα γινώσκει ἡ 15 φιλοσοφία, Πλάτων φησὶν ὅτι ʻβουλοίμην μὲν οὐδέτερον, μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι· αἱρέσεως δὲ οὔσης ἑλοίμην μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖνʼ. ἐν οἷς καὶ τοῦτο.

5 Πέμπτη αἰτία, ὅτι ἡ φιλοσοφία κατεσκεύασεν ἑαυτῇ τὸν συλλογισμὸν 20 καὶ κέχρηται αὐτῷ ὀργάνῳ, αἱ δὲ ἄλλαι τέχναι κέχρηνται μὲν συλλογισμῷ, ποιῆσαι δὲ οὐ δύνανται. καὶ ἔοικεν ἡ μὲν φιλοσοφία σκυτοτόμῳ τῷ καὶ ποιοῦντι ὑποδήματα καὶ φοροῦντι, αἱ δὲ ἄλλαι τέχναι φοροῦντι μόνον, οὐ μὴν καὶ ποιοῦντι. ἐν οἷς καὶ ἡ πέμπτη αἰτία.

10 Ἀποροῦσι δέ τινες ὅτι ʻεἰ τέχνη τεχνῶν ἡ φιλοσοφία, τέχνη ἔσται καὶ 25 αὐτήʼ. καὶ λέγομεν ὅτι τέχνη τεχνῶν οὖσα ὑπὲρ τέχνην ἐστίν, ἢ καὶ ὡς τεχνοῦσα τὰς ἄλλας τέχνας τέχνη λέγεται τεχνῶν. ἢ καὶ ἄλλως· οὐ τὰ ἅμα λεγόμενα καὶ ἰδίᾳ δύνανται λέγεσθαι· νεκρὸς γὰρ ἄνθρωπος λέγεται μέν, ἄνθρωπος δὲ οὔ, καὶ λιθίνη ναῦς, ναῦς δὲ οὔ, καὶ κίβδηλος χρυσός, χρυσὸς 30 15 δὲ οὔ· ὁ γὰρ χρυσὸς ἐγγυητής ἐστιν ὧν βουλόμεθα ἔχειν, ὁ δὲ κίβδηλος τοῦτο οὐ ποιεῖ. τὸ δὲ ἔμπαλιν οὐ τὰ ἰδίᾳ λεγόμενα καὶ ἅμα δύνανται λέγεσθαι, ὡς ἵνα εἴπω ʻὁ κύων σός, ὁ κύων πατήρʼ, ʻὁ δὲ κύων σὸς πατήρʼ οὐ δύναται λέγεσθαι. ἐν τούτοις καὶ ὁ πέμπτος ὁρισμὸς τῆς φιλοσοφίας. |

20 Πρᾶξις θʹ. 414

Οὐ δεῖ περιφρονῆσαι τοῦ ἕκτου ὁρισμοῦ τῆς φιλοσοφίας ὡς περὶ μόνας φωνὰς ἠσχολημένου, τῶν ἄλλων περὶ τὸ πρᾶγμα ἐπτοημένων ἤτοι ἐσπουδακότων· ἔχει γάρ τι πλέον ἐκείνων οὗτος· ἐκεῖνοι μὲν γὰρ μόνον τὸ 5 πρᾶγμα λέγουσιν, οὗτος δὲ καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα. ἕκτος τοίνυν 25 ὁρισμὸς τῆς φιλοσοφίας εἰς Πυθαγόραν ἀναγόμενος ὁ λέγων αὐτὴν φιλίαν σοφίας. καὶ εὖγε ὅτι ἀρχὴ καὶ πέρας τῶν ὁρισμῶν τῆς φιλοσοφίας γέγονεν ἡμῖν ὁ Πυθαγόρας ὁ ἀεὶ διὰ τῆς σιωπῆς πρὸς ἑαυτὸν ἐπιστρέφων. ἀλλʼ, ὦ Πυθαγόρα, οὐκ ἀντιστρέφει ὁ ὁρισμὸς οὗτος, ὅπερ ἦν ἀρετὴ ὅρου· 10 εἴ τι μὲν γὰρ φιλοσοφία, φιλία σοφίας, οὐκ εἴ τι δὲ ἔφεσις σοφίας, φιλο-30 σοφία· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη ἐφίεται τοῦ οἰκείου ὑποκειμένου. ἀλλʼ ἐπειδὴ οὔτε Πυθαγόρας ἐρωτώμενος ἀποκρίνεται οὔτε οἱ μαθηταὶ 15 αὐτοῦ ἄλλο τι ἀποκρίνονται ἢ ὅτι "αὐτὸς ἔφα", τὴν ἀπόφασιν τοῦ διδασκάλου ὑπὲρ ἀπόδειξιν ἡγούμενοι, φέρε ἡμεῖς εἴπωμεν ὑπὲρ Πυθαγόρου, ἅπερ ἂν Πυθαγόρας εἶπεν, εἴπερ λέγειν ἠνέσχετο. πάλαι μὲν τοίνυν καὶ μέχρι 35 τῶν Ὁμήρου χρόνων ἠδικεῖτο καὶ ἐρυπαίνετο τὸ τῆς σοφίας ὄνομα, φερόμενον κατὰ παντὸς τοῦ ὁτιοῦν εἰδότος, ὥς φησι καὶ ὁ ποιητής 20

---

2 Πλάτων] Gorg. p. 469 C 7 τῷ om. P 9 μὴν δὲ P 10 εἰ] ἡ P τέχνη (ante ἔσται) P Dav.: om. Cc 11 ὑπὲρ] ὑπὸ P 13 post λέγεσθαι add. οἷον ἄνθρωπος ὁ ζῶν τὸ συναμφότερον in mrg. C γὰρ] δὲ Cc μὲν om. P (fort. recte) 14 ληθίνη P (cf. Hom. ν 156) 17 δὲ om. c 18 καὶ om. c 23 οὕτως P 30 ὑποκ.] an τέλους? 32 ἔφη P 33. 34 ἅπερ — εἶπεν om. Cc 34 εἴπερ] εἰ P μὲν τοίνυν scripsi: μέν τοι Cc: τοίνυν P (cf. 25,30) 35 post ἐρυ — VI litt. eras. C σοφίας scripsi: φιλοσοφίας CPc 36 ὁ ποιητής] Hom. O 412

εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,

καὶ

ἐπεὶ σοφὸς ἤραρε τέκτων.

ὁ γοῦν Πυθαγόρας ὀψέ ποτε ἐπιγενόμενος συνέστειλε τὸ τῆς σοφίας ὄνομα 25
5 ἐπὶ μόνους τοὺς τὰ ἄυλα εἰδότας, τουτ' ἔστι τοὺς φιλοσόφους· σαφῆ γὰρ καὶ φανὰ τὰ θεῖα αὐτοῖς, εἰ καὶ ἡμῖν ἀσαφῆ διὰ τὴν ἡμῶν ἀνεπιτηδειότητα, ὡς καὶ ταῖς νυκτερίσιν ὁ ἥλιος. παρὰ Πυθαγόρου οὖν λεγόμενος οὗτος ὁ ὁρισμὸς τέλειος· πᾶσα γὰρ φιλοσοφία φιλία σοφίας, καὶ πᾶσα ἔφεσις σοφίας (σοφίαν ἀκουόντων ἡμῶν τὴν τῶν αὔλων γνῶσιν) φιλοσοφία ἐστίν. 30

10 Ἀλλ' ἐπειδὴ οὐ μόνης μάστιγος δεῖ τοῖς λόγοις ἀλλὰ καὶ χαλινοῦ (μάστιγος μέν, ἵνα χαρισώμεθα τῇ μαθήσει, χαλινοῦ δέ, ἵνα τῇ μνήμῃ χαρισώμεθα· μεμνήμεθα γὰρ τῶν δι' ὀλίγων λεχθέντων, μανθάνομεν δὲ τὰ διὰ πλειόνων λεγόμενα), φέρε μετὰ | τὴν πλατικὴν διέξοδον τῶν ὁρισμῶν 415 συνόψει αὐτοὺς περιλάβωμεν. γνῶσις τοίνυν τῶν ὄντων ἡ φιλοσοφία ἢ
15 γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων· τὰ γὰρ ὄντα ἢ θεῖα ἢ ἀνθρώπεια· συμμετρία γὰρ οὖσα καὶ ἀρετὴ οὔτε τῶν θείων ἠμέλησε διὰ τὴν ποικιλίαν τῶν ἀνθρωπείων οὔτε τῶν ἀνθρωπείων διὰ τὴν μεγαλειότητα 5 τῶν θείων, ἀλλ' ἑκατέρου πρόνοιαν ἐποιήσατο. ἀλλὰ καὶ μελέτη θανάτου ἡ φιλοσοφία, εἴπερ οἱ αὐτόχειρες ἑαυτῶν γινόμενοι ὃν ἔδησεν ὁ δημιουργὸς
20 λύουσι δεσμόν, οἱ δὲ φιλόσοφοι ὃν ἔδησαν δεσμὸν αὐτοὶ καὶ λύουσιν. ἀλλὰ καὶ ὁμοίωσις θεῷ ἡ φιλοσοφία, διὰ τὸ εἰρημένον τῷ Λυκούργῳ φιλο- 10 σόφῳ ὄντι

δίζω εἴ σε θεὸν μαντεύσομαι ἠὲ καὶ ἄνδρα.

ἀλλὰ καὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν ὡς τεχνοῦσα τὰς ἄλλας
25 τέχνας. ἀλλὰ καὶ φιλία σοφίας ὡς τὰ ἄυλα γινώσκουσα.

Θαυμάσαι δὲ ἔστιν καὶ τὸ πλῆθος τῶν ὁρισμῶν τῆς φιλοσοφίας· ἓξ 15 γάρ εἰσιν, ὁ δὲ ἓξ τέλειος, ὡς ἴσος τοῖς ἑαυτοῦ μέρεσι· τὰ γὰρ μέρη αὐτοῦ συνερχόμενα οὔτε πλεονάζει οὔτε ἐλλείπει. οὕτως ἥμισυ τῶν ἓξ τρία, τρίτον τῶν ἓξ δύο, ἕκτον ἡ μονάς, καὶ ἰδοὺ τέλειος· τὰ γὰρ τρία καὶ τὰ δύο καὶ
30 τὸ ἓν συντεθέντα ἓξ ἀποτελεῖ μόνον· τῶν γὰρ ἀριθμῶν οἱ μέν εἰσι τέλειοι, 20 οἱ δὲ ὑπερτελεῖς, οἱ δὲ ἐλλειπεῖς. καὶ ἔοικεν ὁ μὲν τέλειος ἀριθμὸς ἀρετῇ, ὁ δὲ ὑπερτελὴς καὶ ἐλλειπὴς ταῖς ἀντικειμέναις τῇ ἀρετῇ κακίαις· ἡ γὰρ ἀρετὴ συμμετρία οὖσα δύο κακίαις παρασπίζεται, οἷον ἡ δικαιοσύνη πλεονεξίᾳ καὶ μειονεξίᾳ, ἡ φρόνησις πανουργίᾳ καὶ ἀνοίᾳ, ἡ ἀνδρία δειλίᾳ καὶ θράσει, 25

---

1 εἰδῇ Hom. σοφίαν P 3 ἐπεὶ σοφὸς ἤρ. τέκτων] vide Ammon. in Porph Isag. p. 9,13 not. 4 σοφίας] φιλοσοφίας Cc 5 ἄυλα] ἄδηλα P (cf. v. 9. 25) 6 φανὰ] φανερὰ P ἑαυτοῖς P an ἀσαφῆ ⟨τε καὶ σκοτώδη⟩? (cf. Plat. Reipubl. VII, 4 p. 518 C) 7 οὖν] γὰρ c 9 σοφίαν] σοφία P 11 μαθήσῃ P 13 πλατικὴν] πλατωνικὴν P 14 ἐν συνόψει P περιλάβωμεν] περιβάλλωμεν Cc ἢ in ras. C²: ὡς P 15 ἀνθρωπίνων] ἀνθρωπείων C (cf. p. 11,18 sq.) 15. 16 ἀνθρώπει' ἀσυμμετρία C: ἀνθρώπινα συμμετρία P: ἀνθρώπεια ἀσυμμετρία c 17 ἀνθρωπείων] ἀνθρώπων P 20 ἔδησεν] ἔθηκεν Cc αὐτοὶ scripsi: αὐτὸν CPc 23 εἰ] ἢ Cc (cf. p. 7,2) μαντεύσωμαι P 25 φιλία σοφίας corr. ex φιλοσοφίας C¹ 33 ἡ (ante δικαιοσ.) om. Cc 34 ἀνοίᾳ] ἔννοια P θράσει καὶ δειλίᾳ colloc. P (fort. recte)

ἡ σωφροσύνη ἀκολασίᾳ καὶ ἠλιθιότητι. οὕτως οὖν καὶ ὁ τέλειος ἀριθμὸς
ἀρετῇ ἔοικε καὶ συμμετρίᾳ, οἱ δὲ λοιποὶ ἀμετρίαις ἤτοι κακίαις.
Τέλειοι μὲν οὖν ἀριθμοί εἰσιν οἱ ἴσοι τοῖς ἑαυτῶν μέρεσι ὡς οὗτος
ὁ ἕξ, ὑπερτελεῖς δὲ ὡς ὁ δυοκαίδεκα· τούτου γὰρ συντεθέντων τῶν μερῶν 30
5 γίνονται δεκαέξ οὕτως· ἥμισυ τῶν δεκαδύο ἕξ, τρίτον τῶν δεκαδύο τέσσαρα,
τέταρτον τῶν δεκαδύο τρία, ἕκτον τῶν δεκαδύο δύο, καὶ τὸ δωδέκατον ἡ
μονάς, δεκαὲξ ἀποτελοῦσιν. ἐλλειπεῖς δὲ ὡς ὁ ὀκτώ· τὰ γὰρ μέρη αὐτοῦ
συντεθέντα ἑπτὰ μόνον ποιοῦσιν οὕτως· ἥμισυ τῶν ὀκτὼ τέσσαρα, τέταρτον
τῶν ὀκτὼ δύο, καὶ τὸ ὄγδοον ἡ μονάς, ἑπτὰ ποιοῦσι. καὶ πολλοὶ μὲν οἱ 35
10 ὑπερτελεῖς καὶ οἱ ἐλλειπεῖς, | οἱ δὲ τέλειοι τέσσαρες μόνον· ἀπὸ γὰρ 416
μονάδος ἕως δεκάδος εἷς τέλειος ὁ ἕξ, καὶ ἀπὸ δεκάδος ἕως ἑκατοντάδος
ὁ εἰκοστὸς ὄγδοος, καὶ ἀπὸ ἑκατοντάδος ἕως χιλιάδος ὁ τετρακοσιοστὸς
ἐνενηκοστὸς ἕκτος, καὶ ἀπὸ χιλιάδος ἕως μυριάδος ὁ ὀκτακισχιλιοστὸς ἑκατο-
στὸς εἰκοστὸς ὄγδοος. 5
15 Καὶ ἄλλως δὲ τέλειος ὁ ἀριθμὸς τῶν ὁρισμῶν τῆς φιλοσοφίας, διότι
τέσσαρες ἦσαν αἱ ἀφορμαί, ἐξ ὧν ἐλαμβάνοντο οἱ ὁρισμοί· ἢ γὰρ ἐκ τοῦ
ὑποκειμένου ἢ ἐκ τοῦ τέλους ἢ ἐκ τῆς ὑπεροχῆς ἢ ἐκ τῆς ἐτυμολογίας.
ὁ δὲ τέσσαρα ἀριθμὸς δυνάμει δέκα· συντεθεὶς γὰρ μετὰ τῶν πρὸ αὐτοῦ
ἀριθμῶν ὁ τέσσαρα, τοῦτ' ἔστι τοῦ τρία καὶ δύο καὶ ἑνός, τὸν δέκα ἀποτελεῖ. 10
20 ὁ δὲ δέκα τέλειος, οὐχ ὡς ἴσος τοῖς ἑαυτοῦ μέρεσιν, ἀλλ' ὅτι πᾶς ἀριθμὸς
καμπτῆρι αὐτῷ κέχρηται, καὶ ὅτι πάντα ἀριθμὸν δέχεται, διὸ καὶ δεχὰς
εἴρηται. ἔοικε δὲ τούτῳ καὶ ἡ φιλοσοφία ὡς πάντα τὰ ὄντα γινώσκουσα.

Πρᾶξις ι'. 15

Μετὰ τὸ γνῶναι ἡμᾶς τὴν φιλοσοφίαν ὅλην ὡς ὅλην διὰ τῶν ἓξ ὁρι-
25 σμῶν, φέρε καὶ ὡς μέρη ἔχουσαν αὐτὴν διὰ τῆς διαιρέσεως πολυπραγμονή-
σωμεν. ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁρισμῶν τρία τινὰ ἐζητοῦμεν, τί ἐστιν ὁρι-
σμός, πόθεν εἴρηται ὁρισμός, πόθεν λαμβάνεται ὁρισμός, οὕτω καὶ ἐπὶ τῆς
διαιρέσεως τρία ζητήσωμεν, τί διαίρεσις καὶ ἐπιδιαίρεσις καὶ ὑποδιαίρεσις· 20
ποῦ γὰρ οἰκειότερον ταῦτα ζητήσωμεν ἢ τὴν φιλοσοφίαν διαιροῦντες, ἧς
30 εὕρημα ὁρισμὸς καὶ διαίρεσις; διαίρεσις μὲν οὖν ἐστιν ἡ πρώτη τομὴ τοῦ
πράγματος, οἷον ὡς ἵνα διέλω τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον, ἐπιδιαίρεσις
δέ ἐστιν ἡ τοῦ αὐτοῦ πράγματος δευτέρα τομή, οἷον ὡς ἵνα διέλω τὸ αὐτὸ 25
ζῷον εἰς θνητὸν καὶ ἀθάνατον (οὐδὲν δὲ διαφέρει διαίρεσις ἐπιδιαιρέσεως·

---

2 ἤτοι κακίαις om. P 3 οὖν om. Cc οὕτως Cc 4 ὑπερτελὴς P post γὰρ add. καὶ Cc 6 δωδέκ.] δυοδέκατον Cc 7 ἐλλειπὴς P ὁ om. P 10 οἱ (ante ἐλλειπεῖς) om. Cc 11 εἷς τέλειος om. P καὶ om. P 12 scribas εἴκοσιν ὀκτώ, itemque reliquos 14 ὄγδος P 15 ἄλλως] ως in ras. P ὁ ἀριθμὸς (ὁ ἀρ in ras.) P: ἀριθμὸς Cc (ε οι) διότι] διὸ P 17 ἐτυμολογίας C 19 ὁ τέσσ. post ἑνὸς ponas τοῦ] τὰ Cc ἑνός] ἓν ὂν c τὸν δέκα] τὰ δέκα P post ἀποτελεῖ add. οὕτως· μία καὶ δύο τρεῖς, δὶς τρεῖς ἓξ καὶ τέσσαρα, ἰδοὺ δέκα P 21 δεχὰς] δεκὰς P 22 τοῦτο P 24 ὅλην φιλοσοφίαν colloc. P 27 ὁρισμός (post εἴρηται et λαμβάνεται) om. Cc (cf. p. 4,3) 28 ζητοῦμεν P 30 μὲν οὖν scripsi: μὲν Cc: οὖν P (cf. 23 34) 31 διέλλω C ἄλλογον C

ἣν γὰρ ἂν προτάξωμεν, ἐκείνη ἐστὶ διαίρεσις, καὶ ἣν ὑποτάξωμεν, ἐκείνη ἐστὶν ἐπιδιαίρεσις), ὑποδιαίρεσις δέ ἐστιν ἡ ἑνὸς τῶν διαιρεθέντων τομή, ὡς ἵνα διέλῃ τις τὸ λογικὸν εἰς θεῖα καὶ ἀνθρώπεια καὶ τὸ ἄλογον εἰς 30 σαρκοφάγα ἢ ποηφάγα. ὑποδιαίρεσις οὖν ἐστιν ἡ ἑνὸς τμήματος τῶν διαιρε-5 θέντων τομή.

Τούτων οὕτως προληφθέντων εἴπωμεν τὴν διαίρεσιν τῆς φιλο|σοφίας. 417 διαιρεῖται τοίνυν ἡ φιλοσοφία εἰς τὸ θεωρητικὸν καὶ πρακτικόν. ταῦτα δὲ δὲ διαφέρουσιν ἀλλήλων καὶ τῷ ὑποκειμένῳ καὶ τῷ τέλει· τῷ μὲν γὰρ θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκειται εἰς γνῶσιν, τῷ δὲ πρακτικῷ οὐ πάντα 10 ὑπόκειται εἰς κατακόσμησιν, εἰ μὴ μόναι αἱ ἀνθρώπειαι ψυχαί· οὐδὲ γὰρ 5 ἐπαγγέλλεται ὁ φιλόσοφος κοσμεῖν ἵππου ψυχὴν ἢ βοὸς ἤ τινος ἄλλου πλὴν ἀνθρώπου. οὕτως μὲν τῷ ὑποκειμένῳ διαφέρουσιν. ἀλλὰ καὶ τῷ τέλει· ὁ μὲν γὰρ θεωρητικὸς περὶ τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος καταγίνεται, τέλος δὲ ποιεῖται μόνον τὸ ἀληθές, ὁ δὲ πρακτικὸς περὶ τὸ ἀγαθὸν καὶ τὸ 10 15 κακὸν καταγίνεται, τέλος δὲ ποιεῖται μόνον τὸ ἀγαθόν· θέλει γὰρ γινώσκειν τὸ ἀγαθὸν καὶ κακὸν καὶ τὴν διαφορὰν εἰδέναι ἀγαθοῦ καὶ κακοῦ ὑπὲρ τοῦ τὰ μὲν ἑλεῖν τὰ δὲ φυγεῖν, τοῦτ' ἔστιν ἵνα μήτε λέγῃ κακόν τι ὁ φιλόσοφος μήτε πράττῃ, ὥσπερ καὶ ὁ ἰατρὸς θέλει γινώσκειν τὰ δηλητήρια, οὐχ ἵνα χρήσηται αὐτοῖς, ἀλλ' ἵνα διὰ τῆς γνώσεως παραιτήσηται αὐτά. 15 20 ἀποροῦσι δέ τινες ὅτι 'εἰ τοῦ θεωρητικοῦ τέλος τὸ ἀληθές, τοῦ δὲ πρακτικοῦ τὸ ἀγαθόν, ταὐτὸν ἄρα τὸ θεωρητικὸν τῷ πρακτικῷ· ὧν γὰρ τὰ τέλη ταὐτά, καὶ αὐτὰ ταὐτά'. λεκτέον οὖν ὅτι πολλὴ ἡ ἐν τούτοις διαφορά· πολλάκις γὰρ ψευδόμεθα ἐπ' ἀγαθῷ καὶ ἀληθεύομεν ἐπὶ κακῷ· οἷον ὑγιαί- 20 νων τις παρέθετο ξίφος τινί, ἄφνω δὲ μανεὶς αἰτεῖ τὴν παρακαταθήκην, 25 ἵνα ἢ ἑαυτὸν ἢ ἕτερόν τινα σφάξῃ, ὁ δὲ ἀρνεῖται καὶ ψεύδεται μέν, ἐπ' ἀγαθῷ δέ, ὡς εἴ γε ἠλήθευσεν, ἐπὶ κακῷ ἠλήθευεν. δύναται δὲ μερικῶς καὶ ἀληθεύειν ὁ τοιοῦτος· ἄλλος γὰρ ἦν ὑγιαίνων ὁ τὸ ξίφος παραθέμενος 25 καὶ ἄλλος μαινόμενος.

Ἵνα δὲ μὴ λάθωμεν ἑαυτοὺς κακοῦ μαγείρου δίκην παρὰ ἄρθρα τὰς 30 διαιρέσεις ποιούμενοι, ὅπου μὴ ἔστι διφυΐα, ὥσπερ οἱ πρίζοντες τὰ ξύλα ἡγεμόνι κέχρηνται τῇ μίλτῳ, οὕτως καὶ ἡμεῖς ἡγεμόνι χρησάμενοι τῷ λόγῳ, εἰς ὅσα καὶ οἷα ὑπαγορεύει, οὕτως ποιησόμεθα τὰς διαιρέσεις, ὅπου 30 διφυΐα ἐστί * * πέφυκε διαιρεῖσθαι, τοῦτ' ἔστι καθ' ἑκάστην διαίρεσιν δεῖ ζητεῖν διὰ τί εἰς τοσαῦτα καὶ τοιαῦτα διαιρεῖται.

35 Διαιρεῖται τοίνυν ἡ φιλοσοφία εἰς δύο καὶ οὐχὶ εἰς τρία, ὡς οἱ τὸ λογικὸν αὐτῇ προσνέμοντες· δειχθήσεται γὰρ σὺν θεῷ ἐν τοῖς Ἀναλυτικοῖς 35 ὅτι ἡ λογικὴ οὐ μέρος τῆς φιλοσοφίας, ἀλλ' ὄργανον, | διότι τὸ μὲν μέρος 418

---

1 ὑποτάξομεν Cc 2 ἐπιδιαίρεσις] ὑποδιαίρεσις P 7 τὸ om. P 9 εἰς γνῶσιν — ὑπόκειται (10) om. P 13 τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν colloc. Cc 14 ποιεῖτε C τὸ (ante κακὸν) om. P 16 ἀγαθὸν καὶ κακὸν scripsi: ἀληθὲς καὶ ψευδὲς CPc 17 φεύγειν P 18 πράττει P 19 διὰ τῆς γνώσεως — πρότερον (p. 27,34. 35) om. P 20 εἰ c: ἡ C 29 κακοῦ μαγείρου δίκην] cf. Plat. Phaedr. p. 265 E παρὰ C: περὶ c 33 ante πέφυκε lacunam signavi, conicias οὐδὲ γάρ, ὅπου μὴ διφυΐα ἐστί,

συμφυές, τὸ δὲ ὄργανον ἐπείσακτον. εἰς δύο δὲ διαιρεῖται ἡ φιλοσοφία, οὐχ ὥς
φασιν αἱ ἐγκύκλιοι ἐξηγήσεις, ὅτι ἐπειδὴ ἡ φιλοσοφία γνῶσις θείων καὶ ἀνθρω-
πείων ἐστί, διὰ μὲν τὰ θεῖα τὸ θεωρητικὸν προεβάλλετο (θεωρητικὸν γάρ,
φασίν, εἴρηται ὡς τέλος ἔχον τὰ θεῖα ὁρᾶν), διὰ δὲ τὰ ἀνθρώπινα προεβάλλετο 5
5 τὸ πρακτικόν· παραλογίζονται γὰρ ἐκ τῆς ὁμωνυμίας τοῦ ἀνθρωπείου· ἄλλο
γὰρ ἀνθρώπειον ἐν τῷ ὁρισμῷ ἐλαμβάνετο (τὸ γὰρ ἐκ τοῦ τιμιωτέρου κατὰ
παντὸς φθαρτοῦ φερόμενον), ἄλλο δὲ ἀνθρώπειον ἐνταῦθα λαμβάνουσι, τὸ
ἐπὶ τοῦ κυρίως ἀνθρώπου. φέρε οὖν εἴπωμεν ἡμεῖς τούτου αἰτίας δύο· 10
πρώτην μὲν τοιαύτην, ὅτι ἡ φιλοσοφία ὁμοία ἐστὶ θεῷ κατὰ τὸ δυνατὸν
10 ἀνθρώπῳ, καὶ ἐπειδὴ ὁ θεὸς καὶ πάντα τὰ ὄντα γινώσκει καὶ τῶν δευτέ-
ρων πρόνοιαν ποιεῖται, εἰκότως καὶ ἡ φιλοσοφία μιμουμένη θεὸν διὰ μὲν
τὴν καθόλου γνῶσιν αὐτῆς τὸ θεωρητικὸν προεβάλλετο, διὰ δὲ καὶ ⟨τὸ⟩ τῶν 15
δευτέρων προνοεῖν προεβάλλετο τὸ πρακτικόν. αὕτη μὲν ἡ πρώτη αἰτία.
δευτέρα δὲ ὅτι ἡ φιλοσοφία ἰατρικὴ ψυχῶν ἐστιν· ἡ δὲ ψυχὴ διττὰς ἔχει
15 δυνάμεις, γνωστικὰς καὶ πρακτικάς, ἄμφω δὲ συνουσίωνται ἡμῖν, ὡς δηλοῖ
τὸ ἐκ παίδων φιλομύθους ἡμᾶς εἶναι καὶ χαίρειν ἐν τῇ περιεργίᾳ, ὥς φησι
Μένανδρος 20

φιλῶ σ', Ὀνήσιμε, καὶ σὺ περίεργος εἶ,

καὶ πάλιν

20 οὐδὲν γὰρ γλυκύτερον ἢ πάντ' εἰδέναι.

ὁμοίως δὲ καὶ Ἀριστοτέλης· "πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται 25
φύσει, σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις". ἀλλὰ καὶ τὸ πρακτικὸν
συνουσίωται ἡμῖν, ὡς δηλοῖ τὸ ἐν ταῖς ἐρημίαις ἀσχάλλειν ἡμᾶς καὶ τρίχας
τίλλειν ἢ δακτύλιον περιελίττειν ἢ κηρὸν μαλάττειν διὰ τὸ μὴ ἀνέχεσθαι
25 ἡμᾶς παντελοῦς ἀργίας. διὰ τὰς γνωστικὰς οὖν εἰκότως προεβάλετο τὸ
θεωρητικόν, διὰ δὲ τὰς πρακτικὰς τὸ πρακτικόν. 30

Τούτων οὕτως ἐχόντων εἴπωμεν τὴν ὑποδιαίρεσιν τοῦ θεωρητικοῦ.
καὶ ἐνῆν μὲν προτάξαι θάτερον θατέρου, καὶ τὸ θεωρητικὸν | τοῦ πρακτι- 419
κοῦ, ὡς πάντα τὰ ὄντα γινῶσκον, τέλος δὲ ἔχον τὸ ἀληθές, καὶ τὸ
30 πρακτικὸν τοῦ θεωρητικοῦ, ὅτι εἰ καὶ μὴ ὑπόκεινται αὐτῷ πάντα τὰ ὄντα
εἰς κατακόσμησιν, ἀλλ' ἔχει τέλος τὸ ἀγαθόν, ὅπερ, ὡς ἐδείχθη, ἐπέκεινά
ἐστι τοῦ ἀληθοῦς· τὸ γὰρ ἀγαθὸν πρὸς τῷ θεῷ. διὸ καὶ πρόνοια καλεῖται 5
τὸ ἀγαθὸν ὡς πρὸ τοῦ νοῦ ὄν, νοῦ δέ ἐστι τὸ ἀληθεύειν. ἀλλ' ὡς ἐν
λογικῇ πραγματείᾳ τὰ καθόλου προτακτέον· διὸ τὸ θεωρητικὸν δεῖ πρότε-
35 ρον ὑποδιελεῖν. διαιρεῖται τοίνυν τοῦτο εἰς τρία, εἰς φυσικόν, μαθηματικόν,
θεολογικόν. καὶ εἰκότως· ὁ γὰρ φιλόσοφος πάντα τὰ ὄντα θέλει γινώσκειν·
πάντα δὲ τὰ ὄντα τριττά, ἢ πάντῃ ἔνυλα, ὡς ὀστέα τρίχες ὄνυχες, περὶ 10
ἃ καταγίνεται τὸ φυσικόν, ἢ πάντῃ ἄυλα, ὡς τὰ θεῖα, ἢ πῇ μὲν ἔνυλα,

---

3 θεωρητικὸν c: θεωρικὸν C 5 ἀνθρωπείου scripsi: ἀνθρώπου Cc 12 αὐτῆς c: αὐτοῦ C 12 τὸ ante τῶν δευτέρων addidi 16. 17 ὥς φησι Μένανδρος] cf. Com. Att. frg. III p. 227 (Kock) 21 Ἀριστοτέλης] Metaph. A 1 p. 980a22. 23 23 ἀσχάλειν C 31 ὡς ἐδείχθη] cf. p. 1,3 sq. 36 πάντα] πάντα τὰ ὄντα τριττά in mrg. iter. C 38 πάντῃ] πάντα c post θεῖα addas περὶ ἃ καταγίνεται τὸ θεολογικόν

πῇ δὲ ἄυλα, ὡς τρίγωνα καὶ τετράγωνα σχήματα ἐν κηρῷ ἢ ἀβακίῳ χαραττόμενα, περὶ ἃ καταγίνεται τὸ μαθηματικόν· ταῦτα γὰρ τὴν μὲν ὑπόστασιν ἐν ὕλῃ ἔχουσιν, ἐν ἀβακίῳ φέρε εἰπεῖν ἢ κηρῷ, δύνανται δὲ ἐπινοηθῆναι ὑπὸ τῆς φαντασίας καὶ χωρὶς τῆς ὕλης, δίκην κηροῦ ἀναματτομένου τὸ εἶδος τοῦ σφραγιστῆρος, καταλιμπάνοντος δὲ τὸν χαλκόν. διὸ καὶ ὁ Πλάτων ἐκμαγεῖον καλεῖ τὴν φαντασίαν διὰ τὸ ἐκμάττεσθαι καὶ ἀποσυλᾶν τὰ εἴδη ἀπὸ τῆς ὕλης.

Ἀποροῦσι δέ τινες διὰ τί μὴ καὶ τὰ φυσικὰ λέγομεν μαθηματικά, εἴ γε δυνάμεθα καὶ τὸ τῆς σαρκὸς εἶδος ἐπινοῆσαι χωρὶς τῆς ὕλης. πρὸς οὓς ἐροῦμεν ὅτι τὰ μὲν σχήματα ἐπινοῆσαι δυνάμεθα χωρὶς ὕλης, ἐπειδὴ μηδεμιᾶς κράσεως δέονται, σάρκα δὲ ἐπινοῆσαι ἄνευ κράσεως οὐ δυνάμεθα, ἐν ᾗ τὴν ὑπόστασιν ἔχει· ἡ γὰρ κρᾶσις ὕλη ἐστί.

Δεῖ οὖν πρῶτον τὰ πάντῃ ἔνυλα καὶ φυσικὰ ἀναλέγεσθαι, μετ' ἐκεῖνα τὰ μαθηματικὰ κλίμαξιν ἐοικότα ἢ γεφύραις· οὐδὲ γὰρ ἀθρόον ἀπὸ τῶν πάντῃ ἐνύλων ἐπὶ τὰ ἄυλα μετιέναι δεῖ· ταὐτὰ γὰρ πεισόμεθα τοῖς ἀπὸ ζοφώδους σπηλαίου τολμήσασιν ἀθρόον ἀντωπῆσαι ταῖς ἡλιακαῖς ἀκτῖσι· δεῖ γὰρ τοὺς τοιούτους πρότερον ἐν οἰκίσκῳ ἔχοντι σύμμετρον φῶς προεθισθέντας οὕτως ἀντωπῆσαι ταῖς ἡλιακαῖς ἀκτῖσιν. ὡσαύτως οὖν χρὴ καὶ ἀπὸ τῶν πάντῃ ἐνύλων ἀναλογούντων σπηλαίῳ εἰς τὰ μαθήματα ἐγγυμνασθῆναι ἀναλογοῦντα οἰκίσκῳ σύμμετρον ἔχοντι φῶς, καὶ εἶθ' οὕτως χωρεῖν ἐπὶ τὰ ἄυλα ἀναλογοῦντα ταῖς τοῦ ἡλίου ἀκτῖσιν· οὕτω γάρ φασι καὶ οἱ Πυθαγόρειοι "σχᾶμα καὶ | βᾶμα" ἀντὶ τοῦ 'καθ' ἕκαστον σχῆμα βαθμὸν ἄνιμεν ἐπὶ θεολογίαν, κατὰ μέρος ἐν νῷ λαμβάνοντες τὰ πάντῃ ἄυλα.'

Ἀποροῦσι δέ τινες ὅτι εἰ πάντα μανθάνομεν καὶ τὰ ἄυλα καὶ τὰ ἔνυλα καὶ τὰ μέσα, διὰ τί μὴ πάντα καλεῖται μαθήματα, ἀλλὰ μόνα τὰ μέσα ἐσφετερίσατο τὸ κοινὸν ὄνομα. καὶ λέγομεν τούτου αἰτίας δύο, μίαν μὲν ὅτι ἔχουσι τὰ μαθήματα τὸ ἀραρὸς τῶν ἀποδείξεων· ταῦτα γὰρ μανθάνομεν ἀκριβῶς, τὰ δὲ ἄλλα εἰκάζομεν μᾶλλον ἢ μανθάνομεν, διὸ καὶ ὁ φιλόσοφος Μαρῖνος ἔφη "εἴθε πάντα μαθήματα ἦν". δευτέραν δὲ ὅτι ταῦτα ἡδέως μανθάνομεν πάσχοντες τὸ τῶν Λωτοφάγων· γευσάμενοι γὰρ αὐτῶν οὐ θέλομεν αὐτῶν ἀποστῆναι, ἀλλ' ἐχόμεθα αὐτῶν ὡς λωτοῦ. ᾗ φησι καὶ Πλάτων οὕτως 'ἃ γὰρ ἂν ἑκοῦσα ἡ ψυχὴ λάβῃ, δυσέκνιπτα καὶ ἀμετάστατα φιλεῖ γίνεσθαι', ὥσπερ καὶ τοὐναντίον φησὶν 'ψυχῆς βίαιον οὐδὲν ἔμμονον μάθημα'. καὶ Ἀρχιμήδης δέ ποτε βαρβάρων ἐπιστάντων ταῖς Συρακούσαις οὐκ ἔφυγεν θεώρημά τι γεωμετρικὸν καταγράφων, ἀλλ'

---

3 ἐν ὕλῃ ἔχουσιν om. Cc   post κηρῷ add. ἔχει Cc   4 ἐπινοηθεῖναι C   χωρῆς C   6 Πλάτων] Theaet. p. 194 D. E   8 μὴ om. P   λεγόμενα P   9 εἴ γε] εἴτε P   10 δυν. χωρὶς ὕλης] χωρὶς τῆς ὕλης δυνάμεθα P   15 μετιέναι δεῖ] μετιτέον P   ταὐτὸν P   πησόμεθα Cc   16 et 18 ἀντοπῆσαι P   19 τὰ om. P   20 ἀναλογοῦντι P   22 πυθαγόροι P   βᾶμα] βάμα P: βάμεν Cc (cf. Jambl. Protrept. c. 22 p. 125 Pistelli)   23 ἄνιμεν] ἂν εἶναι μὲν P   26 λέγομεν] λέγουσι Brand.   29 Μαρῖνος] cf. Zelleri Ph. Gr. V³ p. 834   32 pr. καὶ iter. P   Πλάτων] Reipubl. II, 17 p. 378 E   33 καὶ scripsi: γὰρ Cc: om. P   φησίν] φασίν c (Reipubl. VII, 16 p. 536 E)   34 οὐδὲ P

ἔφη "τὰν κεφαλὰν καὶ μὴ τὰν γραμμάν", τοῦτ' ἔστι παρὰ τὴν κεφαλὴν καὶ μὴ παρὰ τὴν γραμμήν. καὶ ταῦτα ἔχει ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ια'. 20

Τοῦ θεωρητικοῦ εἰς τρία διαιρεθέντος, εἰς φυσικόν, μαθηματικόν, θεο-
5 λογικόν, μόνου τοῦ μαθηματικοῦ τὴν διαίρεσιν οἱ ἐξηγηταὶ νῦν παραδιδόασιν, ὡς ἂν τούτου συμμέτρως ἔχοντος πρὸς εἰσαγομένους. ἐφ' οἷς εἴπωμεν τὴν ὑποδιαίρεσιν τοῦ μαθηματικοῦ. διαιρεῖται τοίνυν εἰς τέσσαρα, εἰς ἀριθμητι- 25 κήν, μουσικήν, γεωμετρίαν, ἀστρονομίαν. καὶ εἰκότως, ἐπειδὴ ἡ μαθηματικὴ περὶ ἀριθμὸν καταγίνεται καὶ μέγεθος, τοῦ δὲ ἀριθμοῦ τὸ μὲν καθ'
10 αὑτό, τὸ δὲ ἐν σχέσει, τοῦ δὲ μεγέθους τὸ μὲν ἀκίνητον, τὸ δὲ κινούμενον. καὶ περὶ μὲν τὸν καθ' αὑτὸ ἀριθμὸν καταγίνεται ἡ ἀριθμητική, ζητοῦσα τὰς φύσεις τῶν ἀριθμῶν καὶ τὰ πάθη, ὡς ὅταν λέγῃ 'τῶν ἀριθμῶν οἱ 30 μὲν ἄρτιοι, οἱ δὲ περιττοί', καὶ τούτων τὰ εἴδη· οὐδεμίαν γὰρ ἔμφασιν ἑτέρου ἀριθμοῦ παρέχει, εἰ δὲ εἴπῃ διπλάσιον, τριπλάσιον, ἔμφασιν καὶ
15 ἑτέρου παρέχει, ποὺ μὲν ἡμίσεος, ποὺ δὲ τρίτου. | ἡ δὲ μουσικὴ περὶ 421 τὸν ἐν σχέσει ἀριθμὸν καταγίνεται, ζητοῦσα ποῖον λόγον ἔχει ἡ ἀπήχησις τῆσδε τῆς χορδῆς πρὸς τήνδε, ἆρα διπλάσιον καὶ πολλαπλάσιον ἢ ἡμιόλιον. διὸ καὶ ἀποροῦσιν ὅτι εἰ ἡ μουσικὴ περὶ συμμετρίαν φθόγγων καταγίνεται καὶ ἀσυμμετρίαν, πῶς περὶ τὰς σχέσεις τῶν ἀριθμῶν λέγουσιν αὐ- 5
20 τὴν καταγίνεσθαι. καὶ λέγομεν ὅτι μήποτε ⟨περὶ⟩ τῆς κατὰ Πυθαγόραν μουσικῆς ταῦτα εἴρηται ὡς αὐλοτέρας οὔσης, ἥτις οὐ προσποιεῖται ὕλην ἢ φθόγγους, ἀλλ' αὐτὰς τὰς σχέσεις τῶν ἀριθμῶν θεωρεῖ καταμόνας· φασὶ γὰρ αὐτόν ποτε παριόντα διὰ χαλκείου ἀκοῦσαι μέλους τινὸς καὶ ἁρμονίας ἐκ 10 τῶν πληγῶν τῶν σφυρῶν ἀποτελουμένου. καὶ ἐπέτρεψεν αὐτοῖς ἀλλάξαι
25 τοὺς ἄκμονας. τοῦ δὲ μέλους οὐδὲν ἧττον τοῦ αὐτοῦ φυλαχθέντος ἐπέτρεψε πάλιν αὐτοῖς τὰς σφύρας ἀλλάξαι. τοῦ δὲ μέλους ἐπὶ τούτοις παραφθαρέντος ἐστάθμησε καὶ τὰς πρώτας σφύρας καὶ τὰς δευτέρας, ποῖον λόγον ἔσχον πρὸς ἀλλήλας καὶ τὰ μέλη, καὶ ὡς ἁρμονικὸν λόγον ἀπεγράψατο 15 τοὺς λόγους αὐτοὺς καθ' αὑτοὺς συγκρίνας χωρὶς τῆς ὕλης, ὡς εἴ γε συν-
30 έβη τοιαύτην ἀναλογίαν ἀριθμῶν ἐν ὀξυβάφοις ἢ αὐλοῖς εἶναι, τὸ αὐτὸ ἂν μέλος ἀπετελεῖτο. ἡ δὲ γεωμετρία περὶ ἀκίνητον μέγεθος καταγίνεται καὶ περὶ τὰ σχήματα τῆς γῆς, ἡ δὲ ἀστρονομία περὶ κινούμενον μέγεθος, οὐ 20 μόνον δὲ κινούμενον ἀλλ' ἀεικίνητον· φαντασίας γὰρ μόνης ἐστὶν ἡ δοκοῦσα αὐτῶν εἶναι στάσις.

---

1 τὰν] l. πὰρ τὰν (cf. Zonar. IX, 5); via intranti non patet nisi praeter caput i. e. nisi interfecto Archimede 2 καὶ (ante ταῦτα) om. Cc παροῦσα om. Cc 5 μόνου] μόνον Brand. νῦν οἱ ἐξηγηταὶ colloc. P 6 συμμέτρος C 7 εἰς (ante ἀριθμ.) om. Cc 13 γὰρ om. P 14 εἰ] οἱ P 15 ἡμίσεως P 17 τῆς om. P καὶ om. Cc πολυπλάσιον P ἢ om. Cc 17. 18 ἡμιόλειον P 18 συμμετρία c 20 περὶ inserui 22 φασὶ γὰρ αὐτὸν] cf. Jambl. De Pyth. vita 115 sq. 23 ποτε om. P 24 ἀποτελουμένων Brand. 26 αὐτοὺς C[1]P 26. 27 παραφθαρέντος] φθαρέντος Cc 31 ἐπετελεῖτο P καὶ om. P 33 ἀεικίνητον] ἀκίνητον P

Εὗρον δὲ τὴν μὲν ἀριθμητικὴν Φοίνικες (ἐμπορικώτατοι γὰρ ὄντες ἐδεήθησαν ψήφων), τὴν δὲ μουσικὴν εὗρον οἱ Θρᾶκες ὡς ἄγαν πολεμικοὶ ὄντες· ἡ γὰρ ψῦξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει δριμύτερον αὐτὸ 25 ποιεῖ. ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ, καὶ ὀρ-
5 χηστικοὶ δὲ διὰ τὰς ἑτοίμους ἀποφυγὰς τῶν βελῶν· ἔστι γὰρ καὶ πυρρίχιος παρ' αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἔνοπλος κατὰ τὸ εἰρημένον τῷ ποιητῇ

Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα. 30

ἀλλὰ καὶ ἐμβατήρια μέλη ἐστὶ παρ' αὐτοῖς. τὴν δὲ γεωμετρίαν εὗρον Αἰγύπτιοι, ὡς καὶ ἀνωτέρω εἴρηται, διὰ τὸ ἀνιόντα τὸν Νεῖλον συγχεῖν τὰ
10 ὁροθέσια αὐτῶν. τὴν δὲ ἀστρονομίαν εὗρον Χαλδαῖοι ὡς καθαρὸν οἰκοῦντες ἀέρα· ἀνατολικοὶ γὰρ ὄντες τῇ θερμότητι τοῦ ἡλίου ἔχουσι λεπτυνομένην 35 ἑτοίμως τὴν ἀτμίδα· τρίτου γὰρ κλίματος Ἀλεξάνδρεια Ἀφρικὴ καὶ Περσίς. 422 ἐφ' οἷς τούτων λεχθέντων εἴπωμεν τὴν τάξιν αὐτῶν.

Πρότεραι τοίνυν αἱ περὶ ἀριθμοὺς τῶν περὶ μέγεθος καταγινομένων
15 εἰσίν· αὐλότερος γὰρ ὁ ἀριθμὸς τοῦ μεγέθους ὡς δυνάμενος διάφορα εἴδη 5 σχημάτων δέξασθαι ἀσυγχύτως· ὁ γὰρ αὐτὸς ἀριθμὸς δύναται κύκλος ἅμα καὶ τετράγωνος γενέσθαι. κύκλος δέ ἐστιν ὁ νόμῳ κύκλου ἀπὸ τοῦ αὐτοῦ ἀρξάμενος καὶ εἰς τὸ αὐτὸ λήγων, οἷον ὁ τετράκις ἓξ εἴκοσι τέσσαρα. τετράγωνος δὲ ὁ ἑαυτὸν πολυπλασιάζων, οἷον ὁ τετράκις τέσσαρα δεκαέξ· ἐξ
20 ἀριθμοῦ γὰρ ἑαυτὸν πολυπλασιάσαντος ἐγένετο. κύκλος δὲ ἅμα καὶ τετρά- 10 γωνος ὁ ἐξ ἀριθμοῦ ἑαυτὸν πολυπλασιάσαντος γενόμενος καὶ ἀπὸ τοῦ αὐτοῦ ἀρξάμενος καὶ εἰς τὸ αὐτὸ λήγων, οἷον ὁ ἑξάκις ἓξ τριάκοντα ἓξ καὶ ὁ πεντάκις πέντε εἴκοσι πέντε· ἰδοὺ γὰρ ἀπὸ τοῦ αὐτοῦ ἄρχεται καὶ εἰς τὸ αὐτὸ λήγει, καὶ ἐξ ἀριθμοῦ πολυπλασιάσαντος ἑαυτὸν ἐγένετο. καὶ πολλοὶ 15
25 μὲν κύκλοι καὶ τετράγωνοι, κύκλος δὲ ἅμα καὶ τετράγωνος ὁ εἴκοσι πέντε καὶ ὁ τριάκοντα ἕξ, καὶ πλὴν τούτων τῶν δύο οὐκ ἔστιν ἄλλος. ἐπὶ δὲ τῶν μεγεθῶν τοῦτο οὐκ ἔστι· τὸ γὰρ φθάσαν μέγεθος σχηματισθῆναι οὐκ ἐπιδέχεται ἕτερον σχῆμα ἀσυγχύτως ὡς ἐνυλότερον. οὕτως καὶ δεικνύουσιν 20 οἱ φιλόσοφοι ὅτι ἡ φαντασία ἀσώματος ὡς πλείονας τύπους δεχομένη
30 ἀσυγχύτως· αὔλου γὰρ τοῦτο. προτέρα δὲ ἡ ἀριθμητικὴ τῆς μουσικῆς, ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ περὶ τὸν καθ' αὑτὸ ἀριθμὸν καταγίνεται, ἡ δὲ μουσικὴ περὶ τὸν ἐν σχέσει, προηγεῖται δὲ τὰ καθ' αὑτὸ τῶν ἐν σχέσει, εἴ γε πρῶτον γίνεταί τις ἄνθρωπος, εἶθ' οὕτως πατήρ. ἐν δὲ ταῖς περὶ 25 μέγεθος καταγινομέναις προτέρα ἡ γεωμετρία τῆς ἀστρονομίας, ὅτι ἡ μὲν
35 γεωμετρία περὶ ἀκίνητον καὶ μένον ποσὸν καταγίνεται, ἡ δὲ ἀστρονομία

1 δὲ καὶ τὴν Cc 5 ἀποφυγὰς] ἐπιβουλὰς Cc: φυγὰς Dav. Gal. de partt. philos. πυρρίχιος Cc 6 ὅ ἐστιν P Dav. Gal.: ὅτι Cc ἔνοπλος] ἐνόπλιος Dav. Gal. τῷ ποιητῇ] Hom. Π 617 7 Μηριόνη] Μηριόνι Cc: Μυριόνι P 9 ἀνωτέρω C (cf. p. 4,35 sq.) 12 ἑτύμως (οἱ. superscr.) C 14 ἀριθμοὺς scripsi: ἀριθμῶν CPc 15 εἰσίν] καὶ διὰ τί P 18 ἀρχόμενος Cc (cf. v. 22) 18 et 22 λῆγον P 18 τέσσαρες Cc 20 κύκλος —γενόμενος (21) om. P 22 τὸ om. P (cf. v. 18) 24 ἑαυτὸν πολυπλασιάσαντος colloc. P πολὺ Cc 25 εἰκοστὸς πέμπτος P 26 δὲ om. Cc 28 καὶ] γὰρ P 30 ante αὔλου ras. VIII litt. C τῆς μουσικῆς—(31) ἀριθμητικὴ om. P 32 τὸν] τῶν C δὲ om. Cc τὰ καθ' αὑτὸν τὸν ἐν P 33 δὲ om. P 35 μένον ποσὸν] μόνον P

περὶ κινούμενον· οὐ δεῖται δὲ ἡ μονὴ τῆς κινήσεως, ἀλλ' ἡ κίνησις τῆς μονῆς, διότι οὐ δυνατὸν κινεῖσθαί τι ἄνευ μονῆς, οὐδὲ βαδίζειν τις δύναται 30 ἐν τοῖς ψαμμώδεσι τόποις μὴ ἔχοντος τοῦ ποδός που μένειν καὶ ἐπερείδεσθαι· πᾶσα γὰρ κίνησις περί τι μένον καὶ ἀκίνητον καταγίνεται, καὶ τὸ 5 οὐράνιόν φασι σῶμα περὶ μένον κινεῖσθαι, φημὶ δὴ τὴν γῆν, ἥτις τῇ οἰκείᾳ φύσει ἀκίνητός ἐστιν.

Ἀποροῦσι δέ τινες ὅτι εἰ πάντα τὰ μαθήματα δεῖται τῆς τῶν | μουσῶν ἐπιπνοίας, διὰ τί μία μόνη λέγεται μουσική. 423 πρὸς ὅ φαμεν ὅτι ταύτης μόνης ἔργον πάθη ψυχῆς ἰᾶσθαι καὶ σώματος· διὸ καὶ ἡ φιλοσοφία 10 μεγίστη μουσικὴ ὡς πάθη ψυχῆς ἰωμένη, ὅθεν καὶ ἰατρικὴ ψυχῶν λέγεται. ὅτι δὲ ἴαται ψυχῶν πάθη ἡ μουσική, φασί ποτε τὸν Πυθαγόραν θεασάμενον 5 παιδάριον ἑπόμενον κόρῃ αὐλούσῃ ἐπιτρέψαι αὐτῇ στρέψαι τοὺς αὐλούς, καὶ τοῦ μέλους διαφθαρέντος ἔπαυσεν αὐτὸν τοῦ ἐρᾶν. ἀλλὰ καὶ μέχρι τῆς σήμερον ἔχομεν ἐπᾴσματα μουσικά· ἀκούσαντες γὰρ θεατρικῶν μελῶν ἐκ15 νενευρισμένοι γινόμεθα καὶ ἔκλυτοι, πολεμικῶν δὲ τοὐναντίον. καὶ τὰ βο- 10 σκήματα δὲ τῇ τοιᾷδε σύριγγι πείθεται εἰς νομὴν ἐξιόντα καὶ πάλιν εἰς τοὺς σηκοὺς ἐπιστρέφοντα. καὶ σάλπιγξ ἐν πολέμῳ τοὺς ἵππους παρορμᾷ καὶ διεγείρει. ἀλλὰ καὶ τὸν Ἀγαμέμνονά φασι μέλλοντα ἐπιστρατεύειν τῇ Τροίᾳ μὴ πρότερον ἐξορμῆσαι, πρὶν ἀοιδόν τινα καταλιπεῖν φύλακα τῆς 20 σωφροσύνης τῆς ἰδίας γυναικὸς Κλυταιμνήστρας. ὅθεν ὁ Αἴγισθος ἐθέλων 15 ἐθελούσῃ οὐκ ἠδυνήθη αὐτῇ συγγενέσθαι, πρὶν τὸν ἀοιδὸν διέφθειρεν ἔν τινι νήσῳ ἐρήμῃ καλουμένῃ. καὶ τότε αὐτὴν ἀνήγαγεν εἰς τὸν ἑαυτοῦ οἶκον, ὡς δηλοῖ τὰ Ὁμηρικὰ ἔπη. καὶ Συνέσιος δὲ ὁ φιλόσοφος ὁ γενόμενος ὕστερον Κυρήνης ἐπίσκοπος βαρβάρων ἐπιστάντων τῇ Κυρήνῃ διά τινων 25 μελῶν ἔτρεψε τούτους, καὶ φεύγοντες ἔκοπτον ἀλλήλους μηδενὸς διώκοντος. 20

Πρᾶξις ιβ'.

Λεκτέον τὴν διαίρεσιν τοῦ πρακτικοῦ· τοῦτο γὰρ μόνον λείπει τῇ διαιρέσει. διαιρεῖ τοίνυν τοῦτο ὁ Ἀριστοτέλης εἰς τρία, εἰς ἠθικόν, οἰκονομικόν, πολιτικόν· ὁ γὰρ πρακτικὸς φιλόσοφος ἀνθρωπείας ψυχὰς κοσμεῖν 25 30 ἐπαγγελλόμενος ἢ ἀφ' ἑαυτοῦ ἄρχεται τοῦ κόσμου καὶ λέγεται ἠθικός (γελοῖος γὰρ εἴη, εἰ ἄλλους ἐπαγγέλλοιτο κοσμεῖν αὐτὸς ἄκοσμος ὤν), ἢ ὀλίγους κοσμεῖ καὶ λέγεται οἰκονομικός, ἢ πολλοὺς καὶ λέγεται πολιτικός.

---

2 τι] τε P 3 ψαμμόδεσι P που] τὸ P 4 περί τι — σῶμα (5) om. P 5 κινεῖται P 7 εἰ] ἡ C: om. Brand. 8 ἐπινοίας Cc ὅ] ἃ P 10 μεγίστη μουσική] cf. p. 9,29 11 verba φασὶ — μουσικά (14) inepto loco inserta esse coniecit Wellmann (*Programm d. Königstädt. Gymn.* 1882 p. 35); fort. ὅτι (11) — μουσικά (14) eicias πυθαγόρα P 12 post ἐπιτρέψαι IV litt. eras. C 13 τῆς] τὴν Cc 14 ἐπᾴσματα scripsi: ἐνέσματα C: ἄσματα P: ἐνᾴσματα c (αι supra) γάρ] δὲ P 15 πολεμικὸν P 16 δὲ om. Cc καὶ πάλιν — ἐπιστρέφοντα (17) om. Cc 17 σάλπιξ C 18 Ἀγαμ.] cf. Hom. γ 267 sq. φησι P 20 κλυτεμνήστρας P 21 τὴν ἀοιδὸν P 22 ἤγαγεν P 23 Συνέσιος] cf. Volkmann *Syn. v. Cyr.* p. 93 25 ἔκκοπτον P 27 ante λεκτέον tit. ἡ διαίρεσις τοῦ πρακτικοῦ add. P 29 πρακτικὸς] προαιρετικὸς c 30. 31 γελοῖος γὰρ εἴη, εἰ] τελεῖος γὰρ P: γελοίως γὰρ Brand. 31 ἐπαγγέλοιτο Cc: ἐπαγγέλλεται P 32 ἢ πολλοὺς — πολιτικός om. P

Ἐγκαλοῦσι δὲ οἱ Πλατωνικοὶ τῇ τοιαύτῃ διαιρέσει τέσσαρα ἐγκλήματα· 30
πρῶτον ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὸ γένος ἑνὶ εἴδει ἑαυτοῦ πάντῃ ταὐτόν
ἐστιν· οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον, καὶ οὐ πάντῃ ταὐτόν
ἐστι τὸ ζῷον τῷ λογικῷ, ἐπεὶ πῶς ἑαυτὸ τῷ ἀλόγῳ παράσχοι; ἐνταῦθα
5 δὲ ταὐτὸν τὸ πρακτικὸν τῷ πολιτικῷ· | καὶ ὁ πρακτικὸς γὰρ ἢ ἕνα κοσμεῖ 424
ἢ ὀλίγους ἢ πολλούς, καὶ ὁ πολιτικὸς ὁμοίως ἢ ἕνα ἢ ὀλίγους ἢ πολλοὺς
κοσμεῖ. δεύτερον ἔγκλημα, ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὰ εἴδη περιέχει
ἄλληλα· αἱ γὰρ διαιρέσεις διακρίσεως χάριν ἐπενοήθησαν· ἐπὰν οὖν τὸ
ἕτερον ὑπὸ τοῦ ἑτέρου περιέχηται, οὐκ ἔστι διαίρεσις· οἷον οὐδεὶς διαιρεῖ 5
10 τὸν Σωκράτην εἰς χεῖρας καὶ δακτύλους (περιέχει γὰρ ἡ χεὶρ τοὺς δακτύ-
λους), πάλιν οὐδεὶς διαιρεῖ τὸ ζῷον εἰς ἄνθρωπον καὶ Σωκράτην (ὁ γὰρ
ἄνθρωπος περιέχει τὸν Σωκράτην), ἀλλὰ διαιρεῖ τὸ ζῷον εἰς ἄνθρωπον
καὶ βοῦν, καὶ τὸν ἄνθρωπον εἰς χεῖρας καὶ πόδας, ἃ οὐ περιέχουσιν
ἄλληλα. ἐνταῦθα δὲ περιέχουσιν ἄλληλα τὰ εἴδη· τὸ γὰρ ἠθικὸν περι- 10
15 έχεται ὑπὸ τοῦ οἰκονομικοῦ καὶ τὸ οἰκονομικὸν ὑπὸ τοῦ πολιτικοῦ, ἐπειδὴ
καὶ τὸ ἓν ὑπὸ τῶν ὀλίγων περιέχεται καὶ τὰ ὀλίγα ὑπὸ τῶν πολλῶν, καὶ
εἴπερ πᾶσα ἡ πόλις κεκόσμηται, δῆλον ὅτι καὶ οἱ ἐν τῷ οἴκῳ, καὶ εἰ οἱ
ἐν τῷ οἴκῳ, δῆλον ὅτι καὶ ὁ καθ' ἕκαστον τῶν ἐν τῷ οἴκῳ. τρίτον
ἔγκλημα, ὅτι οὐκ ἀεὶ ὁ ὀλίγους κοσμῶν λέγεται οἰκονομικός, ὁ δὲ πολλοὺς 15
20 πολιτικός· τί γὰρ ποιεῖ ⟨ὁ⟩ ἐπὶ τῶν οἴκων τῶν ἐχόντων πλείονας ἀνθρώπους
τινῶν πόλεων; ἔσται γὰρ τότε τὸ οἰκονομικὸν πολιτικὸν καὶ τὸ πολιτικὸν
οἰκονομικόν. τέταρτον ἔγκλημα, ὅτι εἰ δῶμεν ἀπὸ τοῦ ποσοῦ τῶν ὠφελου-
μένων τὰς ἕξεις διαιρεῖσθαι τῷ ἢ ἕνα ὠφελεῖν ἢ ὀλίγους ἢ πολλούς, λή-
σομεν οὕτως πᾶσαν τέχνην καὶ ἐπιστήμην διαιροῦντες· πᾶσα γὰρ τέχνη 20
25 καὶ ἐπιστήμη σκοπὸν ἔχει ἢ ἕνα ὠφελεῖν ἢ ὀλίγους ἢ πολλούς.

Ταύτην τὴν διαίρεσιν ὡς κακῶς ἔχουσαν ἀποσεισάμενοι οἱ Πλατωνικοὶ
λέγουσιν ἑτέραν διαίρεσιν. διαιροῦσι τοίνυν τὸ πρακτικὸν εἰς δύο, εἰς νομο-
θετικὸν καὶ δικαστικόν, διότι ὁ πρακτικὸς φιλόσοφος ἠθῶν ὢν ἐπανορθωτὴς 25
καὶ νόμους τίθησι, καθ' οὓς δεῖ ζῆν τοὺς εὖ βιώσοντας, καὶ ἐπιτίμια
30 ὁρίζει, οἷς δεῖ ὑποπίπτειν τοὺς μὴ ἐμμείναντας τοῖς προεκτεθεῖσι νόμοις.

Ἀλλὰ πόθεν ὅτι Ἀριστοτέλους ἡ εἰς τρία διαίρεσις, πόθεν δὲ ὅτι Πλά-
τωνος ἡ εἰς δύο, πόθεν δὲ ὅτι οὐ προσίεται ὁ Πλάτων τὴν εἰς τρία τοῦ Ἀριστο- 30
τέλους διαίρεσιν; Ἀριστοτέλους τοίνυν ἡ εἰς τρία διαίρεσις διὰ τὰς γε-
γραμμένας αὐτῷ τοιαύτας πραγματείας· διὰ μὲν γὰρ τὸ ἠθικὸν γεγραμ-
35 μένα αὐτῷ εἰσι τὰ Ἠθικὰ πρὸς Εὔδημον μαθητὴν καὶ ἄλλα πρὸς Νικό-

---

2 τὸ γένος — ἑαυτοῦ eras. P 4 ἑαυτὸν P 9 περιέχηται scripsi: περιέχεται CPc 10 χεῖρα (pr. l.) Cc περιέχει — δακτύλους om. P 11 ὁ γὰρ ἄνθρωπος περιέχει τὸν Σωκράτην om. Cc 12 ἄνθρωπον] ἵππον P 14 ἐνταῦθα — ἄλληλα om. c 15 καὶ iter. P 16 τὰ (ante ὀλίγα) om. Cc post alt. τῶν V litt. eras. C 17 οἱ (ante ἐν τῷ οἴκῳ) om. P 18 ἕκαστον scripsi: ἕκαστος Cc: ἕκαστα P 19 ὁ ὀλίγους c: ὀλίγους C: ἐὰν ὀλίγους (sic) P κοσμεῖ P ὁ δὲ c: εἰ δὲ CP 20 ὁ addidi 22 εἰ δῶμεν] εἴδομεν P 23 τῷ Brand.: τὸ CPc 23. 24 λήσομεν] λύσωμεν οὖν P: λύσαιμεν ἂν Brand. 29 βιώσαντας P 30 ἐμμείνοντας P

μαχον τὸν πατέρα, τὰ Μεγάλα Νικομάχεια, καὶ πρὸς Νικόμαχον τὸν υἱόν, τὰ Μικρὰ Νικομάχεια. διὰ δὲ τὸ οἰκονομικὸν γέγραπται αὐτῷ ὁ Οἰκο- 35 νομικὸς τὸ σύνταγμα, | ἐν ᾧ φησιν ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι 425 τὸν οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, 5 εἰσιόντων πρὸς ἐξιόντα, ἵνα μήτε πλείονα τὰ εἰσιόντα τῶν ἐξιόντων (φειδωλία γὰρ τοῦτο καὶ ἀνελευθερία) μήτε πλείονα τὰ ἐξιόντα τῶν εἰσιόντων 5 (ἀσωτία γὰρ τοῦτο), ἀλλ' ἐπίσης. διὰ δὲ τὸ πολιτικὸν γέγραπται αὐτῷ ὁ Πολιτικός. γεγραμμέναι δὲ αὐτῷ εἰσι καὶ Πολιτεῖαι, διακόσιαι πεντήκοντα τὸν ἀριθμόν, ἃς συνεγράψατο ἐκ τοῦ πολλὴν γῆν συμπεριελθεῖν Ἀλεξάνδρῳ 10 τῷ βασιλεῖ.

Ἀλλὰ καὶ Πλάτωνος ἡ εἰς δύο διαίρεσις· διὰ μὲν γὰρ τὸ νομοθετικὸν γεγραμμένοι εἰσὶν αὐτῷ Νόμοι ἐν δεκαδύο διαλόγοις, διὰ δὲ τὸ 10 δικαστικὸν γεγραμμέναι εἰσὶν αὐτῷ τρεῖς νεκυΐαι, ἡ ἐν Γοργίᾳ (ἐκεῖ γὰρ διαλέγεται περὶ τῶν δικαστῶν, Μίνωος καὶ Ῥαδαμάνθυος καὶ Αἰακοῦ), καὶ 15 ἡ ἐν Φαίδωνι (ἐκεῖ γὰρ λέγει περὶ τῶν δικαστικῶν τόπων, Κωκυτοῦ, Ταρτάρου, Πυριφλεγέθοντος καὶ Ἀχέροντος), καὶ ἡ ἐν τῷ δεκάτῳ τῆς Πολι- 15 τείας· ἐκεῖ γὰρ διαλέγεται περὶ τῶν δικαζομένων ψυχῶν· εἰσάγει γὰρ ἐκεῖ ἥρωά τινα πολλὰ πλημμελήσαντα καὶ δίκας διδόντα τῶν πραχθέντων αὐτῷ. ἀλλὰ πόθεν ὅτι οὐ προσίεται ὁ Πλάτων τὴν εἰς τρία τοῦ Ἀριστοτέλους 20 διαίρεσιν; τοῦτο οὖν δείκνυμεν ἐκ διαφόρων· ἐν μὲν γὰρ τῷ Γοργίᾳ λέγει 20 ὅτι 'ἥπερ πόλει, καὶ ἰδιώτῃ, αὐτῷ πρὸς ἑαυτὸν καὶ πρὸς ἑτέρους' ἀντὶ τοῦ 'μία ἕξις ἠθική, οἰκονομική, πολιτική'· διὰ μὲν γὰρ τοῦ εἰπεῖν 'ἥπερ πόλει' τὸ πολιτικὸν ἐσήμανεν, διὰ δὲ τοῦ εἰπεῖν 'αὐτῷ πρὸς ἑαυτόν' τὸ ἠθικόν, διὰ δὲ τοῦ εἰπεῖν 'καὶ πρὸς ἑτέρους' τὸ οἰκονομικόν. βούλεται 25 οὖν δεῖξαι ὅτι ἐὰν ἡ πόλις πᾶσα κακῶς βιοῖ, τοῦτ' ἔστι τὸ πολιτικόν, καὶ 25 ὁ ἰδιώτης κακῶς βιώσει, τοῦτ' ἔστι τὸ ἠθικόν, καὶ διὰ τοῦτο εἴρηκε τὸ 'ἥπερ πόλει, καὶ ἰδιώτῃ'. τὸ δὲ 'αὐτῷ πρὸς ἑαυτὸν καὶ πρὸς ἑτέρους' δηλοῖ τοὺς ὀλίγους, ταὐτὸν δὲ λέγειν τὸ οἰκονομικόν. ἐν δὲ τῷ Ἀλκιβιάδῃ φησὶν ὅτι 'ὁ ἕνα πείθων καὶ ὀλίγους καὶ πολλοὺς πείθει, καὶ τοῦ αὐ- 30 30 τοῦ ἕνα πείθειν καὶ πολλούς'. ἀλλ' οὐκ ἀνάγκη, φησί τις, τὸν πείθοντα πολλοὺς καὶ ἕνα πείθειν, ἐὰν ᾖ ἰδιώτης ὁ εἷς. καὶ λέγομεν ὅτι ἐὰν ᾖ τοιοῦτος οἷοι οἱ πολλοί, τότε πείθεται. καὶ πάλιν ἐν ἄλλῳ διαλόγῳ φησὶν ὁ Πλάτων ὅτι 'οὐδὲν διαφέρει ἡ ἐν μιᾷ πόλει δικαιοσύνη τῆς ἐν μιᾷ ψυχῇ,

---

1. 2 νικομάχια (utrobique) P 2. 3 ὁ Οἰκον.] cf. Arist. frg. p. 138 Rose 3 συγκεκροτεῖσθαι P 5 ἐξιόντας P 6 τῶν ἐξιόντων τὰ εἰσιόντα P 7 ὁ om. P 8 πολιτεῖαι om. P διακόσια P 9 περιελθεῖν σὺν P 13 ἐν Γοργίᾳ] cf. p. 523 E sq. 14 καὶ (post Μίνωος) om. P 15 et 16 ἡ] οἱ P 15 ἐν Φαίδωνι] cf. p. 112 A sq. 16 ἀχαίροντος P 16. 17 ἐν τῷ δεκάτῳ τῆς Πολιτείας] cf. p. 615 C 18 ἥρωα] ἦρα P διδοῦντα P 19 ante τοῦ add. διὰ Cc (cf. p. 32,32) 20 ἐν μὲν γὰρ τῷ Γοργίᾳ] potius Alcib. I p. 126 D 21 ὅτι om. c 21 et 22 ἥπερ] ὅπερ P 21. 23. 27 αὐτῷ Plat.: αὐτοῦ libri 23 αὐτῷ — εἰπεῖν (24) om. P 26 βιώσῃ P 28. 29 ἐν δὲ τῷ Ἀλκιβιάδῃ] cf. Alcib. I p. 114 C. D 31 pr. ᾖ] δὲ P alt. ᾖ scripsi: ἐστι CPc 32 οἷον Cc ἐν ἄλλῳ διαλόγῳ] cf. Reipubl. II, 10 p. 368 D. E διαλόγῳ scripsi: λόγῳ CPc

εἰ μὴ ὃ διαφέρει τὰ μικρὰ γράμματα τῶν μεγάλων'. καὶ ταῦτα μὲν περὶ τούτων. |

Φέρε δὲ ἡμεῖς εἴπωμεν ὑπὲρ Ἀριστοτέλους ὅτι κἂν συνεγράψατο 426 ἠθικὰ ἢ πολιτικά, οὐ διαιρεῖ εἰς ταῦτα τὸ πρακτικόν, ἀλλ' οἶδεν ὅτι τὸ
5 νομοθετικὸν καὶ δικαστικὸν διήκει δι' αὐτῶν, ἐπεὶ τοῖς αὐτοῖς ἀτόποις περιπεσοῦνται καὶ οἱ γραμματισταί· ἐπειδὴ γὰρ διαλέγονται περὶ γραμμάτων, 5 συλλαβῶν καὶ λέξεων, μὴ νομίσῃς ὅτι εἰς τρία τὸ ἐκφωνούμενον διαιροῦσιν, αὐτὸ τοῦτο τί ἐστι διαίρεσις μὴ ἐπιστάμενοι. ἐπίσταται δὲ καὶ τὴν εἰς τὸ νομοθετικὸν καὶ δικαστικὸν διαίρεσιν ὁ Ἀριστοτέλης, εἴπερ ἔστι καὶ ἑαυτῷ
10 νομοθετεῖν καὶ δικάζειν· νομοθετεῖν μέν, ὡς ἡνίκα ἐπᾴδωμεν ἑαυτοῖς τὰ τῷ ὄντι χρυσᾶ ἔπη Πυθαγόρου, τὸ 10

πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν·

τοῦτο γὰρ νόμος καὶ κρηπὶς ἀσφαλὴς ἀρίστου βίου· ὁ γὰρ διὰ τὴν πρὸς ἄλλον αἰδῶ τῶν ἀνηκέστων φειδόμενος λήσας ἐκεῖνον ἴσως μειζόνως ταῦτα 15
15 διαπράξεται, ὁ δὲ διὰ τὴν πρὸς ἑαυτὸν αἰδῶ τούτων φειδόμενος οὐδέποτε πράξει κακὸν ἀναπόστατον ἑαυτὸν ἑαυτοῦ περιφέρων μάρτυρα. καὶ δικάζειν δὲ ἔστιν ἑαυτῷ, ὡς ἡνίκα πάλιν ἐπᾴδωμεν ἑαυτοῖς τὰ αὐτὰ χρυσᾶ ἔπη·

μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν· 20
20 πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
αἰσχρὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, ἐσθλὰ δὲ τέρπου.

ἀλλὰ καὶ οἴκῳ ἔστι νομοθετεῖν καὶ δικάζειν· νομοθέτης γὰρ καὶ δικαστὴς ὁ κύριος τῆς οἰκίας τοὺς μὲν πειθομένους τοῖς αὑτοῦ λόγοις ἐκτρέφων, τοὺς 25 δὲ μὴ πειθομένους ἐκβάλλων. ἀλλὰ καὶ πόλει ἔστι νομοθετεῖν καὶ δικάζειν·
25 ποῦ γὰρ οἰκειότερον ταῦτα πραχθείη ἢ ἐν πόλει; |

---

3 εἴπομεν Cc 4 ἢ πολιτικά om. P; an καὶ οἰκονομικὰ καὶ πολιτικά? supra τὸ (ante πρακτ.) scr. τὰ P τὸ (ante νομοθετ.) om. Cc 5 ἐπεὶ] ἐπὶ P 6 γραμματιασταί Cc 8 τὸ (ante νομοθετ.) om. P 10 ἐπάδομεν Cc (cf. v. 17) 11 τῷ om. P 12 μάλιστ' Hierocl. (I, 447 Mullach.): μάλιστα CPc 14 ἀνικέστων P φοιδόμενος P 15 αὐτὸν Cc 17 ἑαυτῷ scripsi: ἑαυτῶν P: om Cc (cf. v. 9) τὰ αὐτὰ χρυσᾶ ἔπη] cf. Hierocl. c. XIX (I, 460 Mullach) 18 μηδ'] μηδὲ CPc ὄμασι P 19 τρὶς ἕκαστον ἐπελθεῖν] λογίσασθαι ἕκαστον Hierocl. τρὶς] τρεῖς P 20 δὲ ἔρεξα P μοι] μὴ P 21 αἰσχρὰ] δειλὰ Hierocl. ἐκπρήξας P Hierocl.: ἔπρηξας Cc ἐσθλὰ] χρηστὰ Hierocl. Amm. τέρπου] τέρπευ Hierocl. 23 αὑτοῦ scripsi: αὐτοῦ CPc 25 ἐν πόλει] expl. P

Πρᾶξις ιγ'.

Ἐπειδὴ ὅλην ὡς ὅλην ἔγνωμεν τὴν φιλοσοφίαν διὰ τῶν ἐξ ὁρισμῶν καὶ ὡς μέρη ἔχουσαν αὐτὴν διὰ τῶν διαιρέσεων, φέρε καὶ τοῦ παρόντος 5
5 βιβλίου φροντίδα ποιησώμεθα τὰ εἰωθότα ὀκτὼ τὸν ἀριθμὸν ὄντα, τὸν σκοπόν, τὸ χρήσιμον, τὴν τάξιν, τὴν ἐπιγραφήν, τὸ γνήσιον, τὴν εἰς τὰ κεφάλαια τοῦ βιβλίου διαίρεσιν, τὸν τρόπον τὸν διδασκαλικόν, καὶ ὑπὸ ποῖον μέρος ἢ μόριον τῆς φιλοσοφίας ἀνάγεται τὸ βιβλίον, ἃ καὶ κεφάλαια εἴρηται ὡς ἐκ μεταφορᾶς τῆς ἐν τοῖς ζῴοις κεφαλῆς· ὥσπερ γὰρ ἐκείνη 10
10 ἐν βραχεῖ τὴν δύναμιν πᾶσαν τοῦ ζῴου περιέχει, οἰκητήριον οὖσα τῶν πέντε αἰσθήσεων, οὕτως καὶ ταῦτα ἐν βραχεῖ τὸ βούλημα παριστῶσι τῶν λεγομένων· διὸ καὶ παρὰ τοῖς ῥήτορσι τὸ 'ὡς ἐν κεφαλαίῳ' εἴρηται ἀντὶ τοῦ 'ἐν βραχεῖ πολλὰ περιλαβεῖν'.

Σκοπὸν τοίνυν ἔχει ὁ Πορφύριος ἐνταῦθα πάσας τὰς κατὰ φιλοσοφίαν 15
15 φωνὰς ὑπὸ πέντε ἀρχὰς καὶ κοινότητας ἀναγαγεῖν, καὶ δεῖξαι ὅτι πᾶσα φιλόσοφος φωνὴ ἢ γένος ἐστὶν ἢ διαφορὰ ἢ εἶδος ἢ ἴδιον ἢ συμβεβηκός, καὶ ἕκτη παρὰ ταύτας οὐδὲ ἐπινοηθῆναι δύναται. τοῦτο δὲ καὶ ἐκ διαιρέσεως δείκνυσιν, ἣν αἰνίττεται ἐν τῷ περὶ γένους λόγῳ. ἔχει δὲ οὕτως· ἡ 20
φωνὴ ἢ σημαντική ἐστιν ἢ ἄσημος. ἀλλ' αἱ μὲν ἄσημοι χαιρέτωσαν·
20 γραμματικοῖς αὗται μελήσουσιν, παρ' οἷς οὐδὲν διαφέρει τὸ Ὅμηρος τοῦ σκινδαψός [σκινδαψοῦ]· φιλοσόφοις δέ, οἷς σημαινομένων καὶ μόνον ἐστὶ φροντίς, πολλὴν διαφορὰν εἰσάγει τὸ σημαίνειν ἢ μὴ σημαίνειν· εἰ γὰρ μὴ 25
σημαίνει, οὐδὲ διαλέγονται περὶ αὐτῶν· εἰ γὰρ ἦν τὰ πράγματα διδάξαι χωρὶς φωνῶν, οὐκ ἄν ποτε φωναῖς ἐχρήσαντο. ἀλλ' ἐπειδὴ τοῦτο ἀδύνα-
25 τον (χωρὶς γὰρ φωνῶν οὐ διδάσκεται πρᾶγμα), ἐξ ἀνάγκης διαλέγονται καὶ περὶ φωνῶν. τῶν δὲ σημαντικῶν αἱ μὲν καθόλου, αἱ δὲ μερικαί. ἀλλὰ

---

5 an ⟨ζητοῦντες⟩ τὰ εἰωθότα? 9 τῆς c: τοῖς C 11 ἐν βραχεῖ iteratum eras. C 12 παρὰ τοῖς ῥητ.] e. g. Dem. XXIV,5 p. 701 18 ἐν τῷ περὶ γένους λ.] p. 2,17 21 σκινδαψοῦ delevi (ἀλλ' ἡ μὲν ἄσημος φωνὴ χαιρέτω φιλοσόφοις περὶ τὰ πράγματα καταγινομένοις διδόσθω δὲ γραμματικοῖς, παρ' οἷς οὐδὲν διοίσει τὸ σκινδαψός τοῦ Ὅμηρος ὅσον κατὰ τὴν κατάληξιν, ἀμφότερα γὰρ καὶ ἀρρενικά εἰσι καὶ ὁμοιοκατάληκτα Mon. 399) καὶ eicias 23 σημαίνει] an σημαντικαί?

καὶ αἱ μερικαὶ μετὰ τῶν ἀσήμων ἐκβαλέσθωσαν· ποιηταῖς γὰρ αὗται μελήσουσι καὶ ῥήτορσι, τοῖς μὲν διὰ τὰς ἱστορίας, τοῖς δὲ διὰ τὸν φεύγοντα καὶ τὸν διώκοντα. 30

Τῶν δὲ καθόλου αἱ μὲν οὐσιώδεις εἰσίν, αἱ δὲ ἐπεισοδιώδεις. ἐκεῖνα 5 δὲ λέγεται οὐσιώδη, ὅσα καὶ | παρόντα σώζουσι καὶ ἀπόντα φθείρουσιν· 428 οἷον τὸ λογικὸν τῷ ἀνθρώπῳ οὐσιωδῶς ὑπάρχει (καὶ παρὸν γὰρ σώζει αὐτὸν καὶ ἀπὸν φθείρει), ὁμοίως καὶ ἡ θερμότης τῷ πυρὶ καὶ ἡ ψυχρότης τῇ χιόνι. ἐπεισοδιώδη δὲ λέγεται ὅσα τοὐναντίον μήτε παρόντα σώζει μήτε ἀπόντα φθείρει· τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ ἐπεισοδιωδῶς ὑπάρχει· 5 10 οὔτε γὰρ παρὸν σώζει αὐτὸν οὔτε ἀπὸν φθείρει. τὰ μὲν οὖν οὐσιώδη ἢ ὕπαρξιν δηλοῦσιν ἢ τρόπον ὑπάρξεως· καὶ εἰ μὲν τρόπον ὑπάρξεως, ποιεῖ τὴν διαφορὰν οἷον τὸ λογικόν (τοῦτο γὰρ τοιόνδε ποιεῖ τὸ ζῷον), εἰ δὲ ὕπαρξιν δηλοῖ, ἢ εὐθέως εἰς τὰ ἄτομα διαιρεῖται, Σωκράτην φημὶ καὶ 10 Πλάτωνα καὶ Ἀλκιβιάδην, καὶ λέγεται τὸ διαιρούμενον εἶδος, ἢ πρῶτον 15 εἰς τὰ εἴδη διαιρεῖται, εἶτα διὰ τῶν εἰδῶν εἰς τὰ ἄτομα, καὶ λέγεται γένος τὸ διαιρούμενον. τὰ δὲ ἐπεισοδιώδη ἢ μιᾷ μόνῃ φύσει ὑπάρχουσι καὶ λέγονται ἴδια, ὡς τὸ γελαστικὸν τῷ ἀνθρώπῳ, τὸ χρεμετιστικὸν τῷ ἵππῳ, 15 τὸ ὑλακτικὸν τῷ κυνί, ἢ πολλαῖς καὶ λέγονται συμβεβηκότα, ὡς τὸ λευκὸν οὐ μόνον ἀνθρώπῳ ὑπάρχει ἀλλὰ καὶ ἵππῳ καὶ βοῒ καὶ ἀψύχοις. ἢ καὶ 20 ἄλλως· πᾶσα φωνὴ ἢ σημαντικὴ ἢ ἄσημος· καὶ εἰ μὲν σημαντική, ἢ καθόλου ἢ μερική. τῆς δὲ καθόλου τὰ μὲν οὐσιώδη, τὰ δὲ ἐπεισοδιώδη. 20 τὰ μὲν οὖν οὐσιώδη ἢ κατὰ διαφερόντων τῷ εἴδει καὶ ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ποιεῖ τὸ γένος, ἢ ἐν τῷ ποιόν τί ἐστι καὶ ποιεῖ τὴν διαφοράν, ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ 25 ποιεῖ τὸ εἶδος. τὰ δὲ ἐπεισοδιώδη ἢ ἀντιστρέφει καὶ ποιεῖ τὸ ἴδιον, ὡς τὸ γελαστικόν (πᾶν γὰρ γελαστικὸν ἄνθρωπος καὶ πᾶς ἄνθρωπος γελαστικόν), ἢ οὐκ ἀντιστρέφει καὶ ποιεῖ τὸ συμβεβηκός, οἷον τὸ λευκόν· οὐδὲ 25 γὰρ ἀντιστρέφει τὸ λευκὸν πρὸς τὸν ἄνθρωπον· οὐδὲ γὰρ εἴ τι λευκόν, ἐκεῖνο καὶ ἄνθρωπος, οὐδὲ εἴ τι ἄνθρωπος, τοῦτο λευκόν· ὁ γὰρ Αἰθίοψ 30 ἄνθρωπός ἐστι καὶ οὐ λευκόν. |

Πρᾶξις ιδʹ. 429

Μετὰ τὸ πρῶτον κεφάλαιον εἴπωμεν καὶ τὸ δεύτερον, φημὶ τὸ χρήσιμον. χρησιμεύει τοίνυν τὸ παρὸν βιβλίον εἰς τὴν ἡμῶν αὐτῶν οὐσίαν, εἰς πᾶσαν φιλοσοφίαν, εἰς τὰς διαλεκτικὰς μεθόδους, εἰς τὰς Ἀριστοτέλους καὶ τῶν ἄλλων Κατηγορίας· οὗτοι γὰρ κατὰ ζῆλον τοῦ οἰκείου διδασκάλου ὁμώνυμα συγγράμματά τούτῳ κατέ|λιπον. χρησιμεύει οὖν ἡμῖν εἰς τὴν 430 ἡμῶν αὐτῶν οὐσίαν, ἐπειδὴ κοινωνικὸν ζῷον ὁ ἄνθρωπος· ἀμέλει καὶ ἐν ταῖς ἠρεμίαις ἀσχάλλομεν ὡς παρὰ φύσιν ζῶντες καὶ μὴ ἔχοντες ὅτῳ 20

---

4 ἐπεισοδιώδεις recte C: ἐπουσιώδεις coni. Cramer. 22 καὶ ἢ] ἢ καὶ c 23. 25 ποεῖ C 32 εἴπωμεν scripsi: εἴπομεν Cc 35 τῶν ἄλλων scripsi: τὰς ἄλλας Cc (cf. p. 38,16) δασκάλου C 36 συγγράμμα C

κοινωνήσομεν. κοινωνοῦμεν δὲ ἀλλήλοις διὰ φωνῶν, ὅθεν καὶ φωνὴ εἴρηται ὡς εἰς φῶς ἄγουσα τὰ τοῦ νοῦ γεννήματα, διὸ καὶ φὼς μόνος ὁ ἄν- 5 θρωπος λέγεται ὡς πολὺ τὸ φωτιστικὸν ἔχων καὶ ἐξαγγελτικόν· οὗτος γὰρ καὶ τὰ γνωστικὰ ἑαυτοῦ πάθη ἐξαγγέλλει διὰ τῆς φωνῆς τῆς ἐνάρθρου
5 καὶ τὰ ζωτικὰ διὰ τῆς ἀνάρθρου, οἷον βηχὸς συρίγματος στεναγμοῦ, τὰ δὲ ἄλογα διὰ τῶν ἀνάρθρων μόνον τὰ ζωτικὰ ἡμῖν ἐμφαίνει. εἰ οὖν περὶ 10 φωνῶν διαλέγεται, πῶς οὐ χρησιμεύει ἡμῖν εἰς τὴν ἡμῶν αὐτῶν οὐσίαν; ἀλλὰ καὶ εἰς πᾶσαν φιλοσοφίαν, εἴ γε πᾶσαν φιλόσοφον φωνὴν ἐνταῦθα διδασκόμεθα. ἀλλὰ καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους· τέσσαρες γὰρ αὗται,
10 διαιρετική, ὁριστική, ἀποδεικτική, ἀναλυτική, ἐπειδὴ καὶ τέσσαρα τὰ διαλεκτικὰ προβλήματα, εἰ ἔστι, τί ἐστιν, ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστι. 15 καὶ τὸ μὲν εἰ ἔστιν ἀναλογεῖ τῇ διαιρετικῇ (εἰ γὰρ ἔστι πάντως ὑπὸ τὴν διαίρεσιν πίπτει), τὸ δὲ τί ἐστι τῇ ὁριστικῇ * * * (πᾶσαι γὰρ αἱ ἀποδείξεις τοῦ ὁποῖόν τί ἐστι· σπανίως γὰρ ἀμφιβάλλεται τὸ εἴ ἐστι καὶ ὁρισμοῦ
15 ἀπόδειξις οὐκ ἔστι), τὸ δὲ διὰ τί ἐστιν ἀναλογεῖ τῇ ἀναλυτικῇ· ἑκατέρα 20 γὰρ αὐτῶν αἰτίας εὕρεσίς ἐστι. καὶ τοσαύτη ἐστὶν ἡ δύναμις τῆς ἀναλυτικῆς, ὡς ἰσχύειν πάσαις ἀντιτάσσεσθαι· τῇ μὲν ὁριστικῇ, ὅτι ἐκείνης τὰ πολλὰ ἓν ποιούσης αὕτη τὸ ἓν πολλὰ ποιεῖ, τῇ δὲ διαιρετικῇ, ὅτι τῆς διαιρετικῆς τὸ ἓν πολλὰ ποιούσης καὶ αὕτη τὸ αὐτὸ ποιεῖ. ἀλλὰ καὶ τῇ 25
20 ἀποδεικτικῇ· τῆς γὰρ ἀποδεικτικῆς ἀπὸ αἰτίων καὶ πρώτων ἀρχομένης αὕτη ἀπὸ τῶν αἰτιατῶν καὶ δευτέρων ἄρχεται· οὐδὲν γάρ ἐστιν ἀνάλυσις, εἰ μὴ ἀπόδειξις ἀντεστραμμένη, ὅθεν καὶ ἀνάλυσις ὡς ἀνάπαλιν λύσις οὖσα τοῦ προκειμένου.

Ἴδιον δὲ τῆς μὲν διαιρετικῆς τὸ ἓν πολλὰ ποιεῖν, οἷον τὸ ζῷον
25 διελεῖν εἰς λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον. τῆς δὲ ὁριστικῆς τοὐναντίον τὰ πολλὰ ἓν ποιεῖν, τοῦτ' ἔστι λαβεῖν τὸ ζῷον, τὸ λογικόν, τὸ θνητὸν καὶ ὁρίσασθαι τὸν ἄνθρωπον. ἴδιον δὲ τῆς ἀποδεικτικῆς τὸ δεῖξαι ἄλλο ἄλλῳ ὑπάρχον δι' ἄλλου μέσου· οἷον θέλοντες δεῖξαι ὅτι τὸ ἔμψυχον ὑπάρχει τῷ ἀνθρώπῳ παραλαμβάνομεν μέσον τὸ ζῷον καὶ συλλογιζόμεθα | 35
30 οὕτως· ἐὰν τὸ ἔμψυχον ὑπάρχῃ τῷ ζῴῳ, τὸ δὲ ζῷον τῷ ἀνθρώπῳ, 431 πᾶσα ἀνάγκη καὶ τὸ ἔμψυχον ὑπάρχειν τῷ ἀνθρώπῳ. ἢ καὶ ἄλλως· ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία. ἴδιον δὲ τῆς ἀναλυτικῆς τὸ λαβεῖν σύνθετόν τι πρᾶγμα καὶ ἀναλῦσαι εἰς τὰ ἁπλᾶ, ἐξ ὧν συντέθη, ὥσπερ ἀναλύεται ὁ λόγος εἰς λέξεις, αἱ λέξεις εἰς συλλαβὰς 5
35 καὶ αἱ συλλαβαὶ εἰς στοιχεῖα. πρώτη τοίνυν ἐστὶν ἡ διαιρετική, δευτέρα ἡ ὁριστική, τρίτη ἡ ἀποδεικτικὴ καὶ τετάρτη ἡ ἀναλυτική· δεῖται γὰρ ἡ ὁριστικὴ τῆς διαιρετικῆς· εἰ μὴ γὰρ προηγήσηται ἡ διαίρεσις, ὁ ὁρισμὸς οὐ γίνεται. πάλιν δὲ εἰ μὴ προκατασκευασθῇ ὁ ὁρισμός, οὐ δύναται χρη- 10

6 μόνον] μόνων c 10. 11 τέσσαρα . . προβλ.] cf. p. 3,5 13 post ὁριστικῇ defectum indicavi; conicias οἱ γὰρ ὁρισμοὶ τὸ τί ἐστι παριστᾶσιν, τὸ δὲ ὁποῖόν τί ἐστι τῇ ἀποδεικτικῇ 24 ἴδιον τῆς διαιρετικῆς in mrg. adnot. C post ποιεῖν add. τοῦτ' ἔστιν del. C 25 ἴδιον τῆς ὁριστικῆς in mrg. adnot. C 27 ἴδιον τῆς ἀποδεικτικῆς in mrg. adnot. C 30 ὑπάρχῃ scripsi: ὑπάρχει Cc 32. 33 ἴδιον τῆς ἀναλυτικῆς in mrg. adnot. C 35 εἰς στοιχεῖα] εἰστοιχεῖα C

σθαι αὐτῷ ἡ ἀπόδειξις. ἡ δέ γε ἀναλυτικὴ σκοπὸν ἔχει, ὡς εἴρηται, ἕν τι σύνθετον πρᾶγμα λαβεῖν καὶ τοῦτο ἀναλῦσαι εἰς τὰ ἁπλᾶ, ἐξ ὧν συνετέθη, οἷον λαμβάνει ὡς ὅλον τι σύνθετον πρᾶγμα τὸν Σωκράτην καὶ διαιρεῖ αὐτὸν εἰς χεῖρας καὶ πόδας καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος χω- 15
5 ροῦσα μέχρις αὐτῶν τῶν στοιχείων.

Τούτων οὕτως ἐχόντων συμβάλλεται ἡμῖν εἰς τὴν διαιρετικήν, ἐπειδὴ τρία τινὰ συγκροτεῖ τὴν διαίρεσιν, τὸ διαιρούμενον, τὸ διαιροῦν, τὰ διαιρεθέντα· οἷον τὸ διαιρούμενον τὰ ξύλα, τὸ διαιροῦν ὁ πρίων, τὰ διαιρεθέντα 20 αἱ σανίδες. οὕτως κἀνταῦθα διαιρούμενον μὲν τὸ γένος, διαιροῦν δὲ ἡ δια-
10 φορά, τὰ διαιρεθέντα εἴδη· γένη δὲ καὶ διαφορὰς καὶ εἴδη ἐνταῦθα διδασκόμεθα, πῶς οὐκ ἂν εἴη χρήσιμον; καὶ εἰς τὴν ὁριστικὴν δὲ συμβάλλεται ἡμῖν τὸ παρὸν βιβλίον, εἴ γε ἐκ τῶν διαιρέσεων οἱ ὁρισμοί. ἀλλὰ καὶ εἰς τὴν ἀποδεικτικήν, εἴ γε τῶν ἀποδείξεων ἀρχαὶ οἱ ὁρισμοί. ἀλλὰ καὶ εἰς 25 τὴν ἀναλυτικήν, εἴ γε ἡ ἀναλυτικὴ ἀπόδειξίς ἐστι ἀντεστραμμένη. οὕτως
15 μὲν εἰς τὰς τέσσαρας διαλεκτικὰς μεθόδους· ἀλλὰ καὶ εἰς τὰς Ἀριστοτέλους καὶ τῶν ἄλλων Κατηγορίας· αὗται γάρ, οὑτινος ἂν ὦσι γένη, γενικώτατά εἰσι· γένη δὲ γενικώτατα γνῶναι οὐ δυνατὸν αὐτὸ τοῦτο τί ἐστι γένος 30 ἀγνοοῦντας· γένη δὲ ἐνταῦθα διδασκόμεθα, πῶς οὐκ ἂν εἴη χρήσιμον; ἀλλ' ἐπειδὴ τὰ γένη εἰς εἴδη διαιρεῖται διὰ μέσου τῶν διαφορῶν, διαφορὰς δὲ
20 καὶ εἴδη ἐνταῦθα διδασκόμεθα, πῶς οὐκ ἂν εἴη χρήσιμον τὸ παρὸν βιβλίον; ἀλλ' ἐπειδὴ αἱ κατηγορίαι γένη γενικώτατα οὖσαι οὐχ ὁρίζονται, ἀγαπητὸν κἂν διὰ τῶν ἰδίων αὐτὰς ὑπογράψαι· ἴδιον δὲ ἐνταῦθα | διδασκόμεθα, 432 πῶς οὐ χρήσιμον; ἀλλ' ἐπειδὴ δέκα οὐσῶν κατηγοριῶν μία μόνη οὐσία, αἱ δὲ λοιπαὶ συμβεβηκότα, πῶς οὐ τὸ πολὺ μέρος εἰς τὸ συμβεβηκὸς συν-
25 τελεῖ; διαλέγεται γὰρ καὶ περὶ συμβεβηκότος. ταῦτα ἔχει ἡ παροῦσα θεωρία.

Πρᾶξις ιε'. 5

Μετὰ τὸ εἰπεῖν ἡμᾶς τὸν σκοπὸν καὶ τὸ χρήσιμον, ἔλθωμεν καὶ ἐπὶ τὰ λοιπὰ τῶν κεφαλαίων καὶ εἴπωμεν τὸ τρίτον κεφάλαιον, τοῦτ' ἔστι τὴν τάξιν. δεῖ τὸ παρὸν βιβλίον πρὸ τῶν Κατηγοριῶν ἀναλέγεσθαι, εἴ γε ἐν-
30 ταῦθα τὰς φωνὰς διδασκόμεθα, ἐκεῖ δὲ τὰ πράγματα, προηγεῖται δὲ ἀεὶ ἡ 10 γνῶσις τῶν φωνῶν τῆς γνώσεως τῶν πραγμάτων. αὕτη μὲν ἡ τάξις. ἐφ' οἷς λεγέσθω ἡ αἰτία τῆς ἐπιγραφῆς. ἐπιγέγραπται τοίνυν Εἰσαγωγή, ἐπειδὴ ἡ γνῶσις τῶν φωνῶν εἰσαγωγή ἐστι τῆς γνώσεως τῶν πραγμάτων. χρὴ δὲ ζητῆσαι τίνος χάριν φιλοσοφίας γράφων εἰσαγωγὴν ἀπροσδιορίστως 15
35 ἐπέγραψε, μὴ δηλώσας τίνος ἐστὶν εἰσαγωγή. καὶ λέγομεν τούτου δύο αἰτίας· μίαν μέν, ὅτι πρέπει τοῖς ἐξέχουσι τῶν πραγμάτων τὸ ἀπροσδιόριστον· οὕτω γοῦν 'ὁ ποιητής' ἀκούσαντες Ὁμήρου ἔννοιαν ἔχομεν ὡς προὔχοντος τῶν ἄλλων καὶ 'ὁ ῥήτωρ' ἀκούσαντες Δημοσθένους ἔννοιαν

1 εἴρηται] p. 37,33 6 conicias ⟨τὸ παρὸν βιβλίον⟩ συμβάλλεται (cf. v. 12. 20)
10 an διαρ. τὰ coll.? 13 ἀρχὴ c 14 ἀντεστραμμένη] τετραμμένη c (cf. p. 37,22)
22 κἂν] καὶ c 30 πράγματα scripsi: γράμματα Cc 34 φιλοσοφίαν c

λαμβάνομεν. δευτέραν δέ, ὅτι εἰσαγωγὴ οὖσα φιλοσοφίας ἡ παροῦσα 20
πραγματεία, τῆς τεχνούσης τὰς ἄλλας τέχνας καὶ ἐπιστήμας, πάσης τέχνης
καὶ ἐπιστήμης κοινῶς ἐστιν εἰσαγωγή. αὕτη μὲν ἡ αἰτία τῆς ἐπιγραφῆς.
ἐφ' οἷς εἴπωμεν τὸ γνήσιον. γνήσιον τοίνυν πολυειδῶς ἐστι Πορφυρίου τὸ
5 παρὸν βιβλίον, ἐκ τῶν ἐνθυμημάτων καὶ ἐκ τῆς πρὸς ἄλλας πραγματείας
ὁμοιότητος· οὐ γὰρ μόνον ἡ παροῦσα πραγματεία αὐτῷ γέγραπται πρὸς 25
Χρυσαόριον, ἀλλὰ καὶ ἄλλαι, οἷον τὸ Περὶ διαστάσεως Πλάτωνος καὶ
'Αριστοτέλους· παιδεύοντος γὰρ τοῦ Πορφυρίου ἐν 'Ρώμῃ τὸν Χρυσαόριον
τὰ μαθηματικὰ τὰ πρῶτα φέροντα τῆς ἐκεῖσε γερουσίας (ἀπόγονος γὰρ ἦν
10 Συμμάχου ἐκείνου, εἰς ὃν εἴρηται 30

Σύμμαχε Συμμαχίδη, πολυσύμμαχε, σύμμαχε 'Ρώμης),

καὶ ἀποδημήσαντος αὐτοῦ Πορφυρίου ἐν Σικελίᾳ διὰ τοὺς ἐν τῇ Αἴτνῃ
τοῦ πυρὸς κρατῆρας, διότι δεῖ τὸν φιλόσοφον φιλοθεάμονα εἶναι τῶν τῆς
φύσεως ἔργων, σχολάσας ὁ Χρυσαόριος ἀπὸ τῶν | μαθημάτων ἐνέτυχε 433
15 ταῖς 'Αριστοτέλους Κατηγορίαις καὶ μὴ δυνηθεὶς νοῆσαι αὐτὰς ἐπιστέλλει
τῷ Πορφυρίῳ ἢ τὴν ταχίστην ἐπανελθεῖν καὶ ἐξηγήσασθαι αὐτῷ τὰς αὐ-
τὰς Κατηγορίας ἢ γράψαι αὐτῷ ὑπόμνημα· καὶ αἱρεῖται ὁ Πορφύριος τὸ
δεύτερον καὶ γράφει αὐτῷ τὴν παροῦσαν πραγματείαν, οἷον ὑπόμνημα 5
οὖσαν Κατηγοριῶν.

20 'Εφ' οἷς εἴπωμεν τὴν εἰς τὰ κεφάλαια τοῦ βιβλίου διαίρεσιν.
διαιρεῖται τοίνυν τὸ παρὸν βιβλίον εἰς τρία. καὶ ἐν μὲν τῷ πρώτῳ
τμήματι τὴν οὐσίαν τῶν πέντε φωνῶν ὑπογράφει, ἐν δὲ τῷ δευτέρῳ
κοινῶς τὰς διαφορὰς αὐτῶν λέγει καὶ τὰς κοινωνίας, καὶ ἐν τῷ τρίτῳ 10
ἰδίᾳ ἑκάστην συγκρίνει ταῖς λοιπαῖς, παραδιδοὺς τοῦ γένους καὶ τῆς δια-
25 φορᾶς τὰς κοινωνίας καὶ τὰς διαφοράς, εἶτα τοῦ γένους καὶ τοῦ εἴδους
καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. μετὰ ταῦτα ὁ τρόπος λεγέσθω τῆς διδασκα-
λίας. παντὶ τοίνυν κέχρηται τρόπῳ, ὁριστικῷ μὲν ὑπογράφων τὰς φωνάς,
διαιρετικῷ δὲ διαιρῶν αὐτὰς εἰς τὰ οἰκεῖα σημαινόμενα, ἀποδεικτικῷ 15
ἡνίκα ἀποδείκνυσι τὰς διαφορὰς δυνάμει οὔσας ἐν τῷ γένει καὶ οὐκ ἐνερ-
30 γείᾳ, ἀναλυτικῷ δὲ ὅτε τὰς διαφορὰς τῶν πέντε φωνῶν λέγει· ἡ γὰρ δια-
φορὰ διάκρισίς ἐστι καὶ οἷον ἀνάλυσις. ἀνάγεται δὲ ὑπ' οὐδὲν μέρος τῆς
φιλοσοφίας, ἀλλ' ὑπὸ τὸ ὄργανον αὐτῆς, φημὶ τὴν λογικήν, ὡς δειχθήσεται 20
σὺν θεῷ ἐν τῇ 'Αποδεικτικῇ.

---

7 Περὶ διαστ.] Zelleri Ph. Gr. V³ p. 640 not. 3 11 πολυσίμμαχε c

⟨Πρᾶξις ις′⟩.

Εἰσαγωγὴ Πορφυρίου. C f. 54v

p. 1,3 Ὄντος ἀναγκαίου, Χρυσαόριε, καὶ εἰς τήν.

Ἐπειδὴ μετὰ τὸ προτελεῖσθαι καὶ τοῦ τελεῖσθαι καιρός, καὶ προτε-
5 λοῦσι μὲν τὰ ἡμέτερα, τελοῦσι δὲ αἱ τοῦ φιλοσόφου φωναί, φέρε τῶν μὲν
ἡμετέρων ἅλις, ἐπ' αὐτοὺς δὲ λοιπὸν τοὺς ἀγῶνας ἀποδυσώμεθα, τὴν ἐξή-
γησιν τῆς λέξεως. τὸ τοίνυν προοίμιον αὐτῆς τρία διδάσκει, τὸν σκοπόν,
τὸ χρήσιμον καὶ τὸν τρόπον τὸν διδασκαλικόν, | μᾶλλον δὲ τὸ ἔμπαλιν τὸ 55r
χρήσιμον, τὸν σκοπὸν καὶ τὸν τρόπον τὸν διδασκαλικόν, εἴ γε τοῦ ἀγαθοῦ
10 πάντα ἐφίεται, ἐν δὲ τῷ χρησίμῳ τὸ ἀγαθόν· δύο γὰρ ὄντων κανόνων
μαχομένων ἀλλήλοις καὶ τοῦ μὲν ἑνὸς λέγοντος ὅτι δεῖ τὸ χρήσιμον προη-
γεῖσθαι, διότι πάντα τοῦ ἀγαθοῦ ἐφίεται, ἐν τῷ χρησίμῳ δὲ τὸ ἀγαθόν,
καὶ ὅτι δέλεαρ προτείνεται ἡ ἐξ αὐτοῦ ὠφέλεια τοῖς μανθάνουσι πρὸς ἐρω-
τικὴν διάθεσιν, καὶ κατὰ Πίνδαρον λέγοντα
15 παντὸς ἔργου πρόσωπον
χρὴ θέμεναι τηλαυγές,
καὶ ὅτι θαυμάζομεν τὸ βιβλίον διὰ τὸ χρήσιμον αὐτοῦ, καθά φησι καὶ
Ἀριστοτέλης ὅτι 'θαυμάσαντες τὸ ὅτι ἐπὶ τὴν ζήτησιν τοῦ διότι ἐρχόμεθα',
τοῦτ' ἔστι τὸ φιλοσοφεῖν. καὶ παρὰ τοῖς ποιηταῖς ἡ Ἶρις Θαύμαντος
20 λέγεται θυγάτηρ ὡς φιλοσοφία τις οὖσα καὶ ἀγγελὶς τῶν ὑπ' αὐτῶν λεγο-
μένων θεῶν, παρὰ τὸ ἐρεῖν ὀνομασθεῖσα Ἶρις. θαυμαστὴ δὲ καὶ ἡ ὁμώ-
νυμος αὐτῇ ἶρις ἐν ὑγρῷ καὶ ῥευστῷ ὑποκειμένῳ τῷ ἀέρι τοιοῦτον ἀπο-
τετορνευμένον καὶ μαθηματικὸν φυλάξασα σχῆμα καὶ τὸ ἀσύγχυτον τῶν

---

1 πρᾶξις ις' addidi 2 tit. om. V 6 λοιπὸν om. C 7 αὐτὸ V
8 μᾶλλον — διδασκαλικόν (9) om. C 11 ἑνὸς om. C 11. 12 post προηγεῖσθαι
add. τοῦ σποποῦ in mrg. C² (cf. p. 41,11) 13 αὐτοῦ V 15 ἀρχομένου δ' ἔργου
Pind. (Olymp. VI, 4) 16 θέμενοι V: θέμεν Pind. 18 ἀρηστοτέλης V (cf.
Anal. post. B 1 p. 89b29 Metaph. A 2 p. 982b12 sq.) θαυμάσαν τὶς V
19 φιλόσοφον V παρὰ τοῖς ποιηταῖς] Hesiod. Theog. 265. 266 (cf. Plat. Theaet.
p. 155 D) 20 ἀγγελὶς] ἄγγελος V Dav. (fort. recte, cf. Hom. B 286)
21 θαυμαστὴ — ἶρις (22) om. C 22 αὐτῆι Laur. 72,5: αὔτη V

χρωμάτων. καὶ οὕτως μὲν περὶ τοῦ χρησίμου. τοῦ δὲ ἄλλου κανόνος φάσκοντος δεῖν τὸν σκοπὸν προτάττειν διὰ τὸ μὴ ἀγνοουμένου τοῦ πράγματος ἐπαίνους καταβάλλεσθαι (ἔπαινος δὲ τοῦ βιβλίου τὸ χρήσιμον) καὶ διὰ Πλάτωνα εἰρηκότα 'ὦ παῖ, μία ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι τὸ εἰδέναι περὶ 5 ὅτου ἐστὶν ἡ σκέψις, ἐπεὶ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη'. τῶν δύο οὖν μαχομένων κανόνων θαυμαστῶς διήτησεν ὁ εὐμήχανος φιλόσοφος κεράσας τὸ πρᾶγμα· ἤρξατο μὲν γὰρ ἀπὸ τοῦ χρησίμου μηδὲν τοῦ ἀγαθοῦ νομίσας εἶναι ἐπέκεινα, εἶτα πολλῶν ὄντων τρόπων τοῦ χρησίμου ἑνὸς μνησθείς, πρὶν τοὺς ἄλλους εἴπῃ, ἐπάγει τὸν σκοπὸν καὶ λέγει πάλιν τὸ χρήσιμον, 10 ἵνα δόξῃ θάτερον θατέρου προτάττειν καὶ τὸν σκοπὸν τοῦ χρησίμου καὶ τὸ χρήσιμον τοῦ σκοποῦ. φέρε δὲ ἡμεῖς, ὡς εἰώθαμεν, διὰ τὸ σαφὲς ἀπὸ 55v τοῦ σκοποῦ ἀρξώμεθα.

Σκοπὸν τοίνυν ἔχει ὁ Πορφύριος πᾶσαν φιλόσοφον φωνὴν διδάξαι ἡμᾶς καὶ ὑπὸ πέντε κοινότητας καὶ ἀρχὰς ἀναγαγεῖν, καὶ οὐχ, ὥς τινες ὑπολαμ- 15 βάνουσιν, ὅτι σκοπὸν ἔχει περὶ πέντε τινῶν διαλαβεῖν, περί τε γένους καὶ τῶν λοιπῶν, ἵνα μὴ ἑνὸς ὄντος βιβλίου καὶ ταῦτα βραχυτάτου πλείονας ποιήσῃ σκοπούς, τοῦ Πλάτωνος λέγοντος παντὸς βιβλίου ὅσον ἂν ᾖ καὶ οἷον ἂν ᾖ ἕνα σκοπὸν ποιεῖσθαι. ἄλλοι δὲ λέγουσιν ὅτι σκοπὸν ἔχει τὰ ἀσαφῶς ἐν ταῖς Κατηγορίαις εἰρημένα σαφηνίσαι· ψεῦδος γὰρ καὶ τοῦτο, 20 εἴ γε μέμνηται ἐν ταῖς Κατηγορίαις τοῦ δυνάμει ἀσαφεστάτου ὄντος, ὅπερ ἐνταῦθα οὐ σαφηνίζει. καὶ οὕτως μὲν ὁ σκοπός. ἐφ' οἷς εἴπωμεν τὸ χρήσιμον. τεσσάρων τοίνυν ὄντων τρόπων τοῦ χρησίμου, ὡς εἴρηται ἐν τοῖς προλαβοῦσι, τῶν δύο ἐνταῦθα μέμνηται, τοῦ εἰς τὰς Κατηγορίας χρησιμεύειν καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους, ἢ τὰ κατεπείγοντα εἰς τὴν παρ- 25 οῦσαν πραγματείαν εἰπὼν ἢ καὶ τὰ λοιπὰ αἰνιξάμενος διὰ τοῦ καί συνδέσμου· εἰπὼν γὰρ καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει Κατηγοριῶν διὰ τοῦ καί συνδέσμου καὶ τὰ λοιπὰ ἐμφαίνει. οὕτως καὶ τὸ χρήσιμον. ἐφ' οἷς ὁ τρόπος τῆς διδασκαλίας λεγέσθω. δεῖ εἰδέναι ὅτι οὐδενὶ τῶν προειρημένων τρόπων κέχρηται τῆς διδασκαλίας, ἀλλὰ νῦν παραδίδωσι τρόπον 30 διδασκαλίας καθαρόν, καθαρεύοντα παντὸς τρόπου ἀσαφείας· τρεῖς γὰρ τρόποι εἰσὶν ἀσαφείας, δι' οὓς ἀποκνοῦσιν οἱ νέοι τοῖς βιβλίοις ἐντυγχάνειν·

---

2 δεῖ C ἀγνωουμένου C τοῦ om. C 3 καταβαλέσθαι V 3. 4 διὰ Πλάτωνα εἰρ.] Phaedr. p. 237 B. C 4 τοῦ] τὸ V 4. 5 περὶ ὅτου ἐστιν Dav: περὶ ὁτουοῦν CV 5 ἐπεὶ] ἢ Dav. Plat. (sed non est quod corrigas) 5. 6 τῶν δύο οὖν μ. κ. θαυμ.] ὅθεν θαυμαστῶς V 6 κανόνων iter. C 7 μὲν iter. C γὰρ om. V 9 καὶ λέγει πάλιν Laur. 72,5: καὶ λέγειν πάλιν C: πάλιν καὶ λέγει V 11 ἀσαφὲς V 12 ἀρξώμεθα] ω ex ο corr. C 15 ὅτι deleverim 17 ποιήσεις C τοῦ Πλάτωνος λέγοντος] cf. v. 4 17. 18 ἂν (utrobique) scripsi: ἐὰν C: ἔαν V 18 ποιήσθε (sic) V ἄλλοι δὲ λέγουσιν] ἢ ὡς ἄλλοι V τὰ] τὸ V 19 γὰρ] an δὲ? 20 ἐν ταῖς Κατ.] spectat p. 7b23 sq. 21 οὗτος C (cf. v. 27) εἴπομεν C 21. 22 τοῦ χρησίμου V 22 εἴρηται] p. 36,33 24 τὰ om. V 25 αἰνιττώμενος V 26 τῶν C²: τὴν C¹ ἀριστοτέλη V 27 καὶ τὰ λοιπὰ] καὶ τὰς λοιπὰς CV: τὰ λοιπὰ Laur. 72,5 28 λεγέσθω τῆς διδασκαλίας colloc. V 29 ἀλλὰ νῦν παραδίδωσι] ἀλλ' ἄλλον νῦν δίδωσι V 30 τρεῖς — ἀσαφείας (31) om. V 31 δι' ὧν C (sed in lit.) ἀπακνοῦσιν V

ἢ γὰρ διὰ τὸ σκοτεινὸν καὶ ὑποβρύχιον τῶν νοημάτων, ὡς τὰ Ἡρακλείτεια (διὸ καί τις τὰ Ἡρακλείτου ἔφη βαθέος δεῖσθαι κολυμβητοῦ), ἢ διὰ τὸ ἐξηπλωμένον τῆς φράσεως | ὡς χαλινοῦ δεῖσθαι, οἷον τὰ Γαλήνεια καὶ τὰ 56r Πρόκλεια, ἢ διὰ τὸ ἀπεστενωμένον τῆς φράσεως, ὡς τὰ Ἀριστοτελικὰ καὶ
5 τὰ Ἱπποκράτεια. πάντας οὖν τούτους ἐξέφυγε, τὸν μὲν ἐκ τῆς βαθύτητος τῶν νοημάτων εἰπὼν τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων, τῶν δ' ἁπλουστέρων συμμέτρως στοχαζόμενος, τὸν δὲ ἐκ τῆς πολυλογίας εἰπὼν σύντομόν σοι παράδοσιν ποιούμενος πειράσομαι διὰ βραχέων, τὸν δὲ ἐκ τοῦ ἀπεστενωμένου τῆς φράσεως, ἡνίκα λέγει
10 ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ. ταῦτα ἔχει ἡ παροῦσα πρᾶξις.

⟨Πρᾶξις ιζ'⟩.

p. 1,3 Ὄντος ἀναγκαίου, Χρυσαόριε.

Διὰ τί τὸ ὂν προέταξε τοῦ ἀναγκαίου; καὶ λέγομεν ὅτι ὡς καθολικώτερον· τὸ γὰρ ὂν φέρεται καὶ κατὰ ἀναγκαίου, φέρεται καὶ κατὰ ἐνδεχομένου. λέγεται
15 δὲ ἀναγκαῖα μὲν τὰ ἀεὶ ὡσαύτως ἔχοντα, οἷον ἀναγκαίως τὸ πῦρ θερμαίνει, ὁ ἥλιος φωτίζει, ἐνδεχόμενα δὲ τὰ δυνάμενα καὶ ἄλλως ἔχειν, οἷον τὸ περιπατεῖν τὸν ἄνθρωπον (δύναται γὰρ καὶ μὴ περιπατεῖν), καὶ τὸ διαλέγεσθαι· δύνα|ται γὰρ καὶ μὴ διαλέγεσθαι. ὡς οὖν κατὰ τῶν δύο φερόμενον 56v τὸ ὄν, τοῦ τε ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου, καθολικώτερόν ἐστι μόνου

---

1 ἢ] ἀσαφὲς V καὶ τὰ ἡρακλείτια V 2 τις] Crates quidam, cf. Diog. Laert. IX, 12 τὰ ἡρακλείτου] τῶν ἡρακλειτῶν V βαθέως C 3 ἐξιπλομένον C¹ ὡς — φράσεως (4) om. V 4 ἀπεστενωμένον Laur. 72,5: ἀποστενωμένον C (cf. v. 9) 5 ἱπποκράτια V ἐξέφυσε V τὸν] τὸ V 6 ζητήματα C¹ 7 συμμέτρως om. V 7. 9 τὸν] τῶν V 8 παράδωσιν C 9 τοῦ ἀπεστενωμένου] τῆς ἀποστενωμένου V φράσεως] φύσεως V 10 παροῦσα πρᾶξις Laur. 72,5: πρα' C: παροῦσα πραγματεία καὶ πρᾶξις V post πρᾶξις add. Ποσαχῶς λέγεται τὰ στοιχεῖα; τριχῶς· πόρρω, προσεχῶς καὶ προσεχέστατα. πόρρω μὲν γῆ, ὕδωρ, πῦρ, ἀήρ· προσεχῶς δὲ οἱ τέσσαρες χυμοί, αἷμα, φλέγμα, ξανθὴ χολὴ καὶ μελαγχολικὸς χυμός· προσεχέστατα δὲ τὰ ὁμοιομερῆ, σάρκες, φλέβες, ὀστᾶ, νεῦρα, ἀρτηρίαι, ὑμένες. ἡ εἰς τὰ κεφάλαια διαίρεσις· διαιρεῖται τὸ βιβλίον εἰς δύο· καὶ ἐν μὲν τῷ πρώτῳ διδάσκει περὶ τῶν πόρρω, ἐν δὲ τῷ δευτέρῳ διδάσκει περὶ τῶν προσεχῶν. θεραπεία ἐστὶν ἡ ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν ἐπάνοδος. τρεῖς δυνάμεις εἰσὶ τῶν ἐμψύχων ἤτοι τῶν φυτῶν· θρεπτική, αὐξητικὴ καὶ ἡ τοῦ ὁμοίου γεννητική. διαφορά ἐστιν ἑτερότης ἤτοι ἐναλλαγή τινων πραγμάτων πρὸς ἄλληλα. τέλειος, ἀτελὴς καὶ ὑπερτελής· τέλειος μέν ἐστιν ὁ ἕκτος· ἔχει γὰρ τὰ ἡμίσεια τρία, τὰ τρίτα δύο καὶ τὸ ἓν ἕκτον. ἀτελὴς δέ ἐστιν ὁ ὄγδοος· ἔχει γὰρ τὰ ἡμίσεια τέσσαρα, τὰ τέταρτα δύο, τὸ ὄγδοον ἕν, καὶ περιττεύει ἓν καὶ διὰ τοῦτο λέγεται ἀτελής. ὑπερτελὴς δέ ἐστιν ὁ δωδέκατος· ἔχει γὰρ τὰ ἡμίσεια ἕξ, τὰ τρίτα τέσσαρα, τὰ τέταρτα τρία, τὰ ἕκτα δύο, τὸ δωδέκατον ἕν, καὶ προσλαμβάνει ἓν καὶ λέγεται ὑπερτελής V 11 πρᾶξις ιζ' addidi 12 ante lemma praebet titulum oblitteratum Ἀμόνιος (?) εἰς πέντε φωνὰς τοῦ Πορφυρίου V 13 ὂν om. C¹ 14 ante ἀναγκ. et ἐνδεχ. add. τοῦ V (cf. p. 43,2. 4) 15 θερμένει (αι superscr.) C 16 καὶ ὁ ἥλιος V 19 μόνου Marc. 201: τὸ ὂν C: om. V

τοῦ ἀναγκαίου· εἴ τι μὲν γὰρ ἀναγκαῖον, πάντως καὶ ὄν, οὐ μὴν εἴ τι ὄν,
τοῦτο καὶ ἀναγκαῖον διὰ τό, ὡς εἴρηται, φέρεσθαι καὶ κατὰ ἐνδεχομένου.
καὶ πάλιν εἴ τι μὲν ἐνδεχόμενον, πάντως ὄν, οὐ μὴν εἴ τι ὄν, πάντως καὶ
ἐνδεχόμενον διὰ τὸ φέρεσθαι καὶ κατὰ ἀναγκαίου. τρία τινὰ παράκειται
5 ἀλλήλοις, ἀγαθόν, ἀναγκαῖον καὶ χρήσιμον· καὶ ἀγαθὸν μέν ἐστι τὸ δι'
ἑαυτὸ αἱρετὸν οἷον ὑγεία· αὐτὴ γὰρ δι' ἑαυτὴν αἱρετή ἐστι καὶ οὐ δι'
ἄλλο, εἴ γε θέλομεν ὑγιαίνειν, καὶ εἰ λήσεσθαι μέλλοιμεν πάντας ἀνθρώπους
ὅτι ὑγιαίνομεν, καίτοι κάλλος μὴ θέλοντες ἔχειν μηδὲ πλοῦτον, εἰ μηδεὶς
ἀνθρώπων οἶδεν ὅτι ταῦτα ἔχομεν. ἀναγκαῖον δὲ καὶ χρήσιμόν ἐστι τὸ ✓
10 δι' ἄλλο αἱρετόν· ἀλλ' εἰ μὲν ἀπαραίτητον ᾖ, λέγεται ἀναγκαῖον ὡς τὸ
ἀναπνεῖν τοῖς πνεύμονα ἔχουσι ζῴοις, εἰ δὲ παραίτησιν ἐπιδέχεται, λέγεται
χρήσιμον ὡς τὸ ὑποδεδέσθαι ἐν χειμῶνι· δυνατὸν γὰρ καὶ μὴ ὑποδεδέσθαι.
τῶν οὖν τριῶν τούτων, ὡς εἴρηται, παρακειμένων ἀλλήλοις οὐκ εἶπεν ὁ Πορ-
φύριος 'ἀγαθοῦ ὄντος τοῦ γνῶναι τί γένος καὶ διαφορὰ ἢ χρησίμου ὄντος', ἀλλ'
15 ἀναγκαίου ὄντος, ἐπειδὴ ἡ γνῶσις τῶν πέντε φωνῶν οὐδὲ ἀγαθόν ἐστιν
(ἀγαθὸν γὰρ ἦν τὸ δι' ἑαυτὸ αἱρετὸν ὄν, θέλομεν δὲ εἰδέναι τὰς φωνὰς
οὐ δι' ἑαυτὰς ἀλλὰ διὰ τὰ πράγματα), οὐδὲ χρήσιμος ἡ γνῶσις τῶν πέντε
φωνῶν· χρήσιμον γὰρ ἦν τὸ παραίτησιν ἐνδεχόμενον, οὐκ ἐνῆν δὲ ἡμᾶς
παραιτήσασθαι τὰς πέντε φωνὰς θέλοντας εἰδέναι τὰ πράγματα. τοῦ δὲ
20 ἀναγκαίου διττοῦ ὄντος, ἢ δι' ἑαυτὸ μὲν φευκτοῦ, δι' ἄλλο δὲ αἱρετοῦ, ὡς
τὸ φλεβοτόμον (τοῦτο γὰρ ὅσον μὲν ἐφ' ἑαυτὸ φευκτόν ἐστιν ἑλκωτικὸν ὂν
καὶ διαλύον τὸ συνεχές, δι' ἄλλο δὲ αἱρετόν· διὰ γὰρ τὴν κένωσιν τοῦ
λυποῦντος χυμοῦ), ἢ καὶ δι' αὑτὸ αἱρετοῦ καὶ δι' ἄλλο, ὥσπερ καὶ ὑγεία
(αὕτη γὰρ καὶ δι' ἑαυτὴν αἱρετή ἐστιν ὡς συμμετρία καὶ δι' ἄλλο, ἵνα
25 ὑπουργῇ τὸ σῶμα ταῖς τῆς ψυχῆς ἐνεργείαις), τῷ δευτέρῳ τοίνυν σημαινο-
μένῳ ἐχρήσατο ἐνταῦθα ὁ Πορφύριος· ἡ γὰρ γνῶσις τῶν πέντε φωνῶν καὶ
δι' ἑαυτὴν αἱρετή ἐστιν ὡς γνῶσις (πᾶσα γὰρ γνῶσις καλή, καθά φησιν |
ὁ Ἀριστοτέλης, καὶ αὐτὴ ἡ τῶν κακῶν γνῶσις καλή, ἵνα μὴ δι' ἄγνοιαν 57r
χρησώμεθα αὐτοῖς· καὶ οἱ ἰατροὶ διδάσκουσι τὰ δηλητήρια, οὐχ ἵνα χρησώ-
30 μεθα, ἀλλ' ἵνα φύγωμεν), καὶ δι' ἄλλο αἱρετή· διὰ γὰρ τὴν γνῶσιν τῶν
πραγμάτων. |

---

1 τοῦτο καὶ ὂν πάντως V μὴν δὲ V 2 καὶ (post τοῦτο) om. C φέρεσθαι ὡς εἴρ. colloc. V (cf. p. 42,14) καὶ (ante κατὰ) om. C τοῦ ἐνδεχομένου V 4 ἐδεχομένου C διὰ τοῦ φέρεσθαι V post ἀναγκαίου lemma Ὄντος ἀν. χρυσ. repet. V τινὰ] κοινὰ (superscr. τινὰ) V; an ⟨γάρ⟩ τινα? παράκεινται C[2] 5 καὶ (ante χρήσιμον) om. V 5. 6 δι' ἑαυτὸ (ὸ ex οῦ corr.) V: διαυτὸ C 7 καὶ εἰ λήσεσθαι — καθά φησιν (27) V: eorum loco schemata praebet C 12 τὸ Laur. 72,5 Marc. 201: om. V 14 ἀλλ' Marc. 201: om. V 18 ἐνῆν scripsi: ἐνὸν V 19 θέλοντας scripsi: θέλοντες V 21 ἑλκωτικὸν scripsi: ἑλκητικὸν V 23 δι' αὑτὸ αἱρετοῦ Laur. 72,5 Marc. 201: διὰ ἑαυτοῦ (αἱρετοῦ om.) V δι' ἄλλο Laur. 72,5 Marc. 201: δι' ἄλλου V καὶ ὑγ.] an ἡ ὑγ.? 27 γνῶσις πᾶσα καλή ἐστι in mrg. add. V 28 ὁ om. V Ἀριστοτέλης] cf. Metaph. A 2 p. 982a 7 καὶ αὐτὴν τὴν τ. κ. γνῶσιν καλήν C 29 οἱ om. V; an ⟨γὰρ⟩ οἱ? 30 αἱρετόν (sed όν m.[2]) C

p. 1,3 Καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει Κατηγοριῶν διδασκαλίαν. 57v

Τὸν ἕνα τρόπον τοῦ χρησίμου ἐνταῦθα διδάσκει.

p. 1,4 Τοῦ γνῶναι τί γένος καὶ τί διαφορά, καὶ τὰ ἑξῆς.

Ἐνταῦθα τὸν σκοπὸν λέγει, ὅτι σκοπὸν ἔχει περὶ γενικῶν φωνῶν δια-
5 λαβεῖν καὶ καθολικῶν.

p. 1,5 Εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως.

Μετὰ τὸ εἰπεῖν τὸν ἕνα τρόπον τοῦ χρησίμου, εἶτα ἐπαγαγεῖν τὸν σκοπόν, πάλιν τὸν ἕτερον τρόπον τοῦ χρησίμου λέγει. τινὲς δέ φασι διὰ
10 τί προέταξεν τὴν ὁριστικὴν τῆς διαιρετικῆς, εἴ γε ἐκ τῶν διαιρέσεων οἱ ὁρισμοί· τῆς γὰρ διαιρετικῆς τὸ ἓν πολλὰ ποιούσης, οἷον τὸ ζῷον διαιρούσης εἰς λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον, ἡ ὁριστικὴ τοὐναντίον τὰ πολλὰ ἓν ποιεῖ λαμβάνουσα θάτερον σκέλος τῶν ἀντιδιῃρημένων καὶ ποιοῦσα τὸν ἄνθρωπον ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν.
15 καὶ λέγομεν ὅτι διὰ τὸ κατεπεῖγον· βούλεται γὰρ ὁρίσασθαι ἑκάστην φωνὴν διὰ τὸν εἰσαγωγικὸν τρόπον.

p. 1,5 Καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως καὶ ἀποδείξεως.

Διὰ τί, φασί τινες, τῆς ἀναλυτικῆς οὐκ ἐμνήσθη; καὶ λέγομεν ὅτι οὐδὲ ταύτην παρῆκεν· τῇ γὰρ ἀποδείξει ἐμπεριέχεται, ὡς μεμαθήκαμεν· ἀπό-
20 δειξις γάρ ἐστιν ἀντεστραμμένη | ἀνάλυσις. 58r

p. 1,6 Καὶ χρησίμης οὔσης τῆς τούτων θεωρίας.

Πῶς ἀνωτέρω μὲν εἶπεν ἀναγκαίαν τὴν γνῶσιν τῶν φωνῶν, νῦν δὲ χρήσιμον; πρὸς ὃ λεκτέον ὅτι ἀναγκαία μὲν ἡ γνῶσις τῶν φωνῶν, ὡς εἴρηται, ἡ δὲ περὶ τῶν φωνῶν πραγματεία χρήσιμος καὶ οὐκ ἀναγκαία· ἐνῆν
25 γὰρ καὶ χωρὶς τοῦδε τοῦ βιβλίου νοῆσαι τὰς Κατηγορίας.

---

1 ἀριστοτέλους V 3 post διαφορά add. καὶ τί εἶδος V 4 σκοπῶν (ante ἔχει) C (corr. m.[2]) γενηκῶν C 8 ἐπαγάγαι V 11 καὶ τῆς γὰρ V ζῷον] ἓν C 16 εἰσαγογικὸν C 17 post διαιρ. add. τε C 18 post τί additum δὲ del. V 19 ταύτης V μεμαθ.] p. 37,20 20 ἀντιστραμμένη C ἀνάλυσις] ἀν in ras. C 21 lemma om. C καὶ om. Porph. 23. 24 ὡς εἴρηται om. C (cf. p. 43,4 sq.) 24 ἡ δὲ περὶ τ. φ. πραγματεία χρήσιμος] πραγματίαν (sic) χρή(β)σιμος (γ) (πρὸς (α) δὲ τὴν παροῦσαν in mrg. add. m.[2] eademque numeros superscr.) C οὐκ] οὐδ' V

p. 1,7 Σύντομόν σοι παράδοσιν ποιούμενος.

Τὸν τρόπον τὸν διδασκαλικὸν λέγει.

p. 1,7 Πειράσομαι διὰ βραχέων ὡς ἐν εἰσαγωγῆς.

Τοῦτο μετριάζων ὁ φιλόσοφος εἶπεν· δεῖ γὰρ ἄνθρωπον ὄντα καὶ τὸν
5 εὐτυχοῦντα ἐν νῷ ἔχειν τὸ εἰρημένον

τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

διὸ καὶ οἱ ζωγράφοι τὴν τύχην ἐπὶ τροχοῦ ἱστοροῦσι τὸ ἄστατον αὐτῆς αἰνιττόμενοι. καὶ οὐ δεῖ μέγα φρονεῖν ἐπί τινι τῶν παρόντων, ἀλλὰ καὶ τὸν ἀποδεικνύντα τι δεῖ μὴ μέγα φρονεῖν· εἰκὸς γὰρ ἄνθρωπον ὄντα ἀπα-
10 τᾶσθαι περὶ τὴν ἀπόδειξιν, εἴ γε καὶ περὶ τὰ ἐναργῆ ἀπατώμεθα τὸν ἥλιον πηχυαῖον ὁρῶντες καὶ τὴν ἐν τῷ ὕδατι κώπην κεκλασμένην.

p. 1,8 Τὰ παρὰ τοῖς πρεσβυτέροις.

Ἄλλη ἐλπὶς σαφηνείας προτείνεται τοῖς νέοις· ὅσῳ γὰρ κατημαξευμένα ἢ καὶ ἄλλοις εἰρημένα παλαιοῖς, σαφέστερα.

15 p. 1,8 Τῶν μὲν βαθυτέρων ἀπεχόμενος.

Ὅτε μὲν διδάσκειν ἐπαγγέλλεται, προτρεπτικῶς φησι τὸ πειράσομαι διὰ βραχέων, ὅτε δὲ παραιτεῖται, ἀποτρεπτικοῖς κέχρηται λόγοις φάσκων τὰ προειρημένα.

p. 1,9 Τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχαζόμενος.

20 Οὐ πρέπει τῷ ἀποδεικτικῷ | τὸ στοχάζεσθαι· ἡ γὰρ ἀπόδειξις 58v ἐπιστημονική. καὶ λέγομεν πρὸς τοῦτο, ὅτι τὸ στοχαζόμενος οὐ πρὸς τὴν ἀπόδειξιν καὶ τὸν ἐπιστήμονα εἴρηται, ἀλλὰ πρὸς Χρυσαόριον, ἀκροατὴν εἰσαγόμενον.

p. 1,9 Αὐτίκα περὶ τῶν γενῶν τε καὶ εἰδῶν τὸ μὲν εἴτε ὑφέστηκεν
25 καὶ τὰ ἑξῆς.

Εἰπὼν ὁ Πορφύριος ὅτι τῶν μὲν βαθυτέρων ἀπέχομαι ζητημά-

1 σοι] οι in ras. C² 3 ὥσπερ Porph. 4 καὶ τὸν] εἰ καὶ V 5 τὸ εἰρημένον] Menand. frg. 94,5 (III p. 29 Kock) 6 τῆς om. V 9 τὸν ἀποδεικνύντα τι] τὸν ἀποδεικνύντα τι μέγα in ras. C² εἰκὸς γὰρ] εἰκότος μὲν C 10 ἐνεργῆ V¹ (superscr. α) 11 ὁρῶν τις V 16 ἐπαγγέλεται C προτρεπτικῶς scripsi: προτρεπτικὸς C¹: προτρεπτικοῖς C²: προτρεπτικὰ V 19 στοχαζόμενος συμμέτρως colloc. V 20 οὐ scripsi: ὃ C: εὐ V; an Οὐ πρέπει ⟨φασίν⟩? 21 τὸ om. C στοχασόμενος V 24 τῶν γενῶν τε καὶ εἰδῶν τὸ μὲν] τῶν γενῶν καὶ τῶν εἰδῶν C: γενὸν (sic) τε καὶ εἰδῶν τὸ μὲν V 26 ἀπεχόμενος V

των, τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχάζομαι, ὥς τινος δῆθεν
εἰπόντος πρὸς αὐτὸν ʽμάτην καλλωπίζῃ, ὦ Πορφύριε· τί γὰρ καὶ εἰ ἠθέλη-
σας ἀσαφές τι εἰπεῖν περὶ αὐτῶν, εἶχες φύσει σαφῶν ὄντων, ὥσπερ καὶ
ἄλλα φύσει εἰσὶ σαφῆ ὡς τὸ δὶς δύο, ὅπερ οὐ δύναται ἀσαφές ποτε γενέ-
5 σθαι;ʼ, κατάλογον ποιεῖται ὁ Πορφύριος πολλῶν ζητημάτων, ὅσα ἐνῆν ζητεῖν,
εἰ μὴ φειδοῖ τῆς νεολαίας φιλάνθρωπον εἶδος μετήει συγγραφῆς· τῶν γὰρ
ὄντων πάντων ἢ ὑφεστώτων ἢ ἐν ψιλαῖς ἐπινοίαις θεωρουμένων καὶ ὑφεστά-

---

1 στοχάσομαι V δῆθεν om. C 2 καλοπίζῃ V εἰ om. V 3 post εἰπεῖν additum εἰ μὴ del. V ὄντων scripsi: οὐσῶν CV 6 μετείη C 7 post πάντων maximam partem ex Davidis commentario sumpta add. haec σύντομόν σοι παράδοσιν ποιούμενος διὰ βραχέων ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ τὰ παρὰ τοῖς πρεσβυτέροις ἐπελθεῖν· ὡς πρὸς φωνὴν τοῦ Χρυσαορίου εἶπε τὸ πειράσομαι ὁ φιλόσοφος διὰ τὸ στρατηγίαις καὶ πολιτικαῖς ἤγουν δημοσίαις πράξεσιν, ἐνασχολεῖσθαι αὐτόν. παράδοσιν ἀντὶ τοῦ διδασκαλίαν, μάθησιν ἐπελθεῖν. εἰκότως καὶ τὸ σύντομόν σοι εἶπεν· ἀρεταὶ γὰρ πρῶται διηγήσεως σαφήνεια, συντομία, ἕτεραι δὲ δύο πιθανότης καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός, κακία δὲ διηγήσεως ἀσάφεια, μακρολογία, ἀπίθανον καὶ ὁ κατὰ τὰς λέξεις βαρβαρισμός. ταῖς δυσὶ δὲ μόναις ἐνταῦθα κέχρηται ὁ Πορφύριος ταῖς πρώταις [τῆς πρώτης cod.], τῇ τε σαφηνείᾳ καὶ συντομίᾳ· τῇ μὲν συντομίᾳ ἐξ ὧν εἶπεν (εἶπε δὲ σύντομόν σοι παράδοσιν ποιούμενος), τῇ δὲ σαφηνείᾳ [τῆς δὲ σαφηνείας cod.], ἐξ ὧν μέλλει εἰπεῖν. σύντομόν σοι παράδοσιν· ἐντεῦθεν τὸν διδασκαλικὸν τρόπον διδάσκει ὁ Πορφύριος· φησὶ γὰρ ὅτι δεινοῖς θεωρήμασιν [θεωρίμασιν cod.] οὐ βούλομαι ὁμιλεῖν, ἐκ τούτων γὰρ ἀσάφειά τις γίνεται. πειράσομαι διὰ βραχέων· τοῦτο μετριάζων ὁ φιλόσοφος εἶπεν. ἢ τὸ πειράσομαι οἱονεὶ πεῖραν ποιήσομαι πρὸς τὴν φύσιν· ἄνθρωπος γὰρ ἦν ὁ Χρυσαόριος στρατηγίαις μᾶλλον ἢ [καὶ cod.] λόγοις σχολάζων [σχολῶν cod.], οὐδὲ γὰρ ἦν λόγιος πάνυ. ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ· τοῦτο εἶπε τὸ ἀσαφὲς κἀνταῦθα ἐκφεύγων. ἔδειξε μὲν ἐν τῷ οὕτως λέγειν, ὅτι τὴν ποιότητα [τῇ ποιότητι cod.] τῆς λέξεως ἄγνωστον οὐ ποιῶ, ὥσπερ Ἀρχιγένεια λέγων ἀσαφῆ [ἀσαφεῖς cod.] ⟨οὗτος γὰρ⟩ ἐποίησε τὸ ἡδύπονον [ἡδύτονον cod.] καὶ τὸ ἐνσεσαγμένον, ποῖος δὲ πόνος [τόνος cod.] ἐστὶν ἡδὺς καὶ ἐνσεσαγμένος οὐκ οἴδαμεν. αἱ γὰρ εἰσαγωγαὶ δυσχερεῖς λέξεις οὐ θέλουσιν ἔχειν. καὶ ἡ ἀσάφεια κατὰ δύο τρόπους γίνεται, ἢ ἀπὸ τῆς λέξεως ἢ ἀπὸ τῶν θεωρημάτων, ὡς ἔχει τὰ λεπτὰ θεωρήματα τῆς φιλοσοφίας· ταῦτα γὰρ βαθέα καὶ δεινὰ ὑπάρχουσι καὶ ὑψηλὰ καὶ δέονται βαθέος κολυμβητοῦ οἷον φιλοσόφου ἄκρου. ἀπὸ δὲ λέξεως διττῶς λέγεται ἡ ἀσάφεια· ἢ γὰρ διὰ τὸ μῆκος τῆς φράσεως, ὡς ἔχει τὸ Γαλήνεια, κἂν γὰρ εὐφραδῆ εἰσιν, ἀλλʼ οὖν διὰ τὸ μῆκος ἀσαφῆ εἰσιν. ἢ διὰ τὴν ποιότητα τῆς λέξεως, ὡς ἔχει τὰ προειρημένα Ἀρχιγένεια. ⟨τὰ παρὰ τοῖς πρεσβυτέροις ἐπελθεῖν⟩· τὰ παρακολουθοῦντα δὲ τοῖς φιλοσόφοις· ἐφυλάξατο μὴ οἰκειοποιεῖσθαι τὰ ἀλλότρια. λέγει ⟨οὖν⟩ ὁ Πορφύριος· οὐκ ἐμὰ λέγω, ἀλλʼ ὅπερ ὠφελήθην ἀπὸ τῶν πρεσβυτέρων ἤγουν ἀρχαιοτέρων ταῦτα λέγω [λέγει m.[1]]. τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων, τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχαζόμενος· καλῶς εἶπε· τοῦτο γὰρ ὡς προείρηται ἀρετὴ διηγήσεως [διδασκαλία] τὸ διʼ ἁπλουστέρων καὶ βραχέων διηγεῖσθαι καὶ διδάσκειν. τὸ δὲ ζητημάτων ἀντὶ τοῦ θεωρημάτων, τὸ δὲ βαθυτέρων ἀντὶ τοῦ δεινῶν καὶ ὑψηλῶν καὶ σοφῶν καὶ δυσκολωτέρων καὶ γριφοτέρων. ἁπλουστέρων δὲ ἀντὶ τοῦ εὐκωλοτέρων καὶ σαφεστέρων. ἄλλως τε δέ· ἐπειδὴ ὁ λόγος τῷ Πορφυρίῳ πρὸς ἄνθρωπον [ἄνδρα superscr.] πολιτικοῖς ἀσχολούμενον ῥήμασι καὶ μὴ ἰσχύοντα πολὺν χρόνον φιλοσοφίᾳ σχολάζειν ὑπισχνεῖται αὐτῷ συντόμως ἅμα καὶ ⟨σαφῶς⟩ λέγειν περὶ τῶν προκειμένων, ἵνα μὴ δόξῃ ἑαυτὸν ἐπαινεῖν ὁ Πορφύριος ὡς ἐπαγγειλάμενος τὰ τῶν πρεσβυτέρων λέγειν. φησὶ γὰρ τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων, τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχασόμενος, ἤγουν πρὸς τὸ μέτρον καὶ τὴν δύναμιν τοῦ ἀκροατοῦ. τὸ δὲ στοχασόμενος οὐ πρὸς ἑαυτὸν εἶπεν ὁ Πορφύριος (οὐδὲ γὰρ φιλοσόφου ἢ ἐπιστήμονος τὸ στοχάζεσθαι), ἀλλὰ πρὸς Χρυσαόριον ἀφορῶν τοῦτο εἴρηκεν (οὗτος γὰρ ἠσχολεῖτο πρὸς τὰ πολιτικὰ πράγματα, ἤγουν τὰ δημοσιακά), τουτέστι στοχασόμενός σοι σύμμετρα εἶναι τὰ πρεσβύτερα. ἢ τὸ στοχασόμενος ἀπολογίαν ἔχει ὁμοίαν τῷ [τὸ cod.] πειράσομαι· μετριάζων γὰρ τοῦτο εἴρηκεν ὁ φιλόσοφος. V ἐπινοίαις om. V θεορουμένων CV

ναι μὲν ἐκείνων λεγομένων, ὅσα μήτε ἐπειδὴ γινώσκεται ἔστι μήτε ἐπειδὴ ἀγνοεῖται οὐκ ἔστι, ὡς θεός, νοῦς, ψυχή (ταῦτα γὰρ κἄν τε γινώσκηται ἐξ ἡμῶν κἄν τε ἀγνοῆται οὐδὲν ἧττον ἔστιν), ἐν ψιλαῖς δὲ ἐπινοίαις λεγομένων ὅσα ἐπειδὴ γινώσκεται ἔστι καὶ ἐπειδὴ ἀγνοεῖται οὐκ ἔστιν, ὡς εἶναι γένεσιν
5 μὲν αὐτῶν τὴν ἡμετέραν γνῶσιν, ὄλεθρον δὲ τὴν ἡμῶν ἄγνοιαν, ὡς τραγέλαφος καὶ ἱπποκένταυρος (οὐδὲ γὰρ οἶδεν ἡ φύσις τοιαύτην κρᾶσιν, ἀλλ' ἡ ἡμετέρα διάνοια ἐτυράννησεν ἐκ τῶν ἁπλῶν σύνθετόν | τι ἐπινοήσασα· 59r λαβοῦσα γὰρ τράγον καὶ ἔλαφον ἐποίησε τραγέλαφον καὶ ἰδοῦσα ἵππον καὶ ἄνθρωπον ἐποίησεν ἱπποκένταυρον), τῶν οὖν ὄντων πάντων, καθὰ εἴρηται,
10 ἢ ὑφεστώτων ἢ ἐν μόναις ψιλαῖς ἐπινοίαις θεωρουμένων, ἠδυνάμην, φησίν, ζητεῖν τὰ γένη καὶ τὰ εἴδη ποτέροις μετείη. εὐλόγους δέ μοι τὰς ζητήσεις ἐποίει καὶ ἡ τῶν παλαιῶν περὶ ταῦτα διαφωνία· οἱ μὲν γὰρ ἔλεγον ὑφεστάναι τὰ γένη καὶ τὰ εἴδη, ὡς Πλάτων καὶ Ἀριστοτέλης καὶ οἱ τοιοῦτοι, Ἀντισθένης δὲ ὁ Κυνικὸς ὁ τοῦ Διογένους διδάσκαλος ἔλεγεν μὴ
15 εἶναι τὰ καθόλου οὕτως ἐπιχειρῶν· 'ἄνθρωπον ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ, καὶ ἵππον ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ'. 'ἀλλ', ὦ Ἀντίσθενες', φησὶ πρὸς αὐτὸν ὁ Πλάτων, 'οἷς μὲν ὁρᾶται ἵππος καὶ ἄνθρωπος τὰ κατὰ μέρος ἔχεις, τοῦτ' ἔστιν ὀφθαλμούς, οἷς δὲ ὁρᾶται ἀνθρωπότης καὶ ἱππότης τὰ καθόλου οὐκ ἔχεις· νοῦν γὰρ οὐκ ἔχεις'· ὅτι γάρ
20 εἰσι τὰ καθόλου καὶ οὐκ ἐν ψιλαῖς ἐπινοίαις μόνον καθέστηκεν, δηλοῖ κατὰ τὴν ὁμοιοπάθειαν· πόθεν γὰρ ὁρῶντες χασμωμένους τινὰς ἢ ἀποροῦντας παραχρῆμα ἀνάγκῃ τινὶ κινούμεθα πρὸς τὸ ὁμοιοπαθὲς ἐνεργεῖν, εἰ μὴ κοινόν τι καθόλου ὑπῆρχε πρὸς ἀλλήλους; |

Ἀλλὰ καὶ τούτου δειχθέντος ὅτι ὑφεστήκασι τὰ γένη καὶ τὰ εἴδη, οὐ 59v
25 τοῦτο πέρας ἐποιούμην τῆς ζητήσεως, ἀλλ' ἔτι ποικιλωτέρα μέ τις ζήτησις ἐξεδέχετο· τῶν γὰρ ὑφεστώτων πάντων ἢ σωμάτων ὄντων ἢ ἀσωμάτων ἐνῆν ζητεῖν πότερον τὰ καθόλου, τοῦτ' ἔστι τὰ γένη καὶ τὰ εἴδη, σώματα ἢ ἀσώματα. εὐλόγους δέ μοι πάλιν τὰς ζητήσεις ἐποίει τῶν παλαιῶν ἡ περὶ ταῦτα διαφωνία· οἱ γὰρ Στωϊκοὶ σώματα εἶναι ἔλεγον τὰ καθόλου, οὐ
30 ταῦτα δὲ μόνον ἀλλὰ καὶ πάντα τὰ ὄντα καὶ τὸ θεῖον αὐτὸ σῶμα ἔχειν, ἀλλὰ λεπτομερές (τοῦτο δῆθεν τὸ ὅσιον αὐτῶν), ἵνα διὰ πάντων δῆθεν τῶν ὄντων διέλθῃ, ἄνθρωποι ταῖς ἀληθείαις σπαρτοὶ καὶ γηγενεῖς ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρας τὴν φιλοσοφίαν ἐρανισάμενοι, οὐκ ἔκ τινος παραδόσεως, ἀλλότριοι ὄντες καὶ αὐτοῦ τοῦ φιλοσοφίας ὀνόματος, εἰ μὴ εἶχόν τινα χαρακτηρί-

---

1 γινώσκεται — ἐπειδὴ om. V 2 γινώσκεται C 3 et 4 ἀγνωεῖται C 7 ἡ om. C ἐτυράννισεν V 8 λαβοῦσα — ἱπποκένταυρον (9) om. V 10 ὑφεστότων C[1] ἐποινοίαις V[1] θεορουμένων C 11 μου C (cf. v. 28) 12 καὶ ἡ τῶν παλαιῶν] τῶν παλαιῶν ἡ (sed ἡ m.[2]) C περὶ] διὰ V (cf. v. 29) 14 Ἀντισθ.] cf. Zelleri Ph. Gr. II[3] p. 254 τοῦ om. V 15 post ὁρῶ add. λέγων V 17 φησὶ om. C 19 τὰ om. C ὅτι γάρ εἰσι τὰ καθόλου — πρὸς ἀλλήλους (23) om. V (recte, ut videtur) 20. 21 κατὰ τὴν supra scr. C[2] 21 ἀποροῦντας haud sanum 25 τις om. V 26 ἀσομάτων V 28 μοι scripsi: μου CV (cf. v. 11) 29 Στωϊκοὶ] cf. Zelleri Ph. Gr. IV[3] p. 117 31 διὰ πάντων δῆθεν] δὴ πάντα C 32 γηγενῆς C (σπαρτοί τε καὶ αὐτόχθονες Plat. Soph. p. 247 C) ἀπὸ δρυὸς] cf. Hom. τ 163 34 τοῦ] τῆς C τινα τὸν χαρακτ. V χαρακτιρίζοντα C

ζοντα τὸν φιλόσοφον, τὸ ὑψηλόν φημι τῆς ζωῆς, ὅπερ ἔργον ἐστὶ τοῦ πρακτικοῦ φιλοσόφου· ἐκείνων γάρ εἰσιν αἱ μεγαληγορίαι αὗται· μόνος ὁ σοφὸς πλούσιος ὡς μὴ τὸν ἐφήμερον πλοῦτον πλουτῶν ἀλλὰ τὸν ἀεὶ παραμένοντα (σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον). | μόνος ὁ σοφὸς εὐτυ- 60r
5 χὴς ὡς τῶν ἐπ' αὐτῷ ὀρεγόμενος καὶ διὰ τοῦτο μηδέποτε ἀποτυγχάνων, μόνος ὁ σοφὸς ἄρχων ὡς εἰδὼς πῶς δεῖ ἄρχειν καὶ διὰ τοῦτο ἀεὶ ἑαυτοῦ ἄρχων καὶ μὴ ἀρχόμενος. διὰ ταύτας οὖν τὰς μεγαληγορίας ἠξιώθησαν τοῦ τῆς φιλοσοφίας ὀνόματος. 'ἀλλ', ὦ Στωϊκοί', ἔστι πρὸς αὐτοὺς εἰπεῖν, 'οὐ δύναται τὸ αὐτὸ σῶμα μικρῷ καὶ μεγάλῳ ὁμοίως ὑπάρχειν, ἐπεὶ δια-
10 σπασθήσεται αὐτὸ ἑαυτοῦ, τὸ δὲ ἀσώματον οἷον τὸ καθόλου ζῷον ὁμοίως ὑπάρχει καὶ διπήχει καὶ τριπήχει· ἀσώματον ἄρα τὸ καθόλου. ἔτι οὐδέποτε τὸ αὐτὸ σῶμα ἐν διαφόροις κατὰ τὸν αὐτὸν χρόνον θεωρεῖται ἀδιασπάστως, τὰ δὲ γένη καὶ τὰ εἴδη ἀδιασπάστως ἐν διαφόροις θεωρεῖται· οὐκ ἄρα εἰσὶ σώματα ἀλλ' ἀσώματα'.

15 Ἀλλὰ καὶ τούτου ἀποδειχθέντος οὐδὲ τότε πέρας ἐποιούμην τῶν ζητήσεων, ἀλλὰ τότε ὁ κολοφών με τῶν ζητημάτων ἐξεδέχετο· τοῦ γὰρ καθόλου τριττοῦ ὄντος, ἢ πρὸ τῶν πολλῶν ἢ ἐν τοῖς πολλοῖς ἢ ἐπὶ τοῖς πολλοῖς, ὑπὸ ποῖον τούτων τὸ γένος καὶ τὸ εἶδος τελεῖ; οἷον ὡς ἐπὶ παραδείγματος ὑποκείσθω δακτύλιος ἔχων σφενδόνην καὶ ἐν αὐτῇ ἐκτύπωμα ἑνὸς τῶν ἀριστέων,
20 Ἀχιλλέως ἢ Αἴαντος ἢ Ἕκτορος, καὶ διάφοροι κηροὶ ἀποματτόμενοι τὸ ἐκτύπωμα τοῦ δακτυλίου καί τις ἑστὼς καὶ θεώμενος τὰ ἐν τοῖς κηροῖς, ὃς καὶ ἀναχωρείτω λέγων 'εἶδον πολλοὺς κηροὺς τὸ αὐτὸ ἐκτύπωμα ἔχοντας'· ἔστιν οὖν τὸ ἐν τῷ δακτυλίῳ τὸ πρὸ τῶν πολλῶν, τὸ ἐν τοῖς κηροῖς τὸ ἐν τοῖς πολλοῖς, ὁ ἑστὼς καὶ θεασάμενος τοὺς τύπους τὸ ἐπὶ τοῖς πολλοῖς. καὶ οὕτως μὲν | 60v
25 ἐπὶ τοῦ παραδείγματος. ἐπὶ δὲ τῶν πραγμάτων αὐτῶν τὰ πρὸ τῶν πολλῶν ἐστιν ἐν τῷ δημιουργῷ, τοῦτ' ἔστιν οἱ λόγοι καθ' οὓς τὰ ὄντα δημιουργεῖ (καὶ τούτους τοὺς δημιουργικοὺς λόγους ὁ Πλάτων ἰδέας καλεῖ), τὰ ἐν τοῖς πολλοῖς ἐν τῇ ὕλῃ, ἐπειδὴ ἀχώριστά εἰσι τῆς ὕλης (ἐν ταύτῃ γὰρ θεωροῦνται), καὶ τὸ εἶναι ἔχουσι τὰ ἐπὶ τοῖς πολλοῖς ἐν ταῖς ψυχαῖς τῶν ἐπιστημόνων· ἐν γὰρ
30 τῇ τούτων φαντασίᾳ τὸ εἶναι ἔχουσι τὰ γένη καὶ τὰ εἴδη ἤτοι τὰ καθόλου.

Ταῦτα πάντα δυνάμενος ζητῆσαι οὐ ζητήσω, ἀλλ' ὥσπερ ἐπὶ εἰσαγωγικῇ διδασκαλίᾳ διαλεκτικώτερον τὰ περὶ αὐτῶν διδάξω, τοῦτ' ἔστι τί τίνι ὑπόκειται καὶ τί τίνος κατηγορεῖται. ὑποκείμενον τυχόν ἐστι τὸ περὶ οὗ ὁ λόγος, κατηγορούμενον δὲ τὸ περὶ ἐκείνου λεγόμενον·

---

1 ὑφιλὸν C 4 μόνη om. V ante ἀθάνατον ras. VIII litt. C 5 αὐτῶν C 6 ἄρχειν] ἔχειν V 7 ταύτας] τὰς (in marg. ταύτας) V 9 ὁμοίως om. V ἐπειδὴ V 10 ἑαυτ.] δι' ἑαυτοῦ C 11 δίπηχυ καὶ τρίπηχυ V ἔτι — ἀσώματα (14) om. V 16 τότε] τούτου C κελοφῶν (superscr. κλε) V 18 ποῖον τούτων] ποῖον (superscr. ω) τοῦτο V 20 ἢ Ἕκτορος om. V ἀποματτώμενοι V 21. 22 ἀναχωρίτων C 23 τὸ (post οὖν)] τῷ V τὸ (ante ἐν τοῖς κηροῖς)] καὶ C 23. 24 τὸ ἐν τοῖς πολλοῖς — ἐπὶ τοῖς πολλοῖς om. V 27 ἰδέας καλεῖ τὰ] δὲ καλεῖν ὁ τὰ V 29 ταῖς ψυχαῖς] τοῖς πολλοῖς V 30 τὰ γένη — καθόλου om. V 31 ζητεῖσαι (pr. l.) C ζητῶ (alt. l.) V ἐπὶ] ἐπεὶ C 32 διαλεκτικώτερον post αὐτῶν transp. V 33 pr. τί om. V

οἷον 'ἄνθρωπος νικᾷ'· τὸ ἄνθρωπος ὑπόκειται, κατηγορεῖται δὲ τὸ νικᾷ. ἢ καὶ ἄλλως· ὑποκείμενόν ἐστι τὸ τῷ ἄρθρῳ συνταττόμενον, κατηγορούμενον δὲ τὸ μὴ συνταττόμενον ἄρθρῳ, οἷον 'ὁ ἄνθρωπος περιπατεῖ'. καὶ ἄλλως δέ, ὅτι τὸ μὲν κατηγορούμενον ἢ μεῖζόν ἐστι τοῦ ὑποκειμένου ἢ ἴσον αὐτῷ,
5 ἔλαττον δὲ οὐδέποτε, τὸ δὲ ὑποκείμενον πᾶν τοὐναντίον ἢ ἴσον ἢ ἔλαττον, οὐδέποτε δὲ μεῖζον· εἰ γὰρ εἴπω 'ὁ ἄνθρωπος ζῷον', τὸ ζῷον κατηγορεῖται τοῦ ἀνθρώπου καθολικώτερον αὐτοῦ ὄν, ἐὰν δὲ εἴπω 'ὁ ἄνθρωπος γελαστικόν', τὸ γελαστικὸν κατηγορεῖται ἴσον ὂν τῷ ἀνθρώπῳ· εἴ τι γὰρ ἄνθρωπος, γελαστικόν, καὶ εἴ τι γελαστικόν, ἄνθρωπος. τὸ δὲ ὑποκείμενον οἷον ὁ
10 ἄνθρωπος ἢ ἴσον ἐστὶ τῷ κατηγορουμένῳ οἷον τῷ γελαστικῷ, ὡς εἴρηται, | ἢ ἔλαττον τοῦ κατηγορουμένου οἷον τοῦ ζῴου, οὐδέποτε δὲ μεῖζον. 61r

p. 1,9 Αὐτίκα περὶ τῶν γενῶν τε καὶ εἰδῶν.

Εἰπὼν ὅτι τῶν βαθυτέρων ἀπέχομαι ζητημάτων προσφόρως ἐπήγαγε τὸ αὐτίκα περὶ τῶν γενῶν τε καὶ εἰδῶν, ὅτι περὶ τούτων
15 ἠδυνάμην πολλὰ ζητῆσαι.

p. 1,10 Τὸ μὲν εἴτε ὑφέστηκεν.

Διαφέρει ἐπίνοια ψιλῆς ἐπινοίας, ὅτι ἡ ἐπίνοια τὸ ὂν ἄλλως ποιεῖ νοεῖσθαι, οἷον ἐκ τοῦ χαλκοῦ τριγώνου χωρίζουσα τὸ σχῆμα καὶ αὐτὸ καθ' αὑτὸ ἐπινοοῦσα τὸ τρίγωνον, ψιλὴ δὲ ἐπίνοια ἡ τὰ ἀδύνατα τῇ φύσει
20 ἀναπλαττομένη ὡς τραγέλαφον καὶ τὰ τοιαῦτα.

p. 1,11 Καὶ πότερον χωριστά.

Χωριστὰ τὰ πρὸ τῶν πολλῶν νοητέον, ἐν τοῖς αἰσθητοῖς τὰ ἐν τοῖς πολλοῖς, περὶ ταῦτα ὑφεστῶτα τὰ ἐπὶ τοῖς πολλοῖς, ὡς καὶ ἀνωτέρω εἴρηται.

25 p. 1,12 Παραιτήσομαι λέγειν βαθυτάτης.

Μηδεὶς ἐγκαλείτω τῷ Πορφυρίῳ, ὃ καὶ τοῖς ῥήτορσιν ἐγκαλοῦσιν ὑπισχνουμένοις μὲν σιωπᾶν, λέγουσι δὲ τὰ ὀφείλοντα σιωπηθῆναι· οὐδὲ γὰρ τοῦτο ἐποίησεν, ἀλλὰ λέγει μὲν τὰ προβλήματα, σιωπᾷ δὲ τὰ ἐπιχειρήματα.

---

1 ὑποκείμενον C 2 ἄρθρῳ] ἀνθρώπῳ C 3 ἄρθρῳ] ἄρθρον C 5 ὑποκείμεμενον C 6 et 7 ὁ (utrobique) om. C 6 τὸ ζῷον om. V 7 καθολικότερον C ὄν] ὑπάρχον V δὲ om. V 9 ὁ om. C 10 τὸ γελαστικόν V 11 οὐδέπετε V 12 τῶν om. C (cf. v. 14) 17 ἡ om. V ποιεῖν V 18 χωρήζουσα V τὸ (ante σχῆμα) om. V 21 πρότερον C χωρηστά V 22 τὰ (ante πρὸ) supra scr. C: om. V 23 ταῦτα] ταυταῦτα C: τὰ V 24 εἴρηται] p. 48,17 25 παραιτήσομε C 26. 27 ὑπισχνεῖσθαι V 27 λέγειν V 28 λέγειν V

p. 1,14 Τὸ δὲ ὅπως περὶ αὐτῶν καὶ τῶν προκειμένων.

Μηδεὶς νομίσῃ διττολογεῖν τὸν Πορφύριον εἰπόντα αὐτῶν καὶ τῶν προκειμένων· αὐτῶν μὲν γὰρ νοητέον γενῶν τε καὶ εἰδῶν (τούτων γὰρ καὶ προσεχῶς ἐμνήσθη), τῶν δὲ προκειμένων ἀντὶ τοῦ ὑφὲν ὅλων ὁμοῦ 5 τῶν πέντε φωνῶν. |

⟨Πρᾶξις ιη'⟩. 61v

Περὶ γένους.

p. 1,18 Ἔοικε δὲ μήτε τὸ γένος μήτε τὸ εἶδος.

Μετὰ τὰ προοίμια καὶ ἐπ' αὐτοὺς ἰτέον τοὺς ἀγῶνας. ἀρχὴ δὲ τῶν 10 ἀγώνων ἡμῖν γενέσθω τὸ γένος ὡς καὶ οὐσιῶδες καὶ καθόλου· ὡς μὲν γὰρ οὐσιῶδες προτέτακται ἰδίου καὶ συμβεβηκότος, ἐπουσιωδῶν ὄντων, καὶ νικᾷ ἐν τούτοις, ὡς δὲ καθόλου νικᾷ διαφορὰν καὶ εἶδος· τριῶν γὰρ οὐσῶν οὐσιωδῶν φωνῶν καθολικώτατον μὲν τὸ γένος, μερικώτατον δὲ τὸ εἶδος, μέση τούτων ἡ διαφορά, τοῦ μὲν γένους μερικωτέρα, τοῦ δὲ εἴδους καθολικωτέρα. 15 ἀλλὰ καὶ δι' ἄλλην αἰτίαν ἀπὸ τοῦ γένους ἀρκτέον, διότι τὸ μὲν γένος ῥίζῃ ἔοικε, πρέμνοις αἱ διαφοραί, κλάδοις τὰ εἴδη, παραφυάσι τὰ ἴδια καὶ τὰ συμβεβηκότα. καὶ ὥσπερ αἱ παραφυάδες μὴ ἔχουσαι οἰκείαν ῥίζαν ἄλλοις παραφύονται καὶ παραπλέκονται, οὕτως καὶ τὰ ἴδια καὶ τὰ συμβεβηκότα μὴ ἔχοντα ἰδίαν ὑπόστασιν παρυφίστανται τοῖς αὐθυποστάτοις. εἰκότως 20 οὖν ἀπὸ τοῦ γένους ἀρκτέον. καὶ δι' ἄλλην αἰτίαν τὸ γένος προτακτέον· γένους γὰρ ὄντος εἴδη εἰσὶ καὶ διαφοραὶ καὶ ἴδια καὶ συμβεβηκότα, τούτου

---

2 τῶν om. V 3 μὲν om. V τε om. C 5 post φωνῶν ex Ammon. (p. 45. 46) add. haec εἴ τι [scr. ἔτι] ποῖα ὑποκείμενα καὶ ποῖα κατηγορούμενα; τοῦτο γὰρ διδάξαι τῇ λογικῇ πραγματείᾳ πρέπον. ἔστι γὰρ διαλαβεῖν περὶ τῶν γενῶν τε καὶ εἰδῶν θεολογικῶς, ὡς Πλάτων ἐν τῷ Παρμενίδῃ ἔλαβεν (l. διέλ.), ἔστι καὶ φυσικῶς ὡς ὁ Ἀριστοτέλης. καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ περιπάτου· φασὶν ὅτι ὁ Πλάτων βαδίζων ἐποιεῖτο πρὸς ἑταίρους [ἑτέρους V[1]] τὰς συνουσίας διὰ τὸ τὸ σῶμα ποιεῖν διὰ τῶν γυμνασίων ἐπιτήδειον πρὸς ψυχῆς ἔλλαμψιν [ἔλαμψιν V]. ὡς γὰρ ἂν ἔχῃ [ἔχειν V] τὸ ὄργανον, οὕτως καὶ ἡ ἐνέργεια τοῦ τεχνίτου διαφαίνεται [διαφένεται V[1]]. καὶ τούτου χάριν ἐλέγοντο [ἐγένοντο V] Περιπατητικοί. μετὰ οὖν τὴν τελευτὴν Πλάτωνος διεδέξαντο [διεδέξατο V] τὴν διατριβὴν ὅ τε Ἀριστοτέλης καὶ ὁ Ξενοκράτης, ὁ μὲν Ἀριστοτέλης ἐν τῷ Λυκείῳ ὁ δὲ Ξενοκράτης ἐν τῇ Ἀκαδημίᾳ. ἐλέγοντο οὖν οἱ μὲν Ἀριστοτέλους Περιπατητικοὶ ἐκ Λυκείου, οἱ δὲ Ξενοκράτους Περιπατητικοὶ ἐξ Ἀκαδημίας. ὕστερον οἱ μὲν τοῦ Ἀριστοτέλους ἐκλήθησαν Περιπατητικοὶ ἀποβαλόντες τὸ ὄνομα τοῦ τόπου, οἱ δὲ τοῦ Ξενοκράτους Ἀκαδημαϊκοὶ ἀποβαλόντες τὸ Περιπατητικοί. V 6 πρᾶξις ιη' addidi 9 δὲ] μὲν C 10 pr. ὡς C[2]: ὃς C[1]: ὃ V 11 ante ἰδίου add. καὶ V an ἐπεισοδιωδῶν? (cf. p. 36,4) 12 διαφορᾷ καὶ εἴδει V 14 μερικωτέρα] γενικωτέρα C 15 ἀπὸ om. C (cf. v. 20 p. 51,10) 16 πρέμνῳ C 17 καὶ ὥσπερ — συμβεβηκότα (18) om. V 20 τοῦ] τῶν (superscr. οῦ) V: om. C 21 γὰρ om. V

δὲ μὴ ὄντος οὐδὲν τούτων ἔστι. καὶ μὴ ἀντιστρέψῃς λέγων ὅτι τὸ εἶδος
προτακτέον· εἴδους γὰρ μὴ ὄντος οὐδὲ γένος οὐδὲ διαφορά, οὐκ ἴδιον οὐδὲ
συμβεβηκός· εἰ γὰρ καὶ τὸ γένος τῷ εἴδει αἴτιον καὶ τὸ εἶδος τῷ γένει,
ἀλλ' οὐχὶ τὰ αὐτὰ μέτρα· ὥσπερ γὰρ ὁ πατὴρ | παρήγαγε τὸν υἱὸν αἴτιος 61ar
5 αὐτῷ γεγονὼς τοῦ εἶναι καὶ τῆς σχέσεως, τοῦτ' ἔστι καὶ τοῦ ἄνθρωπον
εἶναι καὶ υἱόν, ὁ δὲ υἱὸς αἴτιος τῷ πατρὶ τῆς σχέσεως μόνης, τοῦτ' ἔστι
τοῦ εἶναι αὐτὸν πατέρα, οὐ μὴν καὶ τοῦ ἄνθρωπον εἶναι (ἦν γὰρ ἄνθρω-
πος, καὶ πρὶν ἂν γένηται πατήρ)· οὕτως καὶ τὸ γένος αἴτιον τῷ εἴδει καὶ
τοῦ εἶναι καὶ τῆς σχέσεως, τὸ δὲ εἶδος αἴτιον τῷ γένει σχέσεως μόνης.
10 εὐλόγως οὖν ἀπὸ τοῦ γένους δεῖ ἄρξασθαι.

Ἀλλ' ἐπεὶ τὸ γένος ὁμώνυμός ἐστι φωνή (ἐν γὰρ ταῖς δέκα κατη-
γορίαις θεωρεῖται, εἴ γε ἑκάστη γένος λέγεται, ἀρκεῖ δὲ πρὸς τὸ ποιῆσαι
ὁμωνυμίαν τὸ ἐν δύο μόνοις πράγμασι θεωρεῖσθαι, οὔτι λέγω ἐν δέκα),
φέρε διαστείλωμεν τὴν ὁμωνυμίαν· εἰ γὰρ μὴ τοῦτο ποιήσωμεν, εὑρισκό-
15 μεθα ἀδιανόητα φθεγγόμενοι, τοῦ μὲν κατὰ ἄλλο σημαινόμενον ἐρωτῶντος,
τοῦ δὲ κατὰ ἄλλο νοοῦντος. ἀλλὰ καὶ ψευδόμεθα μὴ ψευδόμενοι, ὡς ὅταν
εἴπωμεν 'Αἴας ἐμονομάχησεν Ἕκτορι'· τοῦτο γὰρ καὶ ἀληθὲς καὶ ψεῦδος
διὰ τὸ διάφορον τῶν σημαινομένων. ἀλλὰ καὶ τὸ θαυμαστὸν οἰχήσεται
τὸ κοινωνικὸν τῶν ἀνθρώπων πρᾶγμα τῆς οὐσίας ἡμῶν παραστατικόν· ὡς
20 γὰρ οὐκ ἔστι Πέρσας Αἰγυπτίοις συμπολιτεύεσθαι διὰ τὸ ἀλλότριον τῆς δια-
λέκτου, οὕτως οὐδὲ οἱ τὰ ὁμώνυμα φθεγγόμενοι δύνανται πολιτεύεσθαι μετ'
ἀλλήλων. ἐπεὶ οὖν ταῦτα οὕτως ἔχει, φέρε τοῖς διηγορευμένοις κανόσιν
ὑπὸ Ἀριστοτέλους ἐν τῇ Τοπικῇ πραγματείᾳ περὶ τῆς διακρίσεως τῶν
ὁμωνύμων χρησώμεθα· | φησὶ γὰρ ὅτι πράγματος προτεθέντος, οὗ ἡ σημαντικὴ 61av
25 φωνὴ οὐκ αὐτὸ μόνον σημαίνει ἀλλὰ πλείονα, δεῖ τρία τινὰ τότε ποιεῖν,
ἀπαριθμεῖσθαι τὰ σημαινόμενα καὶ διορίσαι περὶ οὗ ὁ λόγος κἀκεῖνο ὑπο-
γραφῆς ἢ ὁρισμοῦ ἀξιοῦν· οὐ γὰρ ἀποδεκτέον τὸν ποιητὴν λέγοντα περὶ
τοῦ κυνὸς

ὅς τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·

30 ἔδει γὰρ ἀπαριθμήσασθαι τὰ σημαινόμενα καὶ διορίσαι περὶ ποίου ὁ
λόγος, ἆρα περὶ ἀστρῴου κυνός, περὶ χερσαίου, περὶ ἐνύδρου, καὶ οὕτως
εἰπεῖν ὅπερ ἐβούλετο. φέρε οὖν εἴπωμεν τὰ σημαινόμενα τοῦ γένους.

---

2. 3 οὐ συμβ. V 4 an ⟨κατὰ⟩ τά? 5 αὐτοῦ V τοῦ ἄνθρ.] τὸ ἄνθρ. V
6 τοῦτ' om. V 7 τοῦ ἄνθρωπον (ex ἀνθρώπου corr.) C: ἄνθρωπον V 8 ἂν om. V
9 εἶδος] ἴδιον V post alt. σχέσεως add. καὶ V 12 ἀρκεῖ ex ἀρχῇ corr. C
πρὸς τὸ om. V ποιεῖσαι C 13 οὔτι] οἷόν τι V 14 διαστείλομεν C
16 κατὰ om. V 18 ταυμαστὸν V οἰχήσεται] εἰ χρήσεται V 19 κοινονικὸν C[1]
21 ὁμόνυμα C[1] πολ.] an διαλέγεσθαι? 22 οὕτως ταῦτα colloc. V διηγορευ-
μένοις] διηγουμένοις V 23 ἐν] μὴ V ἐν τῇ Τοπικῇ] cf. A 18 p. 108a 18 sq. Z 2
p. 139b 19 sq. 24 χρησόμεθα C 25 post δεῖ add. τοίνυν V 26 ἀπα-
ριθμήσας V οὗ] ποίου V (cf. p. 53,4) 26. 27 ὑπογραφῆς — ἀξιοῦν] ὑπογράψεις
ὁρισμοῦ ἄξιον V 27 τὸν ποιητὴν] Hom. X 32 28 ὅς τε C[2]: ὥστε C[1]: ὡς τὸ
V: καί τε Hom. φέρειν V πολλὸν] πολλὺν C: πολλῶν V 30 ἔδει] ἔχει V
31 κυνός] κοινός C χερσέου C 32 εἶπεν (pr. l.) V εἴπομεν (alt. l.) C

Δεῖ εἰδέναι ὅτι τὸ γένος τρία σημαίνει, καὶ ἔστιν ἓν αὐτοῦ σημαινόμενον πλῆθος ἀνθρώπων ἐκ μιᾶς ἀρχῆς προελθὸν μετὰ τῶν ἐξ ἐπιγαμβρίας αὐτοῖς κοινωνησάντων, οὓς ἀγχιστεῖς οἱ ποιηταὶ καλοῦσιν, οἷον οἱ Ἡρακλεῖδαι πλῆθος ὄντες ἀνθρώπων ἐκ μιᾶς ἀρχῆς προελθὸν τοῦ Ἡρακλέους. ἐνταῦθα
5 δὲ τρεῖς σχέσεις κεκρυμμέναι εἰσίν, ἑνὸς πρὸς πολλοὺς οἷον τοῦ Ἡρακλέους πρὸς τοὺς Ἡρακλείδας, εἴ γε λέγονται οἱ φύσαντες γόνοι καὶ πρόγονοι·

οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω· |

πολλῶν πρὸς ἕνα. τῶν Ἡρακλειδῶν πρὸς τὸν Ἡρακλέα, εἴ γε λέγονται 62r ἀπόγονοι καὶ ἔκγονοι καὶ μετέκγονοι καὶ γόνοι πάλιν·

10 αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι·

ἀλλὰ καὶ πολλῶν πρὸς πολλούς, τῶν Ἡρακλειδῶν πρὸς ἀλλήλους, εἴ γε οἱ τοιοῦτοι συγγενεῖς λέγονται. δεύτερον σημαινόμενον τοῦ γένους ἡ ἑκάστου τῆς γενέσεως ἀρχή. αὕτη δὲ ἢ ἔμψυχος ἢ ἄψυχος, καὶ ἔμψυχος μὲν ὁ πατὴρ ἄψυχος δὲ ἡ πατρίς. καὶ καθ' ἑκάτερον ἢ προσεχὲς ἢ πόρρω,
15 οἷον προσεχὲς ἔμψυχον ὁ πατὴρ πόρρω δὲ ὁ πάππος. ὁμοίως καὶ τὸ ἄψυχον ἢ προσεχὲς ἢ πόρρω, προσεχὲς μὲν ἡ πατρὶς πόρρω δὲ ἡ τῆς πατρίδος μητρόπολις ἤγουν ἡ ἐπαρχία. καὶ ὁ μὲν Πορφύριος ἐπὶ τεσσάρων παραδειγμάτων γυμνάζει τὸν τοιοῦτον λόγον, ἡμεῖς δὲ ἑνὶ καὶ τῷ αὐτῷ ἀρκεσθῶμεν παραδείγματι· ἰδοὺ γὰρ ὁ Ἀχιλλεὺς Πηλείδης μὲν διὰ τὸν
20 προσεχῆ πατέρα τὸν Πηλέα, Αἰακίδης δὲ διὰ τὸν πόρρω τὸν Αἰακόν, καὶ Φθιώτης διὰ τὴν προσεχῆ πατρίδα τὴν Φθίαν, καὶ Θετταλὸς διὰ τὴν πόρρω πατρίδα τὴν Θετταλίαν· καὶ γὰρ καὶ ἡ πατρὶς ἀρχὴ γενέσεως ὡς ὑποδεξαμένη καὶ ἡμᾶς καὶ τοὺς φύσαντας | καὶ ἰδιοτροπίαν ἠθῶν χαριζομένη, εἴ γε καὶ 62v ἡμεῖς οὐκ ἐκ παντὸς ἔθνους βουλόμεθα ὠνεῖσθαι ἀνδράποδα διὰ τὸ καὶ
25 τὴν πατρίδα, καθὰ εἴρηται, ὡς τοὺς γονεῖς ἰδιοτροπίαν ἠθῶν χαρίζεσθαι· διὸ καὶ πατρὶς εἴρηται ὡς ἀπὸ τοῦ τιμιωτέρου καὶ οὐχὶ μητρίς. ἔστι καὶ τρίτον σημαινόμενον τοῦ γένους, ᾧ ὑποτάσσεται τὸ εἶδος, περὶ οὗ καὶ τοῖς φιλοσόφοις ὁ λόγος. ἀλλ' οὐ μέχρι τούτων τὰ σημαινόμενα τοῦ γένους, ὦ Πορφύριε· ποῦ γὰρ ταχθήσεται τὰ παρὰ τοῖς γραμματικοῖς τρία γένη,
30 ἀρσενικόν, θηλυκόν, οὐδέτερον; ποῦ τὰ παρὰ Πλάτωνι ἐν τῇ θεολογίᾳ πέντε γένη τοῦ ὄντος, οὐσία, ταὐτόν, ἕτερον, κίνησις, στάσις; δεῖ γὰρ εἰδέναι ὅτι

---

1 τὸ γένος om. V σημαίνει et σημαινόμενον] σ (superscr. η) (utrobique) C 2 τῶν C²: τὸν C¹ ἐξ ἐπιγαβρίας V 3 αὐτῆς V ἀγχ. οἱ ποιηταὶ] Orph. Argon. 224 cf. Hesych. I p. 37 Schm. alt. οἱ om. C 4 προελθὸν Laur. 72,5: προῆλθον C: προελθόντες V 5 πρὸς πολλοὺς οἷον τοῦ om. C 7 οὐ γάρ ...] Hom. α 216 πώ] ποτε V τι C 9 καὶ ἔκγονοι om. V μετέκγονοι (una litt. post μετ eras.) C: μετέγκονοι V 10 αἴθ' ὄφελες om. V (cf. Hom. Γ 40) ἄγαμός τε εἶναι ἄγονός V ἔμμεναι C 13 τῆς γενέσεως ἀρχή] τῆς ἀρχῆς V ἔμψιχος et ἄψιχος V 15 δὲ om. V 16 ἡ πατρὶς — ἐπαρχία (17) in mrg. suppl. C¹ 17 ἤγουν om. C καὶ ὁ μὲν om. C 19 ἀρκεστῶμεν V 21 22. τὴν Φθίαν — πάτρίδα om. C 24 ὀνεῖσθαι V 25 ἰδιοτροπίαν] ἰδιοποιίαν V 26 τοῦ om. V 27 ὑποτάσεται C 29 παρὰ V Dav.: om. C (cf. p. 53,7) 30 τὸ πλάτωνι V (cf. Sophist. p. 244 A sq.) 31 ταὐτόν, ἕτερον] ἑτερότης, ταυτότης in mrg. add. C¹ στάσις, κίνησις colloc. V δεῖ γὰρ εἰδέναι suppl. in mrg. C¹

πάντα τὰ ὄντα, ᾗ μὲν ὄντα εἰσίν, οὐσία λέγονται, ᾗ δὲ κοινωνίαν ἔχουσι, ταὐτὸ καλοῦνται, ᾗ δὲ διαφέρουσιν ἀλλήλων, ἕτερα προσαγορεύονται, ᾗ δὲ κινοῦνται, κίνησις, ᾗ δὲ ἵστανται, στάσις· οὕτως γὰρ καὶ αὐτὰ ὁ Πλάτων ἐκάλεσε τὴν μὲν ἑκάστου ὕπαρξιν οὐσίαν, τὴν δὲ κοινωνίαν ταυτότητα, τὴν
5 δὲ διαφορὰν ἑτερότητα, τὴν ἐνέργειαν κίνησιν, τὴν ἀνάπαυλαν αὐτῶν στάσιν. ποῦ τὰ παρὰ Ἀριστοτέλει ἐν τῇ Φυσικῇ; ἑκάστης γὰρ τέχνης τὸ ὑποκείμενον γένος καλεῖ ὁ Ἀριστοτέλης. λεκτέον οὖν ὅτι τὰ μὲν παρὰ γραμματικοῖς παρῆκεν ὡς μὴ συνᾴδοντα τῇ φύσει τῶν πραγμάτων· ποῦ γάρ ἐστιν, ὦ γραμματικοί, ἄψυχον ἀρσενικὸν ἢ θηλυκόν; καίτοι τὸν κίονα λέγετε
10 ἀρσενικόν, τὴν δὲ θύραν θηλυκόν. | ποῦ δέ ἐστιν ἔμψυχον, ὃ οὐδὲ ἀρσενικὸν 63r οὐδὲ θηλυκόν; τὸ δὲ παιδίον οὐδέτερον λέγεται, ⟨ἔστι⟩ δὲ πάντως ἢ ἀρσενικὸν ἢ θηλυκόν. τὰ δὲ παρὰ Πλάτωνι, ἐπεὶ μὴ θεολογῆσαι καιρός, καὶ τὰ παρὰ Ἀριστοτέλει, ἐπεὶ μὴ φυσιολογῆσαι καιρός. τῶν οὖν τριῶν σημαινομένων τοῦ γένους μνησθεὶς ὁ φιλόσοφος διέστειλε καὶ διωρίσατο περὶ οὗ
15 ὁ λόγος.

Πρᾶξις ⟨ιθ'⟩.

p. 1,18 Ἔοικε δὲ μήτε τὸ γένος.

Τὸ ἔοικε τρία σημαίνει· τὸ ὅμοιον, ᾗ φαμεν

βασιλῆι γὰρ ἀνδρὶ ἔοικε,

20 καὶ τὸ πρέπει, καθό φαμεν

οὐκ ἔστ' οὐδ' ἐπέοικε τεὸν ἔπος ἀρνήσασθαι,

καὶ τὸ φαίνεται, ᾗ φαμεν 'οὑτοσὶ ὁ προσιὼν ἔοικε Σωκράτης εἶναι'. ἐνταῦθα οὖν τὸ ἔοικε τὸ φαίνεται δηλοῖ· φαίνεται γὰρ τὸ γένος καὶ τὸ εἶδος μὴ ἁπλῶς λεγόμενα. διὰ τί δέ, φασί, γένους μνησθεὶς καὶ εἴδους ἐμνημόνευσε;
25 καὶ λέγομεν ὅτι ἐπειδὴ τῶν πρός τί εἰσι τὸ γένος καὶ τὸ εἶδος, τὰ δὲ πρός τι χωρὶς ἀλλήλων οὔτε ἔστιν οὔτε γινώσκεται.

p. 1,18 Ἁπλῶς λέγεσθαι.

Τὸ ἁπλῶς τρία σημαίνει, κυρίως, καθόλου καὶ μοναχῶς· κυρίως μέν,

---

1—3 ᾗ (quinquies) Laur. 72,5: εἰ CV κοινωνία C 3 ὁ πλάτων αὐτὰ colloc. V; scribas αὐτὸς 4 ἐκάλεσε om. C 5 δὲ (ante διαφορὰν) om. V ἀνάπαυλαν] παῦλαν V post στάσιν in mrg. add. ὠνόμα⟨σεν⟩ C 6 ἐν τῇ Φυσικῇ] B 1 p. 192b17 7 ὅτι τὰ in ras. C¹ 8 μὴ om. V 9 κίονα] κύνα C λέγεται V 11 τὸ δὲ παιδίον — θηλυκόν (12) om. V ἔστι inserui 12 μὴ in mrg. suppl. C¹ καὶ τὰ — καιρός (13) om. V 16 πρᾶξις (sine numero) C: om. V 18 ὁμοιοῖ Laur. 72,5: an ὁμοιοῦται? ᾗ] ἡ C: ὡς V 19 βασιλῆι Hom. (Γ 170): βασιλεῖ CV 20 τρέπει V 21 οὐκ ἔστ' Hom. (θ 358): οὐκ ἔστιν CV οὐδ' ἐπέοικε] οὐδὲ ἔοικε Hom. 22 φένεται V ᾗ φαμὲν C: ὡς τὸ V οὑτοσὶ] οὗτος C post εἶναι add. σημαίνει καὶ τὸ ἴσως καὶ τὸ φαίνεται, ὡς ὅταν θεασάμενός τι ἐκ διαστήματος εἴπω ὡς ἔοικε ὁ (τὸ C) προσιὼν ἄνθρωπός ἐστιν ἀντὶ τοῦ ἴσως ὁ προσιὼν ἄνθρωπός ἐστιν, τὸ δὲ ἐκ τοῦ σύνεγγυς καὶ γνωριζόμενον ἀντὶ τοῦ φαίνεται C 23 τὸ ἔοικε post δηλοῖ transp. V 24 δέ om. V 25 ὅτι om. V 28 τὸ] τὰ C

ὡς ὅταν φαμὲν | ὅτι 'ἄνθρωπος ὁ γεγραμμένος, ἁπλῶς δὲ ἄνθρωπος ὁ Σωκρά- 63v
της ὁ καὶ διαλεγόμενος', τοῦτ' ἔστιν οὗτός ἐστι κυρίως ἄνθρωπος. καθόλου
δέ, ὡς ὅταν φαμὲν ὅτι 'καὶ Σωκράτης ἄνθρωπος καὶ Ἀλκιβιάδης, ἁπλῶς
δὲ ἄνθρωπος ζῷον λογικὸν θνητόν' ἀντὶ τοῦ καθόλου. μοναχῶς δέ, ὡς
5 ὅταν λέγηται

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ

ἀντὶ τοῦ μοναχῶς. ἐνταῦθα οὖν τὸ ἁπλῶς μοναχῶς δηλοῖ, ὅτι οὐ μονοει-
δὴς ὁ τοῦ γένους λόγος, ἀλλ' ὁμώνυμον τὸ γένος καὶ πολλὰ σημαίνει, ὡς
ἤδη εἴρηται ἀνωτέρω.

10 p. 1,18 Γένος γὰρ λέγεται καὶ ἡ τινῶν ἐχόντων πως πρὸς ἕν τι
καὶ ἡ πρὸς ἀλλήλους ἄθροισις, καθ' ὃ σημαινόμενον τὸ Ἡρα-
κλειδῶν λέγεται γένος ἐκ τῆς ἀφ' ἑνὸς σχέσεως.

Ἐνταῦθα τὰς σχέσεις δηλοῖ τοῦ πρώτου σημαινομένου· τὸ γὰρ ἡ
τινῶν ἐχόντων πως πρὸς ἕν τι δηλοῖ τὴν τῶν πολλῶν πρὸς ἕνα σχέσιν,
15 τὸ δὲ καὶ ἡ πρὸς ἀλλήλους ἄθροισις δηλοῖ τὴν τῶν πολλῶν πρὸς
πολλούς, ἐπειδὴ οὐ πάντες οὗτοι ὁμοίως ἔχουσι πρὸς ἀλλήλους (οἱ μὲν γὰρ
ἀδελφοί, οἱ δὲ ἀνεψιοί, οἱ δὲ ἐπιγαμβρεύσαντες), | τὸ δὲ καθ' ὃ σημαινό- 64r
μενον τὸ Ἡρακλειδῶν λέγεται γένος δηλοῖ τὴν ἀφ' ἑνὸς πρὸς πολλοὺς
σχέσιν.

20 p. 1,22 Κατὰ ἀποτομὴν τῶν ἄλλων γενῶν.

Ἀποτομὰς καλεῖ τὰ ὀνόματα οἷον Ἡρακλειδῶν, Πελοπιδῶν, Αἰακι-
δῶν, ἐπειδὴ τὰ ὀνόματα ἀποτέμνουσι καὶ ἀποχωρίζουσι τὰ διάφορα πράγ-
ματα ἀπ' ἀλλήλων· τὸ γὰρ Ἡρακλειδῶν ὄνομα ἀποτέμνει ἀφ' ἑαυτοῦ καὶ
ἀποχωρίζει τοὺς Πελοπίδας καὶ Αἰακίδας καὶ Κεκροπίδας.

---

1 ὡς ὅταν] ἐὰν V ὅτι om. V ὁ γεγραμμένος, ἁπλῶς δὲ ἄνθρωπος om. V δὲ in ras. C σοκράτης C[1] 3 post φαμὲν dimid. versus eras. C καὶ ἀλκι-βιάδης post ἄνθρωπος (2) transp. C 4 ὡς om. C 5 λέγηται scripsi: λέγη CV 6 ἁπλοῦς ὁ μῦθος ....] Eurip. Phoen. 472 7 ἐνταῦθα — μοναχῶς om. C 9 εἴρ.] p. 51,11 10 γὰρ om. C 11. 15 ἡ (ante πρὸς ἀλλήλους) om. Porph. 11 ὃ] ὃς C 12 ἐκ — σχέσεως om. V 13 σημενομένου V 14 πρὸς ἕνα σχέσιν — πολλῶν (15) om. C 16 οὐ om. C 17 post ἐπιγαμβρεύσαντες ex p. 52,3 repet. οὓς ἀγχιστεῖς καλοῦσιν οἱ ποιηταί, tum add. ἀλλ' ἐπειδὴ σχέσεως ἐμνήσθημεν, εἴπωμεν ποσαχῶς ἡ σχέσις. καὶ λέγομεν ὅτι τετραχῶς· ἢ γὰρ κατὰ τέχνην ὡς ἡ τοῦ διδασκάλου πρὸς τὸν μαθητήν, ἢ κατὰ τύχην ὡς ἡ τοῦ δεσπότου πρὸς τὸν δοῦλον, ἢ κατὰ προαίρεσιν ὡς ἡ τοῦ φίλου πρὸς φίλον, ἢ κατὰ φύσιν ὡς ἡ τοῦ πατρὸς πρὸς υἱόν· ἡ οὖν τῶν εἰρημένων γενῶν σχέσις κατὰ φύσιν ἐστίν (quae ex Ammon. p. 50,11 huc irrepserunt), denique add. ἐνδέχεται ἑκάτερον αὐτῶν πατὴρ τὸν (sic) εἶναι κατὰ ἄλλο καὶ ἄλλο. τὸ μὲν γὰρ συνηθείᾳ, sed ἐνδέχεται—συνηθείᾳ (cf. p. 55, 4. 5) punctis circumscriptis del. C 17. 18 σημενομένον C 18 τὴν om. C 19 σχέσιν om. C 20 ἀποτ. τὴν ἀπὸ τῶν Porph. 24 καὶ Κεκροπίδας om. V

p. 2,5 Καὶ ἔοικε πρόχειρον.

Πρὶν εἰπεῖν τὸ τρίτον σημαινόμενον τοῦ γένους συγκρίνει τὰ δύο πρῶτα καὶ ἕκαστον αὐτῶν πρῶτον λέγει. καὶ πῶς πρῶτον δευτέρου μὴ ὄντος λέγει; καὶ λέγομεν ὅτι ἐνδέχεται ἑκάτερον αὐτῶν πρῶτον εἶναι κατὰ ἄλλο καὶ 5 ἄλλο· τὸ μὲν γὰρ τῇ συνηθείᾳ πρῶτον τὸ πλῆθος τῶν ἀνθρώπων· ἀκούσαντες γὰρ γένους εἰς ἔννοιαν πολλῶν ἀνθρώπων ἐρχόμεθα, διὸ καὶ πρόχειρον αὐτὸ εἶπεν, οὐχ ἁπλῶς πρῶτον· πρῶτον γάρ ἐστι τὸ τῇ φύσει πρῶτον, τοῦτ᾽ ἔστιν ἡ ἑκάστου τῆς γενέσεως ἀρχή, ὅ τε πατὴρ καὶ ἡ πατρίς· πρῶτον γὰρ γίνεται εἷς ἐξ ἑνός, καὶ εἶθ᾽ οὕτως πολλοὶ ἐξ ἑνός. 10 καὶ θαυμαστὸν ὅτι τὰ τῇ φύσει πρῶτα δεύτερα ἡμῖν φαίνεται καὶ τὰ δεύτερα τῇ φύσει πρῶτα ἡμῖν φαίνεται, οἷον ὁ Σωκράτης ἡμῖν πρῶτός ἐστι, τῇ δὲ φύσει δεύτερος· σκοπὸν γὰρ ἔχει ἡ φύσις οὐ Σωκράτην ποιῆσαι ἀλλ᾽ ἁπλῶς ἄνθρωπον, οὗτος δὲ ἔκ τινος περιστάσεως γενόμενος φαλακρὸς ἢ προγάστωρ γέγονε Σωκράτης· ὁ δὲ καθόλου ἄνθρωπος ἔμπαλιν τῇ 15 φύσει πρῶτος ὢν ἡμῖν δεύτερός ἐστι. καὶ οὐ μόνον ἡμεῖς ἀντιπεπόνθαμεν τῇ φύσει, ἀλλὰ καὶ ἡ θεωρία τῇ πράξει· | τὸ γὰρ τέλος τῆς θεωρίας ἀρχὴ 64ᵛ τῆς πράξεως γίνεται· οἷον βουλόμεθα σῶσαι τὸ ζῷον ἀπὸ θάλπους καὶ κρύους καὶ ὄμβρου καὶ ἀνέμων, οὐκοῦν δεῖ ποιῆσαι αὐτῷ ὀροφήν· ἀλλ᾽ ἐπειδὴ αὕτη μένειν χωρὶς τοίχων οὐ δύναται, δεῖ ἀναστῆσαι τοίχους τοὺς 20 συνέχοντας· ἐπεὶ δὲ οὗτοι στῆναι οὐ δύνανται μὴ θεμελίων καταβληθέντων, δεῖ καὶ θεμελίους καταβαλέσθαι, καὶ ἐπειδὴ οὗτοι γενέσθαι οὐ δύνανται μὴ ὀρυσσομένης τῆς γῆς, δεῖ ὀρύξαι τὴν γῆν· καὶ λήγει μὲν ἡ θεωρία εἰς τοῦτο, ἄρχεται δὲ ἡ πρᾶξις ἀπὸ τῆς ὀρύξεως τῆς γῆς.

p. 2,10 Ἄλλως δὲ πάλιν γένος λέγεται, ᾧ ὑποτάσσεται τὸ εἶδος,
25 καθ᾽ ὁμοιότητα ἴσως τούτων εἰρημένον.

Τὸ τρίτον σημαινόμενον τοῦ γένους, περὶ οὗ παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, καθ᾽ ὁμοιότητα ἴσως τῶν πρώτων γενῶν εἴρηται· ὥσπερ γὰρ τὸ πρῶτον γένος πολλῶν περιεκτικόν ἐστιν, οὕτως καὶ τὸ εἰς εἴδη διαιρούμενον πολλῶν ἐστι περιεκτικόν, καὶ ὥσπερ τὸ δεύτερον γένος, τοῦτ᾽ ἔστιν 30 ἡ ἑκάστου τῆς γενέσεως ἀρχή, ὁ πατὴρ καὶ ἡ πατρίς, ὅλα ἑαυτὰ παρέσχον

---

1 καὶ] τοῦτο δὲ Porph. 2 τὰ δύο τὰ πρῶτα C 3 καὶ πῶς — λέγει om. C 4 ἑκάτερον] ἕκαστον V αὐτῶν om. V 5 γὰρ om. C 6 γένος V ἔνοιαν C ἐρχομένων C[1] (corr. m.[2]) 7 πρῶτον (alt.) om. C 8 pr. ἡ om. C γενήσεως C 9 καὶ εἶθ᾽ οὕτως πολλοὶ ἐξ ἑνός Laur. 72,5: om. CV 10 δεύτερα (prius) om. C[1] 10. 11 καὶ τὰ δεύτερα τῇ φύσει πρῶτα ἡμῖν φαίνεται om. C 11 ὁ om. C 14 ὁ δὲ] οὐδὲ V 16 τὸ γὰρ τέλος . . .] cf. Aristot. Eth. Eud. B 11 p. 1227ᵇ32 18 ὄμβρων V 19 αὐτὴ C 20 ἐπεὶ] ἐπειδεὶ (corr. ἡ) V οὐ δυν. στῆναι colloc. V 21 καταβλέσθαι V 22 ὀρυσομένης C εἰς] πρὸς V 23 ἄρξεται V 24 τε δὲ C λέγεται γένος πάλιν colloc. V 25. 27 ὁμοιώτητα C 25 εἰρημένων CV 27 πρώτων] ἄλλων V 30 γενήσεως CV ἑαυτῶν C[2] παρέχων V

τοῖς ἐξ αὐτῶν (οὐδὲ γάρ ἐστι μᾶλλον τοῦδε πατὴρ ἢ πατρὶς καὶ ἧττον τοῦδε), οὕτως καὶ τοῦτο τὸ γένος ὅλον ἑαυτὸ ἑκάστῳ τῷ εἴδει παρέσχεν· οὐδὲ γάρ ἐστι μᾶλλον ζῷον καὶ ἧττον ζῷον.

⟨Πρᾶξις κʹ⟩.

5 p. 2,15 Ὃ καὶ ὑπογράφοντες ἀποδεδώκασι.

Ἀπαριθμησάμενος τὰ σημαινόμενα τοῦ γένους ὁ Πορφύριος, ὅτι τρία, καὶ διορίσας περὶ ποίου ὁ λόγος, βούλεται τοῦτο ὑπογραφῆς ἢ ὁρισμοῦ ἀξιῶσαι. | καὶ ἔδει μὲν αὐτὸν μέλλοντα τῶν περὶ τοιούτου γένους ἀπάρ- 65r χεσθαι λόγων ἀπὸ τοῦ εἰ ἔστιν ἄρξασθαι, ἀλλ' ἐπειδὴ τοῦτο ἔφθη 10 παραιτησάμενος, ἡνίκα ἔλεγεν 'τῶν μὲν βαθυτέρων ἀπέχομαι ζητημάτων καὶ εἴτε ὑφέστηκεν εἴτε μή', ἐπὶ τὸ τί ἐστιν ἔρχεται. τὸ δὲ τί ἐστιν τοῦ ὁρισμοῦ πρόσρημα ἢ ὑπογραφῆς. διαφέρει δὲ ταῦτα ἀλλήλων, ὅτι ὁ μὲν ὁρισμὸς ἐκ τῶν κατ' οὐσίαν λαμβάνεται, ἡ δὲ ὑπογραφὴ ἐκ τῶν κατὰ συμβεβηκός. χείρων δὲ ἡ ὑπογραφὴ τοῦ ὁρισμοῦ, ὅθεν καὶ ὑπογραφὴ λέγεται 15 ὡς ὑπὸ τὴν γραφὴν τελοῦσα, τοῦ ὁρισμοῦ τῇ τελείᾳ μορφῇ τῆς γραφῆς ἀναλογοῦντος τῇ ἐν χρώμασι τῆς δὲ ὑπογραφῆς τῇ σκιαγραφίᾳ καὶ λευκογραφίᾳ. ἐνταῦθα οὖν τὸ τί ἐστιν ἐπὶ τῆς ὑπογραφῆς κεῖται· ὑπογράφει γὰρ τὸ γένος, οὐχ ὁρίζεται. καὶ εἰκότως, ἐπειδὴ οἱ ὁρισμοὶ ἐκ γένους καὶ διαφορῶν λαμβάνονται, τοῦ δὲ γένους οὐκ ἔστιν ὑπεραναβεβηκὸς γένος. 20 διὰ τοῦτο οὐχ ὁρίζεται αὐτό, ἀλλ' ὑπογράφει. ἀλλ' ὅσον ἐπὶ τοῦτο ἔδει τὸ εἶδος ὁρίσασθαι (τοῦ γὰρ εἴδους ἔστι γένος), διὸ ῥητέον ἄλλην αἰτίαν, δι' ἣν οὐδεμίαν τῶν πέντε φωνῶν ὁρίζεται. δεῖ εἰδέναι ὅτι αἱ πέντε φωναὶ ὁμώνυμοί εἰσιν ὡς διὰ πάσης χωροῦσαι κατηγορίας, τῶν δὲ ὁμωνύμων οὐκ ἔστιν ὁρισμός, εἴ γε οἱ ὁρισμοὶ κοινωνίαν πραγμάτων ζητοῦσιν, οὐχὶ ὀνομά- 25 των (ὧν γὰρ οἱ ὅροι οἱ αὐτοί, τούτων καὶ τὰ πράγματα ταὐτά), τὰ δὲ ὁμώνυμα τοὐναντίον κοινωνίαν ὀνομάτων, οὐχὶ πραγμάτων. διὸ εὐλόγως ὑπογράφει τὸ γένος καὶ οὐχ ὁρίζεται. δεῖ εἰδέναι ὅτι ἕκαστον ὄν, καθὸ μὲν λέγεται ἕν, | δηλοῦται δι' ὀνόματος, καθὸ δὲ ἐκ πλειόνων σύγκειται, 65v ταῦτα τὰ πλείονα ἢ οὐσιώδη ἐστὶν ἢ ἐπεισοδιώδη, καὶ εἰ μὲν οὐσιώδη, 30 ποιεῖ τὸν ὁρισμόν, εἰ δὲ ἐπεισοδιώδη, ποιεῖ τὴν ὑπογραφήν. ἀποροῦσι δέ

---

1 τοῦδε] τοῦ C 2 ἑαυτὸ scripsi: ἑαυτοῦ CV τῷ om. C 4 πρᾶξις κʹ addidi 6 ὅτι τρία fort. eicias 7 ὁ λόγος om. V τούτων V 8 τῶν ex τὸν corr. C: om. V 8. 9 ὑπάρχεσθαι (sic) V 9 ἄρξεσθαι V τοῦτο τοῦτο ἔφθη ἔφθη V 11 τοῦ om. V 12 διαφέρουσι V δὲ ex μὲν corr. V 14 χείρων] Marc. 201: χείρω CV 16 alt. τῇ] τῆς C σκιογραφία C 16. 17 καὶ λευκογραφία V Marc. 201: καὶ σκιογραφία (sed del.) C 17 ἐπὶ om. V τῆς supra scr. V ὑπογράφει] ὑπογράφη C 18 οὐ χωρίζεται (ω ex ο corr.) V 19 post γένους add. γένος C 20 διὰ] δὲ C οὐ χωρίζεται C ὑπογράφη C τούτῳ (alt. l.) C 21 τὸ] γὰρ V 23 εἰσιν om. C 24 οἱ om. V οὐκ V 25 ὧν γὰρ — ταὐτά om. V (cf. Amm. p. 56,5) alt. τὰ] τὸ V 27 δεῖ εἰδέναι — ὑπογραφήν (30) eicias, nisi malis post συμβεβηκός (v. 14) transponere 29 τὰ om. C εἰσὶν C (cf. v. 30) 29. 30 ἐπισοδιώδη C: ἐπουσιώδη V 30 τὸν om. C

τινες ὅτι οἱ ὁρισμοὶ ἐκ γένους καὶ συστατικῶν διαφορῶν συνίστανται, καὶ τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται ἡ δὲ διαφορὰ ἐν τῷ ποιόν τί ἐστι, καὶ τὸ μὲν γένος ἓν ἐν τοῖς ὁρισμοῖς, πολλαὶ δὲ αἱ διαφοραί· τί δήποτε; μὴ καὶ οἱ ὁρισμοὶ ἐν τῷ ποιόν τί ἐστι κατηγοροῦνται ἀκολουθοῦντες
5 οὐ τῷ γένει τῷ ἑνὶ ἀλλὰ ταῖς διαφοραῖς ταῖς πολλαῖς ταῖς καὶ τὸ κῦρος ἐν αὐταῖς ἐπεχούσαις, αἵτινες καὶ εἰδοποιοῦσι τὸν ὁρισμὸν τοῦ γένους ὕλῃ ἐοικότος ἀμόρφῳ; καὶ λέγομεν πρὸς τοῦτο ὅτι οὐκ ἔμειναν αἱ διαφοραὶ ἐν τοῖς ὁρισμοῖς διαφοραί, ἀλλ' ὡς συλληφθεῖσαι τῷ γένει εἴδη ἐγένοντο, ζῷον λογικόν, ζῷον θνητόν, ζῷον νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἅπερ ἐστὶν εἴδη,
10 ὡς μαθησόμεθα· τὸ δὲ εἶδος ἐν τῷ τί ἐστι κατηγορεῖται, διὸ καὶ οἱ ὁρισμοὶ ἐν τῷ τί ἐστι κατηγοροῦνται.

Ἐφ' οἷς ὑπογράφει τὸ γένος οὕτως· γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατ|ηγορούμενον, 66r οἷον τὸ ζῷον· τοῦτο γὰρ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατη-
15 γορεῖται, οἷον ἵππου καὶ ἀνθρώπου, οἳ τῷ εἴδει διαφέρουσιν. ἀλλ' ἐπειδὴ ὃ πῦρ ἐν χρυσῷ, τοῦτο ὁρισμὸς ἐν ὁριστῷ καὶ ὑπογραφὴ ἐν ὑπογραφομένῳ· τὸ γὰρ πῦρ ἀποχωρίζει τὸν χρυσὸν ἀπὸ πάντων τῶν ἀλλοτρίων, καὶ πρῶτον μὲν τῶν ἀλλοτριωτάτων οἷον ῥύπου καὶ μολύβδου, εἶτα ἀπὸ τοῦ σύνεγγυς οἷον χαλκοῦ (συγγενὴς γὰρ ὁ χαλκὸς τῷ χρυσῷ διὰ τὸ ὁμόχροον)· οὕτως
20 καὶ ὁ ὁρισμὸς ἀποχωρίζει τὸ ὁριστὸν ἀπὸ τῶν λοιπῶν· ἐὰν γὰρ εἴπω ζῷον, ἐχώρισα τῶν ἀψύχων, εἰ δὲ λογικόν, ἐχώρισα τῶν ἀλόγων, εἰ δὲ θνητόν, ἐχώρισα τῶν ἀθανάτων λογικῶν. ὁμοίως καὶ ἡ ὑπογραφή· ἐὰν γὰρ εἴπω ὅτι Σωκράτης Ἀθηναῖος, ἐχώρισα τῶν ξένων, υἱὸς Σωφρονίσκου, ἐχώρισα τῶν πολιτῶν, φιλόσοφος, ἐχώρισα τῶν ἀδελφῶν· φέρε οὖν καὶ τὴν παροῦσαν
25 ὑπογραφὴν τοῦ γένους δείξωμεν τὰ πυρὸς καὶ ὁρισμοῦ ποιήσασαν· ἑπτὰ γὰρ οὐσῶν τῶν φωνῶν, οὔτι λέγω φιλοσόφων μόνον ἀλλὰ καὶ ἀφιλοσόφων, τοῦτ' ἔστι μερικῶν ⟨καὶ⟩ ἀσήμων, καὶ τῶν παρὰ φιλοσόφοις πέντε, ἡ παροῦσα ὑπογραφὴ τῶν ἓξ ἐχώρισεν τὸ γένος· διὰ μὲν γὰρ τοῦ εἰπεῖν κατὰ πλειόνων ἐχώρισε τῶν καθ' ἑνὸς μόνου κατηγορουμένων, τοῦτ' ἔστι
30 μερικῶν, διὰ δὲ τοῦ εἰπεῖν διαφερόντων τῷ εἴδει ἐχώρισεν αὐτὸ ἀπὸ τοῦ ἰδίου καὶ εἴδους (ταῦτα γὰρ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ κατηγοροῦνται), διὰ δὲ τοῦ εἰπεῖν ἐν τῷ τί ἐστιν ἐχώρισεν | αὐτὸ διαφορᾶς 66v καὶ συμβεβηκότος (ταῦτα γὰρ ἐν τῷ ποιόν τι κατηγοροῦνται· ἐρωτηθέντες

---

2 γένος om. V ὁποῖον V 3 ἓν μὲν τὸ γένος colloc. V δὲ πολλαὶ colloc. C
4 post ὁρισμοὶ ex Ammonio (p. 56,7) add. ἐνδέχεται γὰρ καὶ τοῖς κατ' οὐσίαν διαφέρουσι τὰ αὐτὰ συμβεβηκότα ὑπάρχειν, ὥσπερ οὖν κἀνταῦθα πολλοῖς οὖσι καὶ διαφέρουσι κατ' οὐσίαν τοῖς γενέσι μία καὶ ἡ αὐτὴ σχέσις αὐτῇ (l. αὐτοῖς) συμβέβηκεν πρὸς τὰ ὑποβεβλημένα αὐτοῖς εἴδη· πᾶν γὰρ γένος τῶν οἰκείων εἰδῶν ἐστι περιεκτικόν C ὁποῖον V 5 οὐ τῷ] αὐτῷ C
6 εἰδοποιοῦσι] ὁδοποιοῦσι V ὕλῃ] εἴδει V 7 ἀμόρφου V πρὸς τοῦτο] πρότερον V οὐκ om. V 12 ὑπογράφη C 13 εἴδη C 16 ὃ] τὸ C
18 ἀλλοτριοτάτων C μολίβδου V 19 συγγενεῖς C ὁμόχρουν C
23 ὅτι om. V ξέων V σοφρονίσκου C[1] 25 δείξομεν C ποιήσας V
26 οὔτι] οὐ V μόνον — ἀφιλοσόφων om. C 27 καὶ inserui 30 ἐχώρησεν C
31 τοῦ om. C ἀριθμῷ] ὁρισμῷ in marg. add. V 32. 33 διὰ — κατηγοροῦνται om. V

γὰρ τί ἐστιν ἄνθρωπος, ζῷον ἀποκρινόμεθα, ἐρωτηθέντες δὲ ποῖόν τί ἐστιν ἄνθρωπος, λογικόν, καὶ ποῖόν τί ἐστι κόραξ, μέλαν ἀποκρινόμεθα)· διὰ δὲ τοῦ εἰπεῖν κατηγορούμενον ἐχώρισε τῶν ἀσήμων· αἱ γὰρ ἄσημοι ὕπαρξιν μὴ δηλοῦσαι ὅλως οὐδὲ κατηγοροῦνται.

5 Ἀποροῦσι δέ τινες ὅτι 'πόθεν λέγομεν τὸν ἀποδοθέντα τοῦ γένους λόγον, τὸν λέγοντα γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, ὑπογραφὴν εἶναι καὶ οὐχὶ ὅρον;' λεκτέον οὖν τούτου αἰτίας τρεῖς· πρώτην μὲν ὅτι ἐκ τοῦ εἰπεῖν πλειόνων δῆλόν ἐστιν ὅτι ὑπογραφή ἐστι καὶ ἐκ τῶν κατὰ συμβεβηκὸς 10 ἐνυπαρχόντων τῷ ὑποκειμένῳ τὸν λόγον ἐποιήσατο· οὐδὲ γὰρ τῷ ζῴῳ οὐσιωδῶς ὑπάρχει τὸ κατὰ πλειόνων κατηγορεῖσθαι· ἐνεδέχετο γὰρ αὐτὸ ὑφεστάναι ὡς εἰ καὶ μὴ πλειόνων κατηγορεῖτο τοσοῦτον, ὅτι ἐν τῷ οἰκείῳ ὁρισμῷ τὸ ζῷον οὐκ ἔχει τὸ κατὰ πλειόνων κατηγορεῖσθαι· ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική. τὸ οὖν κατὰ πλειόνων κατηγορεῖσθαι ἐπισυμβέ-15 βηκεν αὐτῷ καὶ οὐκ ἔστιν αὐτῷ οὐσιῶδες. εἰ οὖν οἱ ὁρισμοὶ ἐκ τῶν οὐσιωδῶς ἐνυπαρχόντων λαμβάνονται, αἱ δὲ ὑπογραφαὶ ἐκ τῶν ἐπεισοδιωδῶν, οὐκ ἔστι δὲ τὸ γένος οὐσιῶδες τῷ ζῴῳ, ἀλλ' ἐπισυμβέβηκεν αὐτῷ | καὶ 67r ἐπεισοδιῶδες αὐτῷ ἐστι, καλῶς φαμεν ὅτι ὑπογραφή ἐστιν ὁ ἀποδοθεὶς λόγος, οἷα μὴ ἐκ τῶν οὐσιωδῶν λαμβανόμενος, καὶ οὐχ ὁρισμός. αὕτη 20 πρώτη αἰτία. δευτέρα δὲ ὅτι ὁ ἀποδοθεὶς λόγος ὑπογραφὴ καὶ οὐχ ὁρισμός ἐστι· οὐδέποτε γὰρ ἐν ἀποδόσει ὁρισμοῦ κέχρηται τῇ ὑπαλλήλῳ ἤτοι διαλλήλῳ δείξει· εἰ οὖν κέχρηται ἐνταῦθα τῇ διαλλήλῳ δείξει, ὡς μικρὸν ὕστερον μαθησόμεθα, φάσκων ἐν μὲν τῷ λόγῳ τοῦ γένους 'γένος ἐστὶ τὸ διαιρούμενον εἰς εἴδη' ἐν δὲ τῷ λόγῳ τοῦ εἴδους 'εἶδός ἐστι τὸ ὑποκεί-25 μενον τῷ γένει', αὕτη δὲ διάλληλός ἐστι δεῖξις, οὐ δύναται ὁ ἀποδοθεὶς λόγος εἶναι ὁρισμός· οὐδὲ γάρ, ὡς εἴρηται, ἐν ὁρισμῷ εἰώθασιν οἱ φιλόσοφοι τῇ διαλλήλῳ δείξει κεχρῆσθαι. λείπεται οὖν τὸν ἀποδοθέντα τοῦ γένους λόγον ὑπογραφὴν εἶναι. τρίτη πάλιν ἐστὶν ἀπόδειξις αὕτη· αἱ ὑπογραφαὶ ἀεὶ ἐκ τῶν κάτω λαμβάνονται, οἱ δὲ ὁρισμοὶ ἐκ τῶν ἄνω· ὁριζόμενοι μὲν 30 γὰρ τὸν ἄνθρωπόν φαμεν 'ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν' ἀπὸ τῶν ἄνω κειμένων ἀρξάμενοι, λέγω δὴ τοῦ ζῴου, ὑπογραφόμενοι δὲ ἐκ τῶν κάτω· οὕτως καὶ αὐτὸ τὸ γένος ὑπογράφομεν καί φαμεν τὸ κατὰ πλειόνων ἐκ τῶν κάτω λαβόντες τὴν ὑπογραφήν· τὰ γὰρ πλείονα κάτω

---

1 ἐρωτιθέντες C δὲ om. V alt. ἐστι om. V 2 post λογικὸν add. ἀποκρινόμεθα V τι om. V δὲ om. C 4 μὴ om. C 7 οὐχ V 8 ὅτι om. V 9 δηλοῦν V συμβεβηκότος V 11 ἐνυπάρχει V κατηγορεῖσθαι — πλειόνων (12) om. V 12 τοσούτων V; τοσ. post ὡς ponas εἰκοίῳ V 15 αὐτοῦ (alt. l.) V εἰ] οἱ C 16 λαμβάνονται om. V ἐπεισ.] ἐπουσιωδῶν V: scribas ἐπεισοδιωδῶς 18 ἐπουσιῶδες V 19 οὐσιουσιωδῶν (sic) C 20 δὲ om. V ante ὑπογραφὴ add. καὶ V 21 ἐστι post ὑπογραφὴ transp. V κέγρηται (sic) V: χρῆται C (cf. v. 22. 27 p. 59,18) ὑπαλλήλῳ ἤτοι eicias ἀπαλλήλῳ V ἤτοι] ἢ τῇ V 22 χρῆται C 26 εἰόθασιν C 27 χρῆσθαι V 28 τρίτη πάλιν ἐστὶν ἀπόδειξις αὕτη] τρίτην πάλιν ἀπόδοσιν εἰπεῖν, ἔστιν αὕτη V 29 ἀεὶ om. V μὲν om. V 30 θνητὸν om. V 32 ὑπογράφομεν om. V alt. τὸ] τῶ V

εἰσί. ζητοῦσιν οὖν τινες ὅτι 'ἐὰν εὑρεθῇ ἐν τῷ ὁρισμῷ μία φωνὴ ἐπεισοδιώδης, πᾶσαι δὲ αἱ λοιπαὶ οὐσιώδεις ὦσι, τί δέον καλεῖν τοῦτον τὸν λόγον, ὁρισμὸν | ἢ ὑπογραφήν; ὁρισμὸν μὲν γὰρ οὐ δυνατόν, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ 67v τῶν οὐσιωδῶν φωνῶν θέλει συνίστασθαι, ἀλλ' οὐδὲ ὑπογραφήν, ἐπειδὴ ἡ 5 ὑπογραφὴ οὐδεμίαν φωνὴν οὐσιώδη βούλεται ἔχειν'. πρὸς ὅ φαμεν ὅτι ἀνάγκη πᾶσα ὑπογραφὴν καλέσαι τοῦτον· ὥσπερ γὰρ ἐπὶ τῆς λύρας ὑγιῶς μὲν διακειμένων τῶν χορδῶν πασῶν ἁρμονία τις καὶ ῥυθμός ἐστι, μιᾶς δὲ δὲ ῥηγνυμένης καὶ οὐ πασῶν εὐθὺς ἀναρμοστία γίνεται, οὕτως καὶ ἐν τῷ ἀποδοθέντι λόγῳ ἐπειδὴ μὴ πᾶσαι αἱ φωναὶ οὐσιώδεις εἰσὶν ἀλλ' εὑρέθη 10 μία ἐπεισοδιώδης, ἔστιν εἰπεῖν ὅτι ἡ ἁρμονία τοῦ ὁρισμοῦ ἐλύθη καὶ τὴν ἀναρμοστίαν τῆς ὑπογραφῆς ἐδέξατο.

p. 2,15 Ὃ καὶ ὑπογράφοντες ἀποδεδώκασι.

Καλῶς εἶπεν ἀποδεδώκασι· τῶν γὰρ πρὸ αὐτοῦ ἐστιν αὕτη ἡ ὑπο- 15 γραφή· ἰστέον γὰρ ὅτι ἡ παροῦσα πραγματεία συναγωγή ἐστι τῶν ἐν τῇ Τοπικῇ πραγματείᾳ σποράδην εἰρημένων τῷ Ἀριστοτέλει.

p. 2,18 Οἷον Σωκράτης καὶ τὸ οὗτος καὶ τὸ τοῦτο.

Ἵνα μὴ τοῖς κατὰ μέρος ἐνδιατρίβων μηκύνῃ τὸν λόγον, κέχρηται δεικτικαῖς ἀντωνυμίαις· τὸ γὰρ τοῖς κατὰ μέρος πᾶσιν ἐπεξιέναι ἀφι- 20 λόσοφον.

p. 2,19 Καὶ τὰ συμβεβηκότα κοινῶς ἀλλὰ μὴ ἰδίως.

Καλῶς εἶπεν κοινῶς ἀλλὰ μὴ ἰδίως τινὶ τὸ συμβεβηκὸς κατὰ πλειόνων | κατηγορεῖσθαι· μόνον γὰρ τὸ συμβεβηκὸς δύναται καθόλου εἶναι 68r καὶ μερικόν, καθόλου μὲν ὡς τὸ λευκὸν κατὰ πλειόνων φερόμενον, μερικὸν 25 δὲ ὡς ἡ οὐλὴ τοῦ Ὀδυσσέως, ἀφ' ἧς ἐπέγνω αὐτὸν ἡ Εὐρύκλεια.

p. 2,21 Συμβεβηκὸς δὲ οἷον τὸ λευκόν, τὸ μέλαν, τὸ καθέζεσθαι.

Διὰ τί ἐπὶ μόνου τοῦ συμβεβηκότος καὶ ὀνόμασι καὶ ῥήμασιν ἐχρή-

---

1. 2 ἐπουσιώδης V 2 οὐσιώδης C ὦσι scripsi: εἰσὶ CV καλλεῖν C 5 βούλεται ante φωνὴν transp. V 6 ὑγιὸς C[1] 8 οὐ om. V εὐθὺς] αὐτῆς V ἀναρμοσία V 10 ἐπουσιώδης V εἰπῶν (sic) V ἐλύθη] ἔλθη V 16 ἀριστοτέλει] σωκράτει V 17 ὁ σωκρ. C 21 συμβηκότα C 22 καλῶς — ἰδίως in mrg. suppl. C[1] 22. 23 κατηγορεῖσθαι κατὰ πλειόνων colloc. V 23 post πλειόνων add. φερομένον (punctis circumscr. del.) C (cf. v. 24) δύναται] κατὰ πλειόνων V 26 οἷον post μέλαν transp. C

σατο εἰς παράδειγμα, ἐπὶ δὲ τῶν ἄλλων μόνοις ὀνόμασιν ἐχρήσατο; καὶ λέγομεν ὅτι εὐλόγως· τὰ γὰρ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ καὶ τὰ ἴδια ἀεὶ ὡσαύτως ἔχουσι μὴ μεταβάλλοντα τὰ δὲ συμβεβηκότα μεταβάλλουσί ποτε. εἰκότως οὖν ἐπὶ μὲν τῶν ἄλλων τὸ ὄνομα ἔλαβεν εἰς παράδειγμα 5 ὡς ἐν ταῖς κλίσεσι κατὰ χρόνον μὴ μεταβάλλον, ἐπὶ δὲ τοῦ συμβεβηκότος ἐχρήσατο καὶ τῷ ῥήματι ὡς μεταβάλλοντι κατὰ χρόνον· ἁρμόδιον ἄρα ἦν τὸ μεταβάλλον κατὰ χρόνον τῷ μεταβάλλοντι κατὰ φύσιν εἰς τὸ ἐναντίον.

p. 2,28 Οἳ διαφέρουσι καὶ τῷ εἴδει ἀλλήλων ἀλλ' οὐχί.

Καλῶς εἶπε τῷ ἀριθμῷ μόνον· τὰ γὰρ τῷ εἴδει διαφέροντα καὶ 10 τῷ ἀριθμῷ πάντως διαφέρουσιν, τὰ δὲ τῷ ἀριθμῷ διαφέροντα οὐ πάντως τῷ εἴδει διαφέρουσιν.

p. 3,18 Ἃ οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται.

Ἡ μὲν διαφορὰ ἐν τῷ ποιόν τί ἐστι κατηγορεῖται μόνον, τὸ δὲ συμβεβηκὸς ἢ ἐν τῷ ποιόν τί ἐστιν ἢ ἐν τῷ πῶς ἔχον κατηγορεῖται. καὶ 15 εὐλόγως, ὅτι ἡ μὲν διαφορὰ ἡ κυρίως οὐδέποτε μεταβάλλει ἢ χωρίζεται, τὸ δὲ συμβεβηκὸς διττόν, ἢ χωριστὸν ἢ ἀχώριστον, καὶ τῷ μὲν ἀχωρίστῳ οἰκεῖον τὸ ἐν τῷ ποιόν τί ἐστι κατηγορηθῆναι, τῷ δὲ χωριστῷ οἰκεῖον | τὸ ἐν τῷ πῶς ἔχον κατηγορεῖσθαι· οἷον πῶς ἔχει Σωκράτης; ὑγιαίνει ἢ 68v νοσεῖ, ἅ ἐστι χωριστὰ συμβεβηκότα.

20 ⟨Πρᾶξις κα'⟩.

Περὶ εἴδους.

p. 3,21 Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθὸ εἴρηται.

Οὔπω πέπαυται ὁ περὶ τοῦ γένους λόγος· ἐκκρεμὴς γάρ ἐστι καὶ 25 κατὰ γνῶσιν καὶ καθ' ὕπαρξιν, ἀναμένων τὸ εἶδος, καὶ ἵνα γνωσθῇ καὶ ἵνα ὑποστῇ. καὶ μὴ λεγέτωσαν οἱ ἐξηγηταὶ διὰ τί προέταξε τὸ εἶδος τῆς διαφορᾶς· οὐδὲν γὰρ ἕτερον ζητοῦσιν ἢ διὰ τί προέταξε τὸ γένος τῆς διαφορᾶς. τὸ δὲ ζητεῖν τοῦτο εὔηθες· τὸ γὰρ γένος ἐν ἑαυτῷ ἔχει τὸ εἶδος. καὶ πῶς, φασίν, ἀνωτέρω τὴν διαφορὰν προέταξε; καὶ λέγομεν ὅτι ὅπου ψιλῆς

1 εἰς om. V (cf. v. 4) δὲ om. V χρησάμενος V 3 μεταβάλουσι (alt. l.) C 5 κλήσεσι C μεταβάλον C[1] 6 τῷ] τὸ CV 7 τῷ μεταβ.] τὸ μεταβάλλειν V 8 οἳ] ἢ V 10 post pr. ἀριθμῷ add. διαφέροντα V 12 κατηγορεῖται om. Porph. 13 διαφορὰ] ἀναφορὰ V ὁποῖον V 14 πῶς ἔχον] ποῖον τί ἐστι V 15 ἀλόγως V 17 ἐν τῷ om. V 18 post Σωκράτης III litt. erasae C 19 ἃ om. V 20 πρᾶξις κα' addidi 22 μὲν om. V 24 Οὔπω — αἴσθησιν (64,29) om. V 26 λεγέτοσαν C[1] 29 φασίν scripsi: φησίν C ἀνωτέρω] Porph. p. 1,4

ἀπαριθμήσεως ἤγουν προόδου καιρὸς ἦν, τῆς γινομένης ἀπὸ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα, προέταξε τὴν διαφορὰν τοῦ εἴδους ὡς καθολικωτέραν μερικωτέρου (καθολικωτέρα γὰρ ἡ διαφορὰ τοῦ εἴδους, εἴπερ τὸ λογικὸν οὐ μόνῳ ἀνθρώπῳ ἀλλὰ καὶ ἀγγέλῳ ὑπάρχει, τὸ δὲ εἶδος μερικώτερον,
5 εἴπερ ἄνθρωπος εἶδος ὢν μερικώτερος τῆς τοῦ θνητοῦ διαφορᾶς), ὅπου δὲ ὑποστάσεως καὶ ὑπογραφῆς καιρὸς ἦν, προέταξε τὸ εἶδος· τὸ γὰρ γένος χωρὶς τοῦ εἴδους οὔτε ὑφίσταται οὔτε γινώσκεται, ἐπειδὴ πρός τι ταῦτα, τὰ δὲ πρός τι χωρὶς ἀλλήλων οὔτε ἔστιν οὔτε γινώσκεται.

Ἀλλ' ὥσπερ τὸ γένος ὁμώνυμον, οὕτως καὶ τὸ εἶδος ὁμώνυμον· φέρε
10 οὖν κἀνταῦθα τῷ αὐτῷ κανόνι χρησώμεθα καὶ πρότερον διαστείλωμεν τὴν ὁμωνυμίαν καὶ οὕτως τὸ ἀφορισθὲν ὑπογραφῆς ἀξιώσωμεν. δύο τοίνυν σημαίνει τὸ εἶδος· λέγεται γὰρ εἶδος καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθό φαμεν τὸ

πρῶτον μὲν εἶδος | ἄξιον τυραννίδος· 69r

15 οὐκ ἂν γὰρ τὸ εὐειδὲς καὶ δυσειδὲς μορφῆς διάφορον ἐδήλου, εἰ μὴ τὸ εἶδος μορφὴν ἐδήλου. λέγεται δὲ εἶδος καὶ τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος, περὶ οὗ διαλέγονται οἱ φιλόσοφοι· ὥσπερ γὰρ οὐ περὶ παντὸς γένους διελέγοντο ἀλλὰ περὶ τοῦ εἰς εἴδη διαιρουμένου, οὕτως οὐδὲ περὶ παντὸς εἴδους διαλέγονται ἀλλὰ περὶ τοῦ ἀναγομένου ὑπὸ τὸ γένος. ἀλλ' οὐ μέχρι τού-
20 των τὰ σημαινόμενα τοῦ εἴδους, ὦ Πορφύριε· ποῦ γὰρ τὸ παρὰ Ἀριστοτέλει ἐν τῇ Φυσικῇ ἔνυλον εἶδος, οὗ ἀποπεράτωσις ἡ μορφή; καὶ λέγομεν ὅτι τοῦτο παρῆκεν, ἐπεὶ μὴ φυσιολογῆσαι καιρός. τοῦ δὲ νῦν προκειμένου εἴδους λέγει ὑπογραφὰς τρεῖς· πρώτην μέν, ὅτι εἶδός ἐστι τὸ ἀναγόμενον ὑπὸ τὸ ἀποδοθὲν γένος, ταὐτὸν εἰπεῖν ὑπογραφέν, δευτέραν δὲ
25 εἶδός ἐστιν οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ τρίτην εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. αἱ μὲν οὖν πρῶται δύο ὑπογραφαὶ τῇ σχέσει μόνῃ διαφέρουσιν ἀλλήλων καὶ ᾧ διαφέρει ἀνάβασις καταβάσεως καὶ κατάβασις ἀναβάσεως καὶ ἡ ἀπὸ Ἀθηνῶν εἰς Θήβας ὁδὸς καὶ ἀπὸ Θηβῶν εἰς
30 Ἀθήνας (αὗται γὰρ τῇ σχέσει μόνῃ διαφέρουσι, τῷ ἢ ἔνθεν ἄρξασθαι ἢ ἔνθεν)· οὕτως καὶ αὗται αἱ ὑπόγραφαὶ ἀνόδῳ ἐοίκασι καὶ καθόδῳ· ἡ γὰρ πρώτη ἡ λέγουσα τὸ ἀναγόμενον ὑπὸ τὸ ἀποδοθὲν γένος ἀνόδῳ ἔοικεν, ἡ λέγουσα οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται καθόδῳ ἔοικεν. αὗται δὲ αἱ δύο ὑπογραφαὶ παντὶ εἴδει ἁρμόζουσι | (πᾶν γὰρ εἶδος 69v
35 ἔχει γένος), ἡ δὲ τρίτη οὐ παντὶ ἀλλὰ τῷ εἰδικωτάτῳ. δεῖ δὲ εἰδέναι ὅτι οὐ μόνον τὸ ἁπλῶς γένος πολλαχῶς λέγεται, ἀλλὰ καὶ τὸ περὶ οὗ οἱ φιλό-

---

2 μερικώτερα Laur. 72,5: μερικά C 4 ἀγγέλῳ] an θεῷ? (cf. p. 63,28) 5 ὅπου— εἶδος (6) Laur. 72,5 Marc. 201: om. C 6 ὑποστάσεως καὶ Marc. 201: om. Laur. 72,5
7 ἐπειδὴ — γινώσκεται (8) in mrg. suppl. C 10 χρησώμεθα scripsi: χρισόμεθα (η supra ι) C
14 πρῶτον . .] cf. Porph. p. 4,1 not. τυρανίδος C 15 δυσειδὲς] δυσιδὲς C
21 τῇ scripsi: τι C ἐν τῇ Φυσικῇ] B 1 p. 193a 30 sq. 24 ταὐτὸν εἰπεῖν ὑπογραφέν om. Marc. 201 (fort. recte) 25 καὶ Marc. 201: om. C 27 σχέση C 30 τῷ scripsi: τὸ C 33 an ⟨ἡ δὲ δευτέρα⟩ ἡ λέγ.? 35 ἰδικωτάτω C (constanter) alt. δὲ] an γάρ?

σοφοι διαλέγονται πολλαχῶς λέγεται, ὁμοίως καὶ τὸ εἶδος· ἔστι γὰρ γένος περὶ οὗ οἱ φιλόσοφοι διαλέγονται, ὃ μόνον γένος εἶδος [δὲ] οὐδέποτε δυνάμενον γενέσθαι, ὅ ἐστι γενικώτατον ὡς λευκότατον καὶ μελάντατον. ὁμοίως ἔστι καὶ εἶδος, ὃ μόνον εἶδος γένος μὴ δυνάμενον γενέσθαι, ὃ καλεῖται
5 εἰδικώτατον. μεταξὺ δὲ τούτων ἔστι γένος ἄλλο, ὃ γένος ἅμα καὶ εἶδος λέγεται καὶ ὑπάλληλον γένος ὑφειμένῃ φωνῇ, καὶ εἶδος πάλιν ἄλλο, ὃ εἶδος ἅμα καὶ γένος λέγεται, πανταχοῦ τὰ οἰκεῖα τῶν ἀλλοτρίων προταττόντων ἡμῶν καὶ τὸ πρὸς ὃ λέγεται ἕκαστον ποτὲ μὲν γένος ἅμα καὶ εἶδος ποτὲ δὲ εἶδος ἅμα καὶ γένος πρὸς τὴν διάφορον σχέσιν. ἀλλὰ λελήθαμεν ἑαυτούς,
10 φασίν, τῇ διαλλήλῳ δείξει περιπεσόντες φευκτέᾳ οὔσῃ παρὰ φιλοσόφοις· καὶ τὸ γένος γὰρ ὑπογράφοντες τοῦ εἴδους ἐμνημονεύσαμεν καὶ τὸ εἶδος ὑπογράφοντες τοῦ γένους. καὶ λέγομεν ὅτι οὐκ ἀεὶ φευκτέα ἡ διάλληλος δεῖξις· εἰ μὲν γὰρ τὰ πράγματα τὰ περὶ ὧν οἱ λόγοι μηδὲν δέονται ἀλλήλων πρὸς ὑπόστασιν ὡς ἐπὶ βοὸς καὶ ἵππου καὶ τῶν τοιούτων, παντὶ σθένει φευκτέον
15 τὴν διάλληλον δεῖξιν, εἰ δὲ τὰ πράγματα δέονται ἀλλήλων πρὸς ὕπαρξιν, | οὐδὲ ἄλλως αὐτὰ ἔστι διδάξαι, εἰ μὴ διὰ τῆς διαλλήλου δείξεως· ὥσπερ 70r γὰρ ἀδύνατον ἠρεμεῖν τὴν σκιὰν τοῦ ποιοῦντος τὴν σκιὰν μὴ ἠρεμοῦντος, οὕτως ἀδύνατον τοὺς λόγους μὴ δεῖσθαι ἀλλήλων τῶν πραγμάτων τῶν περὶ ὧν εἰσιν οἱ λόγοι δεομένων ἀλλήλων. ἀλλ᾽ εἰ ταῦτα οὕτως ἔχει, ἑτέρα ἡμᾶς
20 ἀπορία διαδέχεται· διὰ τί γὰρ ἐν τῇ μιᾷ ὑπογραφῇ τοῦ εἴδους οὐκ ἐμνήσθη τοῦ γένους; καὶ εἰς τοὐναντίον μετέπεσεν ἡ τύχη τοῦ λόγου· πάλαι μὲν γὰρ ἐζητοῦμεν διὰ τί ἐχρησάμεθα τῇ διαλλήλῳ δείξει, νῦν δὲ ζητοῦμεν διὰ τί οὐκ ἐχρησάμεθα. λύσις δὲ τούτου πρόχειρος, ὅτι τοῦ εἴδους δύο σχέσεις ἔχοντος, μίαν τὴν πρὸς τὸ γένος καὶ μίαν τὴν πρὸς τὰ ἄτομα, ἐμερίσαντο αἱ
25 τρεῖς ὑπογραφαὶ τὰς δύο αὐτοῦ σχέσεις, αἱ μὲν πρῶται δύο τὴν σχέσιν αὐτοῦ τὴν πρὸς τὸ γένος, ἡ δὲ μία ἡ ἐσχάτη τὴν πρὸς τὰ ἄτομα.

⟨Πρᾶξις κβ'⟩.

p. 3,22 Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς.

Τῷ συνδέσμῳ τῷ καί ἐχρήσατο, ἢ ὅτι ἐμνήσθη τοῦ ἄλλου σημαινο-
30 μένου τοῦ εἴδους ἐν τῷ γένει ἢ ὅτι ὁ καί σύνδεσμος εὕρηται καὶ ἐν ἀρχῇ τοῦ λόγου.

p. 4,15 Καθ᾽ ἑκάστην κατηγορίαν.

Πῶς καθ᾽ ἑκάστην κατηγορίαν λέγεται γενικώτατα; ἐν γὰρ ἑκάστῃ

---

2 δὲ delevi (cf. v. 4) 3 λευκώτατον C 6 ἄλλο suppl. in mrg. C 8 post εἶδος addas καλούντων 10 φασίν scripsi: φησιν C 14 καὶ ἵππου Marc. 201: ἵππου C 19 ἀλλήλων δεομένων C¹ (num. superscr. corr.) 21 μὲν Marc. 201: om. C 24 ἐμερήσαντο C¹ 26 πρᾶξις κβ' addidi 29 τῷ καὶ scripsi: τὸ καὶ C

κατηγορίᾳ ἕν ἐστι τὸ γενικώτατον. μήποτε οὖν τὸ καθ' ἑκάστην ἀντὶ τοῦ ἐν πάσαις, ὡς καὶ ὁ ποιητής

ὣς φάτο, οἱ δ' ἄρ' ἕκαστοι ἕλον δέπας ἀμφικύπελλον

ἀντὶ τοῦ 'πάντες'. |

5 p. 4,21 Γινέσθω δὲ ἐπὶ μιᾶς κατηγορίας σαφὲς τὸ λεγόμενον. 70v

Ἐπειδὴ τὰ παραδείγματα φωστῆρές εἰσι τῶν λεγομένων (αἰσθήσεις γάρ εἰσι λογικαὶ δακτύλῳ ἡμῖν δεικνῦσαι τὰ πράγματα καὶ τοῦτό ἐστιν ὃ καθ' Ὅμηρον μὲν 'χρυσοῦς λύχνος', κατὰ δὲ Ἀπολλώνιον τὸν τῶν Ἀργοναυτικῶν συγγραφέα ἡ Ἀνάφη νῆσος), βούλεται ὁ Πορφύριος διὰ πραγμάτων 10 φωτίσαι τὰ λεγόμενα καὶ κέχρηται δυσὶ παραδείγμασιν, ἑνὶ μὲν ἀπὸ τῆς φιλοσοφίας, τοῦτ' ἔστιν ἐκ τῶν κατηγοριῶν, ἑτέρῳ δὲ ἀπὸ τῶν γενεαλογιῶν, ἄμφω μὲν γένεσιν οὖσιν, ἀλλὰ τῷ μὲν ἀπὸ τῆς φιλοσοφίας τῷ δὲ ἀπὸ τῆς συνηθείας. πολλῶν δὲ οὐσῶν κατηγοριῶν μιᾷ κέχρηται, φημὶ τῇ οὐσίᾳ μόνῃ, ἐκ τῶν δέκα τῶν γενικωτάτων δι' αὐτῆς καὶ τὰς λοιπὰς ἔχων κατ- 15 ηγορίας (ἐνδύματα γὰρ τῆς οὐσίας αἱ λοιπαὶ κατηγορίαι), καὶ πολλῶν οὐσῶν γενεαλογιῶν μιᾷ μόνῃ κέχρηται τῇ τοῦ Διὸς δι' αὐτῆς καὶ τὰς λοιπὰς ἔχων διὰ τὸ

πατὴρ ἀνδρῶν τε θεῶν τε.

φέρε δὲ ἡμεῖς πρὸ τούτων σαφεστέρῳ χρησώμεθα παραδείγματι. ὑπο- 20 κείσθωσαν τρεῖς τινες ἐπ' εὐθείας ἑστῶτες· ἐν τούτοις ὁ μέν ἐστι δεξιός, ὃν εἴποις ἂν δεξιώτατον βιαζόμενος τὴν συνήθειαν, καὶ ἀναλογεῖ τῷ γενικωτάτῳ, ὁ δὲ ἀριστερός, ὃν εἴποις ἂν ἀριστερώτατον, καὶ ἀναλογεῖ τῷ εἰδικωτάτῳ, ὁ δὲ μέσος δεξιὸς ἅμα καὶ ἀριστερός, ὅτι τοῦ μὲν δεξιοῦ ἐστιν ἀριστερὸς τοῦ δὲ ἀριστεροῦ δεξιὸς ἀναλογῶν τῷ ὑπαλλήλῳ. τούτων οὕ- 25 τως ἐχόντων | πρόεισιν ἡ διαίρεσις τὸν τρόπον τοῦτον· ἡ οὐσία διαιρεῖται 71r εἰς σῶμα καὶ ἀσώματον, τὸ σῶμα εἰς ἔμψυχον καὶ ἄψυχον, τὸ ἔμψυχον εἰς ζῷον, ζωόφυτον καὶ φυτόν, τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον, τὸ λογικὸν εἰς θεόν, ἄγγελον καὶ ἄνθρωπον· ἐν τούτοις τὸ μὲν ὅθεν ἠρξάμην, φημὶ τὴν οὐσίαν, ἐστὶ γενικώτατον ὡς μὴ ἔχον ἕτερον πρὸ αὐτοῦ ὑπεραναβεβηκὸς 30 γένος, τὸ δὲ εἰς ὃ κατέληξα, φημὶ τὸν ἄνθρωπον, ἐστὶν εἰδικώτατον ὡς μὴ ἔχον ἕτερον μετ' αὐτὸ ὑποβεβηκὸς εἶδος (τὰ γὰρ ἄτομα εἰ καὶ ὑποβεβήκασιν, ἀλλ' οὐκ εἰσιν εἴδη· οὐ γὰρ κατηγοροῦνται καὶ αὐτὰ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἀλλὰ τὰ εἴδη μόνον), τὰ δὲ μέσα τοῦ γενικωτάτου καὶ τοῦ εἰδικωτάτου, δι' ὧν ὡδεύσαμεν, εἰσὶν ὑπάλληλα.


2 ἐμ πάσαις C 3 ὣς φάτο . . .] ὣς ἔφαθ', οἱ δὲ ἕκαστος ἑλὼν δ. α. Hom. I 656 ἄρα C ἀνφικ. C 8 χρυσοῦς λύχνος] cf. Hom. τ 34 9 ἡ] ἢ C ἡ Ἀνάφη νῆσος] cf. Apollonii Argon. IV 1715 βόλεται C[1] 10 δυσὶ C[2]: δύο C[1] 12 τῷ (utrobique) scripsi: τοῦ C 15 ante γὰρ additum δὲ del. C 16 Διὸς Marc. 201: om. C 17 ἔχων scripsi: ἐχούσῃ (sed οὔσῃ corr. m.[2]) C (cf. v. 14) 18 πατὴρ . . .] Hom. A 544 alias 22 ἀριστερός, ὃν εἴποις — τοῦ μὲν δεξιοῦ (23) Marc. 201: om. C 24 ἀριστερὸς Marc. 201: ἀριστερώτερος C τοῦ δὲ scripsi: τοῦ C: καὶ τοῦ Marc. 201 28 ἄγγελον eicias (cf. p. 64,19 sq.) 29 ἐστὶ Marc. 201: τὸ (sed una litt. eras.) C (cf v. 30) 30 κατόλεξα C[1] 33 τὰ εἴδη scripsi: τὸ εἶναι C

Ἀποροῦσι δέ τινες ὅτι 'πῶς διαιρεῖται ἡ οὐσία εἰς σῶμα καὶ ἀσώματον; τί οὖσα; εἰ μὲν γὰρ σῶμα, πῶς εἰς ἀσώματον; εἰ δὲ ἀσώματον, πῶς εἰς σῶμα;' καὶ λέγομεν ὅτι οὐδέτερον τούτων ἡ οὐσία, ἵνα εὐλόγως ἀμφότερα ᾖ, δίκην ἀδωροδοκήτου δικαστοῦ ἐξ ἴσου δικάζοντος διὰ τὸ μὴ
5 προκατειλῆφθαι δώροις, δίκην τοῦ ἀέρος ἀχρωματίστου ὄντος, ἵνα πᾶν χρῶμα διακομίσῃ, δίκην λευκῶν ἐρίων ἅπερ ἐν χρώμασιν ἀχρωμάτιστά ἐστι καὶ διὰ τοῦτο πᾶσαν βαφὴν ἐπιδέχονται. αὕτη ἡ λύσις ἁρμόζει οὐ μόνῃ | τῇ οὐσίᾳ, ἀλλὰ καὶ τοῖς ἄλλοις γένεσιν, οἷον τῷ ζῴῳ· εἴποι γὰρ ἄν 71v τις 'τί ὂν τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον; εἰ μὲν γὰρ λογικόν,
10 πῶς εἰς ἄλογον; εἰ δὲ ἄλογον, πῶς εἰς λογικόν;' καὶ λέγομεν ὅτι οὐδέτερον τούτων, ἵνα ἀμφότερα ᾖ. ἑτέραν ἀπορίαν ἀποροῦσιν ὅτι 'πῶς τὸ σῶμα εἰς τὸ ὅλον διαιρεῖς, εἰς ἔμψυχον καὶ ἄψυχον; τὸ γὰρ μέρος, τοῦτ' ἔστι τὸ σῶμα, εἰς τὸ ὅλον διαιρεῖς, τοῦτ' ἔστιν εἰς τὸ ἔμψυχον'. πρὸς ὅ φαμεν ὅτι οὐ τὸ μέρος εἰς τὸ ὅλον διαιροῦμεν, ἀλλὰ τὸ ὅλον εἰς τὰ μέρη αὐτοῦ
15 διῃρέθη· τὸ γὰρ ἁπλῶς σῶμα εἰς τοιόνδε καὶ τοιόνδε διῃρέθη, τοῦτ' ἔστιν εἰς τὸ πεφυκὸς δέχεσθαι ψυχὴν καὶ εἰς τὸ μὴ πεφυκός· οὐδὲ γὰρ ὅλου τοῦ ἐμψύχου κατηγορεῖται τὸ σῶμα, ἐπεὶ καὶ τὴν ψυχὴν εἴποις ἂν σῶμα, ὅπερ ἄτοπον. τούτων οὕτως ἐχόντων ἑτέραν ἀπορίαν ἀποροῦσι· τὸ γὰρ ἔμψυχον διείλομεν εἰς ζῷον, ζῳόφυτον καὶ φυτόν· ἐνταῦθα δὲ οὐχὶ κατὰ
20 τάξιν ἡ διαίρεσις προῆλθεν * * εἰς δύο ἀντιδιῃρημένα, ἵνα ἄφυκτος ᾖ, ἀλλ' εἰς τρία· εἰ δὲ ὅλως δοθῇ ἐξουσία εἰς τρία διαιρεῖν, τί ἄτοπον καὶ εἰς τέσσαρα καὶ εἰς πέντε τὰς διαιρέσεις ποιεῖσθαι, καὶ εἰς ὅσα δ' ἄν τις θελήσοι; φασὶν οὖν πρὸς τοῦτο τὴν λύσιν τοιαύτην, ὅτι πᾶν ἔμψυχον τρεῖς ἔχει δυνάμεις, θρεπτικήν, αὐξητικήν, τοῦ ὁμοίου | γεννητικήν· καὶ εἰ μὲν ταύτας 72r
25 ἔχοι μόνας, λέγεται φυτόν, διὸ καὶ ὁ φιλόσοφος Πλωτῖνος ἔλεγε περὶ τῶν ταῖς δυνάμεσι ταύταις σχολαζόντων οἷον τῷ ἐσθίειν καὶ συνουσιάζειν, καταφρονούντων δὲ λογικῆς θεωρίας, ὅτι κινδυνεύουσιν ἀποδενδρωθῆναι. εἰ δὲ πρὸς ταύταις ταῖς δυνάμεσι καὶ κίνησιν καὶ αἴσθησιν προσλάβοι, γίνεται ζῷον, εἰ δὲ αἴσθησιν μόνον προσλάβοι, κίνησιν δὲ μή, ποιεῖ τὸ ζῳόφυτον, ὡς ἐπὶ τοῦ
30 ὀστρέου καὶ τῶν τοιούτων· ταῦτα γὰρ αἰσθάνεται μέν, οὐ κινεῖται δέ· κάρφους γὰρ προσφερομένου συστέλλεται, ἁπλοῦται δὲ ἐπὶ γλυκεῖ ὕδατι, ἀλλ' οὐ κινεῖται, ἐπειδὴ ἐρρίζωται ἐν ταῖς πέτραις· ἡ γὰρ δοκοῦσα αὐτῶν εἶναι κίνησις, τὸ ἐκτείνεσθαι αὐτὰ καὶ συστέλλεσθαι, ἀπὸ μέρους ἐστίν. ὥσπερ δὲ τὸ ὄνομα τοῦ ζῳοφύτου σύνθετον, οὕτως καὶ τὸ πρᾶγμα· τοῦ μὲν γὰρ
35 ζῴου ἔχουσι τὸ αἰσθάνεσθαι, τοῦ δὲ φυτοῦ τὸ ἀκίνητον. δεῖται δὲ προσδιορισμοῦ ὁ λόγος· τότε γὰρ πᾶν ἔμψυχον τρεῖς ἔχει δυνάμεις, ὅταν καὶ

---

2 εἰς (ante ἀσώματον) Laur. 72,5: om. C 5 δώροις scripsi: δῶρα C 6 ἐν χρώμασιν fort. eicias 10 ἄλλογον C 11 τούτον (sic) C 12 καὶ iter. C 15 διηρήθη (alt. l.) C¹ 20 lacunam signavi, suppleveris ἐπειδὴ οὐ γέγονεν 22 an θελήσῃ? 24 αὐξιτικήν C¹ γενητικήν C¹ 25 Πλωτῖνος] cf. Enn. III,4,2 p. 284 26 τῷ scripsi: τὸ C 28 προσλάβοι scripsi: προσλάβοιεν C 29 αἴσθισιν C¹ προσλάβοι V: προσλάβοιεν C 30 ἀστρέου C¹ κινῆται C δὲ om. V 32 ἡ] εἰ C 35 alt. δὲ om. V

θνητὸν ἢ καὶ ἐξ ὁμοίου ἑαυτῷ ἐγένετο, θνητὸν μὲν διὰ τὰ οὐράνια, ἐξ ὁμοίου δὲ ἑαυτῷ διὰ τὰ ἐκ σήψεως γενόμενα· ταῦτα γὰρ οὐ γεννᾶται πάντα ἐξ ὁμοίων. τούτων οὕτως ἐχόντων φέρε καὶ τὴν διαίρεσιν ἔντεχνον ποιήσωμεν καὶ διέλωμεν οὕτως· τὸ ἔμψυχον διαιρεῖται εἰς διωργανωμένον σῶμα
5 καὶ ἀδιοργάνωτον, καὶ τὸ μὲν διωργανωμένον ποιεῖ τὸ ζῷον, τὸ δὲ ἀδιοργάνωτον εἰ μὲν μὴ ἔχει κίνησιν μηδὲ αἴσθησιν, ποιεῖ τὸ φυτόν, εἰ δὲ αἴσθησιν μὲν ἔχει | κίνησιν δὲ μή, ποιεῖ τὸ ζῳόφυτον· δύο γὰρ ἐνταῦθά εἰσιν 72v ἀντιθέσεις, αἰσθητικὸν ἀναίσθητον, κινούμενον ἀκίνητον· δύο δὲ οὐσῶν ἀντιθέσεων ἓξ γίνονται συμπλοκαί, καθὰ τὸ διάγραμμα τοῦτο δηλοῖ·
10



15 τούτων αἱ μὲν τρεῖς συνίστανται, αἰσθητικὸν καὶ κινούμενον, ἀναίσθητον καὶ ἀκίνητον καὶ αἰσθητικὸν καὶ ἀκίνητον, αἱ δὲ τρεῖς οὐ συνίστανται, αἰσθητικὸν ἀναίσθητον καὶ κινούμενον ἀκίνητον καὶ κινούμενον ἀναίσθητον, ὅπερ οὐκ ἂν εὕροις ποτέ, ἐπεὶ πρὸς κακὸν ἑαυτῷ κινηθήσεται μὴ αἰσθανόμενον· κατὰ κρημνοῦ γὰρ ἐνεχθήσεται. οὐδὲν δὲ μάτην ἡ φύσις ποιεῖ· τὸν
20 γὰρ σκώληκα τυφλὸν ὄντα μαλακὸν ἡ φύσις εἰργάσατο, ἵνα κἂν κατὰ κρημνοῦ ἔλθῃ, ἀβλαβὴς μένῃ. καὶ ταῦτα μὲν περὶ τούτου. τὸ δὲ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον. ἀποροῦσι καὶ πρὸς τοῦτο πῶς τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον καὶ τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον· ἐνῆν γὰρ καὶ ἀνάπαλιν τὸ θνητὸν διελεῖν εἰς λογικὸν καὶ ἄλογον· ἐπειδὴ
25 οὖν τὸ διαιρούμενον θέλει καθολικώτερον εἶναι τῶν εἰς ἃ διαιρεῖται, ἔσται καὶ τὸ λογικὸν τοῦ θνητοῦ καθολικώτερον καὶ τὸ θνητὸν τοῦ λογικοῦ, ὅπερ ἄτοπον. πρὸς τοῦτό φαμεν | ὅτι οὐκ ἔστιν ὑποδιαίρεσις ἡ τοῦ θνητοῦ καὶ 73r ἀθανάτου, ἀλλ' ἐπιδιαίρεσις ἤτοι δευτέρα διαίρεσις τοῦ ζῴου, ⟨ὡς⟩ ἵνα εἴπωμεν τοῦ ζῴου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον, καὶ πάλιν τοῦ ζῴου τὸ μὲν
30 θνητὸν τὸ δὲ ἀθάνατον, ὥσπερ καὶ εἰς ἄλλα δύναται διαιρεῖσθαι, οἷον τοῦ ζῴου τὸ μὲν πεζὸν τὸ δὲ πτηνὸν τὸ δὲ ἔνυδρον, ἢ τὸ μὲν ἄπουν ὥσπερ

---

1 θνητῶν (pr. l.) C an γένηται? 2 ἑαυτῷ] αὐτῷ C γενώμενα V 4 διοργανωμένον V 5. 6 ἀδιωργάνωτον (ἀ superscr.) utrobique C 5 διοργανωμένον CV 6. 7 αἴσθημεν V 7 post μὴ add. ἔχει V γὰρ in mrg. suppl. (in contextu ras. II litt.) C 10 figuram exscripsi ex C (nisi quod ἀκίνητον iteratum omisi), eandem sed lacunosam exhib. V 15 τούτων μὲν αἱ μὲν V καὶ (ante κινούμενον) om. C 16 καὶ αἰσθητικὸν] ἀναισθητὸν (ἀν del.) V 17 pr. ἀναίσθητον] ἀκίνητον C ἀναίστητον (alt. l.) V 18 εὕρῃς (sic) V κακὸν scripsi: κακῷ CV 19 κριμνοῦ C ἐναχθήσεται C 20 κώληκα C[1] κἂν] ἦν (in litura) V 21 δὲ om. V 22 ἀποροῦσι — ἄλογον (23) om. V 24 διαιρεῖν V 25 θέλει (post καθολικ. transp.) V: θέλῃ C 28 ὡς inserui 28. 29 εἴπομεν C[1] 30 εἰς superscr. C[2] οἷον] ὅταν V 31 ἢ τὸ] ἤτοι C ὥσπερ] ὡς V

τὰ ἑρπετὰ τὸ δὲ ὑπόπουν ὡς τὰ ἄλλα ζῷα. τὸ λογικὸν διαιρεῖται εἰς θεὸν καὶ ἄνθρωπον. πάλιν ἀποροῦσιν ὅτι εἰ θεὸς ὑπὸ τὸ λογικόν, τὸ δὲ λογικὸν ὑπὸ τὸ ζῷον, τὸ ζῷον ὑπὸ τὸ ἔμψυχον, τὸ ἔμψυχον ὑπὸ τὸ σῶμα, εὑρεθήσεται ὁ θεὸς ὑπὸ τὸ σῶμα. καὶ λέγομεν ὅτι οὐκ ἄτοπον τὸν θεὸν σῶμα 5 εἶναι· τὰ γὰρ οὐράνια κατὰ Ἀριστοτέλην θεοὶ διὰ τὸ θέειν ἀεὶ καὶ κινεῖσθαι. ἀλλ' οὐδὲν ἧττον μένει ἡ ἀπορία· περὶ γὰρ τοῦ θεοῦ τί ἂν εἴποι τις τοῦ πρώτου αἰτίου; λογικὸν ἢ οὔ; καὶ λέγομεν ὅτι λογικὸς ὁ θεός, ἀλλὰ λογικὸν ἔχει οὐ τὸ ἀναγόμενον ὑπὸ τὸ ζῷον τὸ ἀτελὲς τὸ δεόμενον προτάσεων καὶ συμπερασμάτων καὶ διὰ τοῦτο σύνθετον, ἀλλὰ λογικὸν ὡς ὑπὲρ 10 λόγον· οὕτως γὰρ καὶ ἐπὶ τῆς ψυχῆς λογικὸν λέγομεν οὐχὶ τὸ ὑπὸ τὸ ζῷον (εἰ γὰρ ὑπὸ τὸ ζῷον ἡ ψυχή, καὶ ὑπὸ τὸ ἔμψυχον, καὶ εὑρεθήσεται ἡ ψυχὴ ἔμψυχον), ἀλλ' ὑπὲρ λόγον τὸ ἐν τῇ ψυχῇ λογικόν.

⟨Πρᾶξις κγ'⟩.

p. 4,21 Ἡ οὐσία ἐστὶ μὲν καὶ αὐτὴ γένος, ὑπὸ δὲ ταύτην σῶμα 15 καὶ ὑπὸ τὸ σῶμα.

Διὰ τί, φασί, μὴ ὡς ἡμεῖς εἰς δύο διεῖλε τὴν οὐσίαν, εἰς σῶμα καὶ ἀσώματον, καὶ οὕτως ἐφεξῆς εἰς ἀντιδιῃρημένα; καὶ λέγομεν | ὅτι τῆς κατὰ 73v βάθος μόνον ἔχρῃζε προόδου διὰ τὸ γενικώτατον καὶ εἰδικώτατον καὶ ὑπάλληλον.

20 p. 4,32 Καὶ πᾶν τὸ πρὸ τῶν ἀτόμων.

Καλῶς εἶπε τὸ πρὸ τῶν ἀτόμων προσεχῶς, ἐπειδὴ καὶ τὰ ὑπάλληλα καὶ τὸ γενικώτατον πρὸ τῶν ἀτόμων, ἀλλ' οὐ προσεχῆ.

p. 5,9 Τὰ δὲ ἄκρα μίαν ἔχει σχέσιν.

Τὸ μὲν γενικώτατον τὴν πρὸς τὰ μετ' αὐτὸ ἔχει μόνον σχέσιν (γένος 25 γὰρ πρὸ αὐτοῦ οὐκ ἔχει· τὸ γὰρ ὂν πρὸ τοῦ γενικωτάτου, ἀλλ' οὐ γένος), τὰ δὲ εἴδη καὶ πρὸς τὰ ἄτομα ἔχει σχέσιν ἀλλ' οὐκ ἄλλην· καὶ τῶν

---

2 εἰ] ὁ V 4 καὶ λέγομεν — εἶναι (5) om. V 5 θεοὶ om. V θέειν] θεῖν V καὶ ante ἀεὶ superscr. C[2] 5. 6 κεινεῖσθαι V 6 οὐδὲν] οὐδὲ V μένει in mrg. suppl. C[2] τοῦ om. V 11 τὸ λογικὸν ζῷον (alt. l.) V alt. καὶ eras. C: om. V 12 ἔμψυχον] ἄψυχος V 13 πρᾶξις κγ' inserui 14 μέν ἐστι colloc. V καὶ iter. V ταύτην V post ταύτην add. ἐστὶν Porph. 16 ἡμεῖς ex εἱμεῖς corr. V διεῖλε scripsi: εἷλε CV τὴν om. V alt. εἰς] εἰ C 17. 18 κατὰ τὸ βάθος τῆς γνώσεως V 18 εἰδικότατον C[1] 21 post προσεχ. add. εἶδος C 22 τὰ γενικώτατα C ἀλλ' οὐ ex ἄλλος corr. C[2] 24 μὲν] δὲ C μόνον om. V 25 γενικοτάτου V 26 δὲ om. V pr. καὶ om. C ἄτομα] ἐπάνω C

ἀτόμων γὰρ εἶδος ὡς περιέχον αὐτὰ καὶ τῶν γενῶν εἶδος ὡς περιεχόμενον ἐξ αὐτῶν. |

p. 5,23 Τὰ δὲ πρὸ τῶν εἰδικωτάτων ἄχρι τοῦ γενικωτάτου ἀνιόντα γένη τε λέγεται καὶ εἴδη καὶ ὑπάλληλα γένη, ὡς ὁ 74r
5 Ἀγαμέμνων Ἀτρείδης καὶ Πελοπίδης.

Ὑποσχόμενος ὁ Πορφύριος δύο παραδείγμασιν ὑποβάλλειν τὰ γενικώτατα καὶ εἰδικώτατα καὶ ὑπάλληλα, ἑνὶ μὲν ἀπὸ τῶν κατηγοριῶν ἑτέρῳ δὲ ἀπὸ τῶν γενεαλογιῶν, ἤδη μὲν τῷ ἀπὸ τῶν κατηγοριῶν ἐχρήσατο. ἔρχεται δὲ καὶ ἐπὶ τὸ δεύτερον, φημὶ τὸ ἀπὸ τῶν γενεαλογιῶν, καὶ μιᾷ 10 κέχρηται τῇ ἀπὸ τοῦ Διὸς διὰ ταύτης καὶ τὰς λοιπὰς ἔχων διὰ τὸ

πατὴρ ἀνδρῶν τε θεῶν τε.

ἐνταῦθα οὖν ἐπὶ τῶν γενεαλογιῶν ὁ μὲν μόνως πατήρ, φέρε εἰπεῖν ὁ Ζεύς, ὁ δὲ μόνως υἱὸς ὡς Ὀρέστης, οἱ δὲ πατέρες ἅμα καὶ υἱεῖς ὡς Ἀτρεύς, Τάνταλος. καὶ ἀναλογεῖ ὁ μὲν μόνως πατὴρ τῷ γενικωτάτῳ, ὁ δὲ μόνως 15 υἱὸς τῷ εἰδικωτάτῳ, οἱ δὲ πατέρες ἅμα καὶ υἱεῖς ὑπαλλήλοις. καὶ μὴ νομίσῃς, φησὶν ὁ Πορφύριος, ὅτι ἐπειδὴ παραδείγματι τῶν κατηγοριῶν ἐχρησάμην ταῖς γενεαλογίαις, ὅτι ὥσπερ ἐπὶ τῶν γενεαλογιῶν εἰς ἓν γένος τὸ ἀνωτάτω ἀνάγονται, εἰς τὸν Δία, οὕτως καὶ ἐπὶ τῶν κατηγοριῶν ἔχει· | οὐδὲ γὰρ ἀνάγονται ὑπὸ ἓν γένος πᾶσαι, ἀλλὰ δέκα γενικώτατά εἰσι καὶ 74v 20 ἀρχαὶ δέκα πάντων τῶν ὄντων, καὶ ἔστιν ἐν ἑκάστῃ αὐτῶν καὶ γενικώτατον καὶ εἰδικώτατον καὶ ὑπάλληλον, καὶ οὐ τελεῖ τὸ ἕτερον ὑπὸ τὸ ἕτερον· οὐδὲ γὰρ τὸ ὂν γένος τῶν κατηγοριῶν· οὐδὲ γὰρ ὡς γένος εἰς εἴδη διαιρεῖται ἀλλ' ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα· ἑξαχῶς γὰρ γινομένης τῆς διαιρέσεως δειχθήσεται ὅτι κατ' οὐδένα τῶν πέντε τρόπων 25 δύναται διαιρεῖσθαι τὸ ὂν εἰς τὰς δέκα κατηγορίας· λείπεται οὖν κατὰ τὸν ἕκτον. ἑξαχῶς γὰρ διαιρεῖται τὰ διαιρούμενα, ἢ ὡς γένος εἰς εἴδη, ὡς τὸ ζῷον εἰς τὸ λογικὸν καὶ ἄλογον, ἢ ὡς ὅλον εἰς μέρη, καὶ τοῦτο διχῶς ἢ ὡς εἰς

1 περιέχον] ὁ περιέχων V 2 αὐτοῦ V post αὐτῶν add. θεὸς δὲ ἄγγελος καὶ ἄνθρωπος εἴδη εἰδικώτατα ὅτι ἔχουσιν ἐπάνω αὐτῶν γένος, ὑποκάτω δὲ αὐτῶν οὐκ ἔχουσιν ἕτερα εἴδη, ὥστε λέγεσθαι καὶ γένη, ἀλλὰ εἴδη εἰδικώτατα. τὰ δὲ ὑποκάτω αὐτῶν κατηγορούμενα ὡς Πέτρος Ἰωάννης ἄτομα, ὅτι ἡ διαίρεσις τὸ πολὺ μέχρι εἰδῶν θέλει γενέσθαι, οἱ δὲ κατὰ μέρος ἄνθρωποι πολλοί εἰσι καὶ ἀόριστοι τῷ ἀριθμῷ V 3 δὲ] scribas δὴ (cf. p. 70,2) πρὸ τοῦ γενικωτάτου C: τῶν γενικωτάτων V 4 λέγεται] καλεῖται V καὶ εἴδη om. C ὡς ὁ] οἷον C 5 ἀγαμέμνον C ἀγ. καὶ ἀτρείδης V καὶ (ante πελοπίδης) om. C 6 δυσὶ V 8 γενεαλλογιῶν C τῷ om. V 10 ταύτας V (cf. p. 63,16) καὶ] δὲ C 12. 13. 14 μόνος V 12 ὁ ζεὺς εἰπεῖν colloc. V 13 υἱοῖς (alt. l.) V 14 καὶ om. C πατὴρ — μόνως om. V 18 τὸ ἀνωτάτω] τῷ ἀνωτάτω C: τῶν ἀνωτάτω V τῶν κατηγωριῶν (sic) V: κατηγοριῶν (τῶν om.) C 19 δέκα] καὶ V 20 καὶ ἐστιν in lac. VII litt. om. V 20. 21 γενικώτατα καὶ εἰδικώτατα καὶ ὑπάλληλα V 21 τὸ (alterum) om. C 22 τὸ ὂν τὸ γ. V ὡς om. V εἰς] ὡς V 24 ante τρόπων add. τροπέντε (sic) del. C 25 τὸν] τὸ (una litt. erasa) C 26 διαιροῦνται V 27 τὸ (ante λογικὸν) om. C ἄλλογον C ὡς (ante ὅλον) om. V

ὁμοιομερῆ ἢ ὡς εἰς ἀνομοιομερῆ (ὁμοιομερῆ λεγόντων ἡμῶν τὰ καὶ ὀνόματος καὶ πράγματος ἔχοντα κοινωνίαν καὶ πρὸς ἑαυτὰ καὶ πρὸς τὸ ὅλον, οὗπέρ εἰσι μέρη· τὸ γὰρ ὀστέον εἰς μέρη διῃρημένον καὶ ὀνόματος καὶ ὁρισμοῦ κοινωνίαν ἔχει, ὁμοίως καὶ νεῦρα καὶ φλέβες· ἀνομοιομερῆ δέ,
5 ἃ οὔτε ὀνόματος οὔτε ὁρισμοῦ κοινωνίαν ἔχει πρὸς ἑαυτὰ καὶ πρὸς ὅλον, ὡς τὰ μέρη τοῦ προσώπου, ὀφθαλμοὶ ῥὶς χείλη, οὔτε λέγονται πρόσωπα οὔτε εἰσίν, οὔτε δὲ οἱ ὀφθαλμοὶ ῥὶς λέγονται ἢ εἰσὶν οὔτε ἡ ῥὶς ὀφθαλμοὶ ἢ τὰ χείλη ῥὶς ἢ ὀφθαλμοί), ἢ ὡς οὐσία εἰς συμβεβηκός, ὡς ἵνα εἴπω 'τῶν ἀνθρώπων οἱ μὲν λευκοὶ οἱ δὲ μέλανες καὶ τοῦ ζῴου τὸ μὲν ἄρρεν
10 τὸ δὲ θῆλυ' | (μεταβάλλει γὰρ κατὰ τοῦτο, ὡς ὁ Ἀριστοτέλης ἱστόρησεν 75r ὅτι ἔστι ζῷον, ὃ πολλάκις τῆς ἡμέρας μεταβάλλει εἰς τὸ ἄρρεν καὶ τὸ θῆλυ, ὃ καὶ τροχὸς καλεῖται διὰ τὸ ἐπιτρέχειν τὰ εἴδη, καὶ ἡ ὕαινα δὲ τῶν μεταβαλλόντων ἐστὶν εἰς τὸ θῆλυ καὶ ἄρρεν, εἰ καὶ δι' ἓξ μηνῶν τοῦτο πάσχει, καὶ ὁ λαγωὸς δὲ ὁμοίως τοῦτο πάσχει καὶ μεταβάλλει), ἢ
15 ἀνάπαλιν ὡς συμβεβηκὸς εἰς οὐσίαν, ὡς ἡνίκα εἴπωμεν ὅτι τοῦ λευκοῦ τὸ μὲν κύκνος τὸ δὲ ψιμύθιον τὸ δὲ χιών, ἢ ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα, ὡς ἡ κύων φωνὴ εἰς χερσαῖον θαλάττιον ἀστρῷον φιλόσοφον, ἢ ὡς εἶδος εἰς ἄτομα, ὡς ὁ καθόλου ἄνθρωπος εἰς τοὺς κατὰ μέρος. δείξωμεν οὖν ὅτι ὡς γένος εἰς εἴδη οὐ δύναται διαιρεῖσθαι· ἐπὶ γὰρ τῶν
20 ἀπὸ τοῦ γένους διαιρεθέντων εἰδῶν οὐκ ἔστι τὸ πρότερον καὶ ὕστερον (τοῦ γὰρ λογικοῦ καὶ ἀλόγου, εἰδῶν ὄντων τοῦ ζῴου, οὐδὲν οὐδενὸς πρότερον), ἐπὶ δὲ τῶν κατηγοριῶν ἔστι τὸ πρῶτον καὶ ὕστερον· προτέρα γὰρ ἡ οὐσία τῶν ἄλλων τῇ φύσει· συναναιρεῖ γὰρ τὰ συμβεβηκότα καὶ οὐ συναναιρεῖται αὐτοῖς· τῆς γὰρ οὐσίας ἀναιρουμένης συναναιρεῖται αὐτῇ τὰ συμβεβηκότα
25 (ἐν αὐτῇ γὰρ τὸ εἶναι ἔχουσι), τῶν δὲ συμβεβηκότων ἀναιρουμένων οὐ συναναιρεῖται ἡ οὐσία ὡς ἀνθυπόστατος. καὶ συνεισάγεται ἡ οὐσία τοῖς συμβεβηκόσιν, οὐ συνεισάγεται δὲ αὐτῇ τὰ συμβεβηκότα· ὄντων γὰρ τῶν συμβεβηκότων | πάντως καὶ ἡ οὐσία ἔστιν (ἐν αὐτῇ γὰρ ὑφίσταται τὰ συμ- 75v βεβηκότα), τῆς δὲ οὐσίας οὔσης οὐ πάντως εἰσὶ τὰ συμβεβηκότα· τῇ γὰρ
30 θείᾳ οὐσίᾳ οὐδὲν συμβέβηκε. δεύτερον ἐπιχείρημα ἐν τοῖς ὡς γένος εἰς

2 αὐτὰ C (cf. v. 5) 3 εἰσι μέρη] ἰσομερῆ V διαιρημένον C¹ 4 φλέβες correxi: φλέβας CV 5 ἃ] ἅτε V ὀνόματα C 6 πρωσόπου V ῥὶς] ὡς V χείλη] χήλη C 7 δὲ om. C ἡ om. C 10 ὁ om. C ἱστόρισεν C ὁ Ἀριστοτέλης ἱστόρησεν] cf. De anim. gener. Γ 6 p. 757ª 3 sq. 14 πάσχῃ (pr. l.) C λαγοὸς C: λαγωὸς in λαγωὼς mut. V τοῦτο πάσχει καὶ om. V (fort. recte) 15 ὡς (prius) superscr. C² 16 ψιμμύθιον V post χιὼν add. ἢ ὡς συμβεβηκὸς εἰς συμβεβηκότα οἷον τῶν λευκῶν τὰ μὲν θερμὰ τὰ δὲ ψυχρά C (cf. p. 69,15) 17 φυλόσοφον V 18 ὡς ὁ] ἢ V 19 δείξομεν C 21 οὐδὲν om. C 22 προτέρα] πρότερον C 22. 23 τῶν ἄλλων ἡ οὐσία colloc. V συνανερεῖ (fere ubique) V 25 αὐτῆς C 26 συναιρεῖται C¹ αὐθυπόστακτος V συνισάγεταί C¹: συναγάγεται V τῇ οὐσίᾳ (alt. l.) C 26. 27 τοῖς συμβεβηκόσιν C¹: τὰ συμβεβηκότα C² 27 συνησάγεται (sic) C²: συνησάγει C: συναγάγει V τοῖς συμβεβηκόσι corr. C² 28 πάντα C (cf. v. 29) ὑφίστανται V 29 δὲ om. V post οὐσίας superscr. οὐκ C²

εἴδη διαιρουμένοις· οὐκ ἀνάγκη ἑνὸς εἴδους ἀναιρουμένου καὶ τὰ λοιπὰ ἀναιρεῖσθαι (οὐδὲ γὰρ τοῦ λογικοῦ ἀναιρεθέντος ἀναιρεῖται τὸ ἄλογον), ἐνταῦθα δὲ ἑνὸς εἴδους ἀναιρεθέντος καὶ τὰ λοιπὰ ἀναιρεῖται· τῆς γὰρ οὐσίας ἀναιρεθείσης πᾶσαι ἀναιροῦνται αἱ κατηγορίαι. τρίτον ἐπιχείρημα ἐν τοῖς
5 ὡς γένος εἰς εἴδη διαιρουμένοις· * * ἢ πάντα καθ' αὑτὸ ὡς τὸ λογικὸν καὶ ἄλογον, ἢ πάντα ἐν σχέσει, ὡς τοῦ πολυπλασίου τὰ εἴδη τὸ τριπλάσιον τὸ τετραπλάσιον καὶ τὰ ἐφεξῆς· ἐπὶ δὲ τῶν κατηγοριῶν αἱ μὲν ἐννέα καθ' αὑτό εἰσι, τὰ δὲ πρός τι ἐν σχέσει. οὕτως μὲν ὅτι οὐχ ὡς γένος εἰς εἴδη. ἀλλ' οὐδὲ ὡς ὅλον εἰς μέρη ὁμοιομερῆ· εἰ γὰρ ὁμοιομερὲς τὸ καὶ
10 ὀνόματος καὶ ὁρισμοῦ μετέχον κοινοῦ, αἱ κατηγορίαι ὁρισμὸν οὐκ ἔχουσι κοινόν. ἀλλ' οὐδὲ εἰς ἀνομοιομερῆ, ἐπειδὴ ἀνομοιομερές ἐστι τὸ καὶ ὀνόματος καὶ πράγματος ἔχον διαφοράν, αἱ δὲ κατηγορίαι ὄνομα κοινὸν ἔχουσι· πᾶσαι γὰρ κατηγορίαι λέγονται. ἀλλ' οὐδὲ ὡς οὐσία εἰς συμβεβηκός, ἐπειδὴ ἔδει πάσας συμβεβηκότα εἶναι. ἀλλ' οὐδὲ ὡς συμβεβηκὸς εἰς
15 οὐσίαν, ἐπεὶ ἔδει πάσας οὐσίας εἶναι. ἀλλ' οὐδὲ ὡς εἶδος εἰς ἄτομα, ἐπειδὴ τὰ ἄτομα ἄπειρα καὶ ἀπεριόριστα | καὶ μὴ ὑποπίπτοντα ἐπιστήμῃ, 76r αἱ δὲ κατηγορίαι δέκα τὸν ἀριθμόν. λείπεται τοίνυν ὡς ὁμώνυμον φωνὴν εἰς διάφορα σημαινόμενα διαιρεῖσθαι τὸ ὂν εἰς τὰς δέκα κατηγορίας.

p. 6,3 Ἀλλ' ἐπὶ μὲν τῶν γενεαλογιῶν εἰς ἕνα ἀναφέρουσι, φέρε
20 εἰπεῖν τὸν Δία, ⟨τὴν ἀρχὴν⟩ ὡς ἐπὶ τὸ πλεῖστον.

Καλῶς εἶπεν ὡς ἐπὶ τὸ πλεῖστον· ἰδοὺ γὰρ Ἁλιρρόθιος ὑπὸ Ποσειδῶνα τελῶν κατὰ τοὺς τῶν ποιητῶν ληρώδεις μύθους οὐκ ἀνάγεται ὑπὸ τὸν Δία διὰ τὸ

τριχθὰ δὲ πάντα δέδασται.

25 διὸ καὶ ἀποροῦσιν ὅτι εἰ τριχθὰ πάντα δέδασται, πῶς ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε ὑπ' ἐκείνων εἴρηται. καὶ λέγομεν ὅτι διττὸς ὁ Ζεὺς παρὰ τοῖς ποιηταῖς, ὁ μὲν εἷς τῶν τριῶν, ὡς ὅταν λέγωσιν ἐνάλιος Ζεύς, χθόνιος Ζεύς, αἰθέριος Ζεύς, ὁ δὲ πρὸ τῶν τριῶν, ὡς ὅταν λέγηται πατὴρ ἀνδρῶν τε θεῶν τε.

---

2 ἀναιρεσθέντος C 4 αἱ om. V 5 ὡς] εἰς C lacunam signavi, suppleveris ἐπὶ τῶν εἰδῶν ἐστιν 6 σχέσεσι C (cf. p. 70,14) πολλυπλασίου C 7 ἑξῆς V 8 ὅτι om. C 9 εἰ] ἢ V 11 καὶ scripsi: δὲ CV 14 ἐπεὶ C συμβεβηκὸς — οὐδὲ ὡς (15) om. V 15 πάσας] πά superscr. C² post εἶναι add. ἀλλ' οὐδὲ ὡς συμβεβηκὸς εἰς συμβεβηκότα διὰ τὰ αὐτά C (cf. p. 68,16) 15 ἄτομον V 17 post ἀριθμὸν add. λέγεται del. V ὁμόνυμον C¹ 19 ἓν V ἀνάγουσι Porph. 20 τὴν ἀρχὴν inserui: om. CV ὡς ἐπὶ τὸ πλεῖστον om. V 21 ὡς om. V Ἁλιρρόθιος] ἀλληρόθειος C: ἀλλιρόθιος V 21. 22 ποσειδῶνα] πο superscr. C² 22 τῶν om. C 24 τριχθὰ . . . .] Hom. O 189 δὲ om. V δέδοσθαι V 26 ὑπὸ ἐκείνῳ V 27 εἷς] εἶναι V ἐνάλιος scripsi: ἀνάλιος C: ἃ ἄλιος V χθόνιος Ζεύς, αἰθέριος Ζεύς in mrg. suppl. C Ζεὺς χθόνιος Hesiod. Op. et d. 465; ἐνάλιος Ζεύς et αἰθέριος Ζεύς non inveni

⟨Πρᾶξις κδ′⟩.

p. 5,23 Τὰ δὴ πρὸ τῶν εἰδικωτάτων ἄχρι τοῦ γενικωτάτου ἀνιόντα γένη λέγονται καὶ εἴδη καὶ ὑπάλληλα γένη, οἷον Ἀγαμέμνων Ἀτρείδης Πελοπίδης Ταντολίδης.

5 Δείξαντος τοῦ Πορφυρίου ὅτι ὡς ὁμώνυμος φωνὴ διαιρεῖται τὸ ὂν εἰς τὰς δέκα κατηγορίας, ὁ Πλάτων ὡς γένος τὸ ὂν βούλεται διαιρεῖσθαι κατασκευάζων οὕτως· ὅτι ‘ἃ λέγετε ὑμεῖς ἐπὶ τῶν γενῶν ὅτι οὐκ ἔστι τὸ πρότερον καὶ ὕστερον, τὰ αὐτὰ λέγω κἀγὼ ἐπὶ τῶν ὁμωνύμων| ὅτι οὐκ ἔστιν οὐδὲ ἐπὶ τούτων τάξις· οὐδὲ γὰρ πρότερος ὁ ἔνυδρος κύων 76v 10 τοῦ χερσαίου. εἶτα πάλιν λέγετε ἐπὶ τῶν γενῶν ὅτι οὐκ ἀνάγκη ἑνὸς εἴδους ἀναιρουμένου καὶ τὰ λοιπὰ ἀναιρεῖσθαι· τὰ αὐτὰ δὲ κἀγὼ λέγω καὶ ἐπὶ τῶν ὁμωνύμων ὅτι οὐκ ἀνάγκη τοῦ χερσαίου ἀναιρεθέντος καὶ τὸν ἔνυδρον συναναιρεῖσθαι. πάλιν δὲ λεγόντων ὑμῶν ὅτι ἐπὶ τῶν γενῶν ἢ πάντα καθ' αὑτὸ ἢ πάντα ἐν σχέσει, ὁμοίως καὶ ἐπὶ τῶν ὁμωνύμων τὸ 15 αὐτό ἐστιν· ὁ χερσαῖος γὰρ καὶ ὁ ἔνυδρος καθ' αὑτό’. ἀλλ' ἐπειδὴ καὶ ὁ Πλάτων ἐν τῷ Παρμενίδῃ ὡς γένος τὸ ὂν διαιρεῖ καὶ ὁ Ἀριστοτέλης δὲ ἐν ταῖς Κατηγορίαις ὡς ὁμώνυμον φωνὴν διαιρεῖ τὸ ὄν, φέρε μὴ περιίδωμεν τὴν ἀλήθειαν μηδὲ τηλικούτους ἄνδρας διαφωνοῦντας ἐάσωμεν. διαιρεῖται τοίνυν τὸ ὂν οὐχ ὡς ὁμώνυμος φωνή (ὥσπερ ἐν Κατηγορίαις Ἀρι-20 στοτέλης καὶ νῦν ὁ Πορφύριος εἴρηκεν), οὐδὲ ὡς γένος εἰς εἴδη (ὥσπερ ὁ Πλάτων εἶπεν), ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. οὗτός ἐστιν ἕβδομος τρόπος τῆς διαιρέσεως. ἀφ' ἑνὸς δὲ λέγω τὰ ἀπό τινος ποιητικοῦ αἰτίου παρωνομασμένα, οἷον ἰατρικὰ βιβλία, ἰατρικὰ ὄργανα (ἀπὸ γὰρ τῆς ἰατρικῆς),

1 πρᾶξις κδ′ inserui 2 δὴ] δὲ V ἄχρι] ι ex η corr. C[2] 3 γένη τε (pr. l.) Porph. λέγεται Porph. οἷον] ὡς Porph. ὁ Ἀγαμ. Porph. 4 ἀτρίδης V καὶ Πελ. καὶ Ταντ. Porph. post lemma add. ἐπὶ τῶν γενεαλογιῶν Ἀτρείδης Πελοπίδης τελευταῖον ἔχει τὸν Δία, ἐπὶ τῶν γενῶν καὶ τῶν εἰδῶν οὐχὶ ἀνελθεῖναι (sic) ἔχεις εἰς τὰς δέκα κατηγορίας, διό εἰσι πολλαί. ἀλλὰ τοῦτο λέγης· ποιῶ τὰς δέκα κατηγηρίας ὑπὸ τὸ ὄν. καὶ ἰδοὺ καὶ ἐπὶ τῶν γενῶν καὶ τῶν εἰδῶν ἓν ἔρχεται, ὥσπερ καὶ ἐπὶ τῶν γενεαλογιῶν. ἀλλ' οὐκ ἔστι τὸ ὂν κοινὸν πάντων γένος· ἢ γὰρ ἂν συνωνύμως εἶχον λέγεσθαι οὐχ ὁμωνύμως· τὰ γὰρ γένη κατὰ εἰδῶν συνωνύμων φέρονται, οἷον συνωνύμως φέρε τὸ ζῶον κατὰ ἀνθρώπου ἵππου κυνός. καὶ ἰδοὺ εἰς μίαν ὅλα εἰσίν, οὐ τὸ μὲν πρῶτον τὸ δὲ ὕστερον. ἐπὶ δὲ τῶν δέκα τῶν κατηγοριῶν τίθῃς τὸ ὂν γένος καὶ ἀνάγεις τὰς δέκα κατηγορίας ὑπ' αὐτὸ συνωνύμως. καὶ ἰδοὺ ἡ μὲν οὐσία πρῶτόν ἐστιν, εἶτα συμβεβηκός· ἂν γὰρ οὐκ ἔστιν οὐσία, πῶς ἔχει φανῆναι ποσότης ἢ ποιότης οἷον μελανία V 5 ante ὅτι add. πρῶτον V 7 λέγεται C ὅτι (alterum) om. C 8 post λέγω add. σοι C 9 τούτου C alt. οὐδὲ] οὐ V 10 χαιρσαίου (ε superscr.) V λέγετε ex λέγεται corr. C 11 ἀναιρουμένου καὶ τὰ λοιπὰ om. V 12 ἀναιρηθέντος V 13 ἡμῶν V 16 ἐν τῷ Παρμ.] cf. p. 129 A sq. ante γένος add. τὸ V (cf. v. 20) 17 ἐν ταῖς Κατ.] p. 1b 25 17. 18 περιείδωμεν C: περιίδομεν (superscr. ω) V 19 τοίνυν iterat. del. V 21 ἐστιν ἕβδομος] δὲ ὄγδοος C 22 τῆς om. C ποιητικοῦ] τικοῦ superscr. C[2] 23 γὰρ om. V (fort. recte)

πρὸς ἓν δὲ τὰ πρὸς ἓν τέλος ἀφορῶντα, οἷον ὑγιεινὸν οὖρον καὶ ὑγιεινὸν σιτίον· ταῦτα γὰρ πρὸς ἓν τέλος ὁρᾷ, τὴν ὑγείαν. ταῦτα δὲ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν μέσα ἐστὶν ὁμωνύμων καὶ γενῶν· τῶν γὰρ ὁμωνύμων ὄνομα κοινὸν μόνον ἐχόντων ὁρισμὸν δὲ οὐδὲ ὅλως κοινόν, τῶν δὲ
5 γενῶν καὶ ὀνόματος καὶ ὁρισμοῦ κοινοῦ μεταδιδόντων τοῖς εἴδεσι καὶ τούτου ἐξ ἴσου μετεχομένου (τοῦ γὰρ ὁρισμοῦ τοῦ ζῴου πάντες ὁμοτίμως μετέχομεν), ταῦ|τα τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ὄνομα μὲν κοινὸν ἔχουσι καὶ 77r πρᾶγμα κοινόν, ἀλλ' ἀνομοίως μετεχόμενα· ὑγιεινὸν γὰρ λέγεται καὶ τὸ οὖρον καὶ τὸ σιτίον καὶ τὸν ὁρισμὸν τοῦ ὑγιεινοῦ ἐπιδέχονται, τὸ συμμέ-
10 τρως ἔχειν πρὸς ὑγείαν, μᾶλλον δὲ ὑγιεινόν ἐστι τὸ σιτίον ἤπερ τὸ οὖρον· τὸ μὲν γὰρ σιτίον ποιεῖ τὴν ὑγείαν, τὸ δὲ οὖρον σημαίνει μόνον. οὕτως οὖν καὶ τὸ ὂν εἰς τὰς κατηγορίας διαιρεῖται· αἱ γὰρ κατηγορίαι καὶ ὀνόματος καὶ ὁρισμοῦ τοῦ αὐτοῦ μετέχουσι (πᾶσαι γὰρ κατηγορίαι λέγονται), ἀλλ' ἀνομοίως· μᾶλλον γὰρ ὂν ἡ οὐσία, ἐπειδὴ διὰ τὴν οὐσίαν καὶ τὰ λοιπά·
15 ὥσπερ γὰρ τὸν παιδαγωγὸν φιλοῦντες διὰ τὸν παῖδα μᾶλλον τὸν παῖδα φιλοῦμεν καὶ ὥσπερ τὸν ἄκρατον οἶνον μᾶλλον λέγομεν μεθύσκειν, ἐπειδὴ διὰ τὸν ἄκρατον καὶ ὁ κεκερασμένος μεθύσκει, οὕτω καὶ ἡ οὐσία μᾶλλον ὄν ἐστιν, ἐπειδὴ δι' αὐτὴν καὶ αἱ ἄλλαι κατηγορίαι. εἰ οὖν μέσα τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὡς ἐδείξαμεν, τὰ δὲ μέσα ἔξεστι τοῖς τῶν ἄκρων ὀνό-
20 μασιν ὀνομάζειν, ὡς εἴ τις τὸ φαιὸν ποτὲ μὲν λευκὸν ποτὲ δὲ μέλαν ὀνομάζοι καὶ τὸ χλιαρὸν ποτὲ μὲν θερμὸν ποτὲ δὲ ψυχρὸν καλοίη, οὐδεμία διαφωνία παρὰ τοῖς φιλοσόφοις εὑρίσκεται, τοῦ μὲν λέγοντος ὡς γένος διαιρεῖσθαι τὸ ὄν, τοῦ δὲ ὡς φωνὴν ὁμώνυμον.

⟨Πρᾶξις κε'⟩.

25 p. 6,11 Δέκα μὲν οὖν τὰ γενικώτατα, τὰ δὲ εἰδικώτατα ἐν ἀριθμῷ μέν τινι, οὐ μὴν ἀπείρῳ.

Ἐπειδὴ μὴ μία φύσις τῶν ὄντων πάντων ἐδείχθη (τὸ γὰρ ὂν οὐχ ὡς γένος ἀλλ' ὡς ὁμώνυμος φωνὴ διαιρεῖται κατὰ Ἀριστοτέλην καὶ Πορφύριον), φέρε τὴν φύσιν τῶν ὄντων πάντων πολυπραγμονήσωμεν. τεσσάρων τοίνυν

---

1 ante πρὸς ἓν δὲ in mrg. suppl. ὠνομάσθη C ἀφορῶντα] ἀφορόντα C: ὁρῶντα V 2 ὁρῶσι V ὑγίαν C[1] 3 καὶ (ante γενῶν) om. C 4 pr. κοινὸν post ἐχόντων transp. V 5 ὀνομάτων C[1] μεταδιδόντες C 7 post ταῦτα add. δὲ C 8 λέγει C 9. 10. 11 σιτεῖον C 10 ἔχον C γὰρ δὲ (sed γὰρ del.) V ἤπερ scripsi: εἴπερ C: ὑπὲρ V 11 μὲν om. C 14 ἡ om. C ante διὰ additum καὶ del. V 16 εἶνον V 18 ὄν om. V αἱ om C 19 τοῖς τῶν] τοιούτων V 20. 21 ὀνομάζει V 21 δὲ ψυχρὸν om. V καλοίη] καὶ λοιπὴ C 24 πρᾶξις κε' inserui 26 post lemma add. τὰ γενικώτατα δέκα εἰσὶ καὶ παρ' ἑαυτοῖς καὶ παρ' ἡμῖν γνωρίζοντι (sic). οὕτως δὲ εἰδικώτατα παρὰ μὲν ἑαυτοῖς γνωρίζονται, παρ' ἡμῖνἄγνωστά ἐστιν. ἀφ' οὗ γὰρ ἐγένετο ὁ κόσμος, ἄνθρωπός ἐστι βοῦς καὶ κόραξ λέγεται. καὶ ἔχουσι στάσιν ταῦτα, τὰ δὲ ἄτομα ἐν ῥοῇ καὶ ἀπορροῇ ἐστιν V 28 ἀριστοτέλη V 29 ὄντων om. V 29. 72,1 ὄντων τοίνυν colloc. V

ὄντων, γενικωτάτων ὑπαλλήλων εἰδικωτάτων | καὶ ἀτόμων, τινὰ μὲν καὶ τῇ 77r φύσει καὶ τῇ ἡμετέρᾳ γνώσει ὥρισται, ὡς τὰ γενικώτατα (ταῦτα γὰρ ὥρισται τῇ φύσει· δέκα γὰρ ἀεὶ καὶ οὐδέποτε πλείονα οὔτε τῇ φύσει οὔτε τῇ ἡμετέρᾳ γνώσει), τινὰ δὲ οὔτε τῇ φύσει οὔτε τῇ γνώσει ἡμῶν ὥρισται, ὡς
5 τὰ ἀεὶ γινόμενα ἄτομα (τῇ γὰρ φύσει οὐχ ὥρισται, διότι οὐκ ἀεὶ ὁ αὐτὸς ἀριθμὸς τῶν ἀτόμων, ἀλλ' οὐδὲ τῇ γνώσει ἡμῶν ταῦτα ὥρισται, εἴ γε τὸν νῦν ἀριθμὸν τῶν ἀτόμων ἀγνοοῦμεν, οὔτι λέγω τὸν τῶν μηδέπω γενομένων), τινὰ δὲ τῇ μὲν φύσει ὥρισται, ἡμῖν δὲ ἄπειρά ἐστιν, ὡς τὰ εἰδικώτατα· ταῦτα γὰρ ἡμῖν ἄγνωστα διὰ τὸ εἶναι ζῷά τινα ἐν ἀβάτοις ἡμῖν τόποις
10 γινόμενα· εἰ γὰρ καὶ Ἀριστοτέλης περὶ ζῴων ἔγραψεν, τὰ πλεῖστα καὶ οὐχὶ πάντα ἱστόρησεν· καὶ οἱ μετ' αὐτὸν γάρ τινων εἰδῶν ἐμνημόνευσαν, ἅπερ παρῆκεν αὐτός· εἰκὸς γὰρ καὶ αὐτὸν ἄνθρωπον ὄντα λαθεῖν τινα εἴδη ζῴων ἐν ἀβάτοις αὐτῷ τόποις γεννηθέντα. τῇ δὲ φύσει ὥρισται τὰ εἰδικώτατα· εἰ γὰρ ἄπειρα ἦν τῇ φύσει, ἐπειδὴ ἕκαστον εἰδικώτατον κατὰ πολλῶν ἀτό-
15 μων κατηγορεῖται, ἔσται τοῦ ἀπείρου ἀπειρότερον, ὁ ἀριθμὸς τῶν ἀτόμων τοῦ ἀριθμοῦ τῶν εἰδικωτάτων, ὅπερ ἀδύνατον· ἀνυπέρβλητον γὰρ τὸ ἄπειρον ὡς ποσὸν ἀδιεξίτητον. διὰ τοῦτο οὖν ἐπειδὴ οὐκ ἔστι τοῦ ἀπείρου ἀπειρότερον, οὐκ ἀδύνατα ἔλεγεν ὁ ἐν Δελφοῖς

οἶδα ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης
20 καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω, |

κωφὸν λέγων τὸν ἐκ γεννητῆς ἄλαλον ὡς μὴ διδαχθέντα τὰς φύσει 78r φωνάς· οὐδὲ γὰρ ἄπειρος ὁ ἀριθμὸς τῆς ψάμμου, ἵνα μὴ ᾖ τοῦ ἀπείρου ἀπειρότερον· μείζων γὰρ ὁ ἀριθμὸς τῆς ψάμμου προσλαβὼν τὸν ἀριθμὸν τὸν τῶν ἀνθρώπων μόνου τοῦ ἀριθμοῦ τῆς ψάμμου. * * * κἂν μέχρι τῆς
25 ἀπλανοῦς γένηται ἡ ψάμμος, οὐκ ἄπειρος.

Ἐπειδὴ δὲ ἀτόμων ἐμνήσθη, ἵνα μὴ νομίσῃ τις ὅτι μέχρι τῶν ἀτό-

---

1 τῶν γενικ. V 2 γὰρ om. V 2. 3 ὅρισται C¹ 3 post pr. φύσει addas καὶ τῇ ἡμετέρᾳ γνώσει οὔτε τῇ φύσει iterat. del. C 4 τῇ γνώσει ἡμῶν] τῇ ἡμετέρᾳ γνώσει (sic, in mrg. γνώσει ἡμῶν) V 5 post ἄτομα add. τῶν ὄντων τὰ μέν ἐστι γενικώτατα, τὰ δὲ εἰδικώτατα, τὰ δὲ ὑπάλληλα, τὰ δὲ ἄτομα V 6 ἀριθμὸς] ὁρισμὸς C 7 ἀριθμῶν C¹ ἀγνωοῦμεν C οὔτι scripsi: ὅτι VC (cf. 51,13. 57,26) λέγει (ει corr. m.²) C τὸν τῶν scripsi: τῶν C: τὸν V 7. 8 γινομένων V 8 pr. δὲ] μὲν C ὡς] εἰς C 9. 10 ἡμῖν τόποις γινόμενα] γινόμενα τόποις ἡμῖν μὴ γινωσκόμενα (sed γινόμενα in ras. altera manus scripsit eademque ἡμῖν μὴ addidit et γινωσκόμενα ex γινόμενα correxit) C: ἡμῖν τόποις γενώμεθα V 11 μετ' αὐτῶν V 12 ὄντα ἄνθρ. καὶ αὐτὸν colloc. V 13 αὐτῷ om. C 14 ἦν scripsi: ἐστι V: om. C ante ἕκ. add. τὰ ὄντα C 15 ἔσται om. C ἀπειρότ.] ἀπειρότερος ὄν C ὁ om. V 16. 17 ἄπειρον] ἄποτον (superscr. σ) V 17 ἀδιεξέτατον V 19 οἶδα δ' Herod. I, 47 Amm. p. 87,3 ψάμμου] ψάμου CV 20 λαλέοντος] φωνεῦντος Herod. 21 λέγω V γεννητῆς C²: γενιτῆς C¹V ἄλλαλον C φύσει] θέσας (sic) V 22 ὁ om. C ᾖ] ἦν (η ex ει corr. m.²) C 23 μείζω V τῶν ἀριθμῶν (alt. l.) C¹ 24 τὸν om. C μόνου post ἀριθμοῦ iteratum del. C τῆς ψάμμου. κἂν] τῶν ἀνθρώπων καὶ V post ψάμμου lacunam signavi, suppleveris διὰ τοῦτο ὁ ἀριθμὸς τῆς ψάμμου

μων δεῖ προάγειν τὰς διαιρέσεις, εἴργει τοῦτο ὁ Πορφύριος διά τινος Πλατωνικοῦ διαιρετικοῦ παραγγέλματος. διὰ δὲ τοῦτο καὶ ἄλλα δύο διαιρετικὰ παραγγέλματα παραδίδωσιν ἡμῖν· πρῶτον μὲν οὖν τοῦτο ὅτι δεῖ τὰς διαιρέσεις ἀπὸ τῶν γενικωτάτων προάγειν μέχρι τῶν εἰδικωτάτων καὶ μηδὲ
5 προαφίστασθαι τῶν εἰδικωτάτων, ἵνα μὴ κολοβὸς γένηται ἡ διαίρεσις (οὐκ ἔστι γὰρ δίκτυον ἄφυκτον ἡ διαίρεσις), μηδὲ μὴν ἅπτεσθαι τῶν ἀτόμων· ἀμέθοδον γὰρ τοῦτο καὶ ἐπιστήμῃ οὐχ ὑποβέβληται· ἐπιστήμη γὰρ εἴρηται ὡς εἰς ἐπίστασιν ἄγουσα τὸν νοῦν, ὡς ἐν Κρατύλῳ ἐτυμολογεῖ. τοῦτο οὖν πρῶτον. δεύτερον οὐ δεῖ ὑπερβάθμιον πόδα τείνειν καὶ ἀπὸ τῶν γενικω-
10 τάτων ἔρχεσθαι ἐπὶ τὰ εἰδικώτατα ὑπερβαίνοντα τὰ μέσα, τοῦτ᾽ ἔστι μὴ διέλῃς τὴν οὐσίαν εἰς ἄνθρωπον καὶ ἵππον καὶ ἁπλῶς εἰς τὰ εἰδικώτατα, ἐπεὶ ψεῦδος τὸ τὴν διαιρετικὴν μέθοδον οὐδὲν καυχήσεται φυγόν, ἀλλὰ δεῖ τὴν οὐσίαν διελεῖν | εἰς σῶμα καὶ ἀσώματον, ὡς καὶ ἀνωτέρω εἴρηται, καὶ 78v οὕτως ἐφεξῆς. διὸ καὶ ὁ Πλάτων κακίζει τοὺς ὁριζομένους τὸν ἄνθρωπον
15 οὕτως 'ζῷον νοῦ καὶ ἐπιστήμης δεκτικόν' καὶ τὰ ἄλλα ἐάσαντας καὶ μόνης φροντίσαντας τῆς ἀντιστροφῆς (οὐδὲ γὰρ τοῦτο ἴδιον ὁρισμοῦ, ἀλλὰ οἱ ὁρισμοὶ τῆς ἀνατομῆς καὶ ἀναπτύξεως χάριν τῶν φύσεων ἐπενοήθησαν), καὶ δέον αὐτοὺς πάντα καταλέγειν τὰ οὐσιώδη καὶ συστατικὰ τοῦ πράγματος. τοῦτο δεύτερον. τρίτον ὅτι οὐ δεῖ κακοῦ μαγείρου δίκην παρ᾽ ἄρθρα τὰς τομὰς ποιεῖσθαι
20 ἤτοι τὰς διαιρέσεις, τοῦτ᾽ ἔστιν οὐ δεῖ συμβεβηκυίαις διαφοραῖς τέμνειν τὰ καθόλου, ἀλλ᾽ οὐσιώδεσι. μὴ διέλῃς οὖν τὸ ζῷον εἰς λευκὸν καὶ μέλαν ἢ ἄρρεν καὶ θῆλυ, ἐπεὶ ἄπειροι αἱ διαιρέσεις, ὡς καὶ τὰ συμβεβηκότα ἄπειρα, ἀλλὰ δίελε τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον καὶ οὕτως κατὰ τάξιν πρόελθε, καὶ οὐκ ἔσονται ἄπειροι αἱ διαιρέσεις. τοῦτο καὶ τὸ τρίτον.

25 ⟨Πρᾶξις κϛ′⟩.

p. 6,11 Δέκα μὲν οὖν τὰ γενικώτατα.

Διὰ τοῦ εἰπεῖν οὕτως ἁπλῶς καὶ ἀπροσδιορίστως δέκα μὲν οὖν τὰ γενικώτατα, ἐπειδὴ τὸ ἀπροσδιόριστον τῷ καθόλου ἰσοδυναμεῖ, διὰ τούτων ἐδήλωσεν ὅτι καὶ τῇ φύσει καὶ τῇ γνώσει ἡμῶν ὥρισται τὰ γενικώ-
30 τατα, ἐπειδὴ δέκα μόνον.

---

1. 2 πλατονικοῦ V1 5 κωλοβὸς (ω ex ο corr.) C 5. 6 οὐκ ἔστι] οὐκέτι C 6 δείκτυον C ἄφεκτον V1 7 ἀμέθοδος V ὑποβάλλεται V 8 εἰς ἐπίστασιν] ὑπόστασιν (εἰς om.) V Κρατύλῳ lac. V litt. relicta om. V (cf. p. 412 A) ἐτυμολογεῖ C1: ἐτυμολογεῖται C2: εὐτυμολογεῖ V 9 οὐ δεῖ] οὐδ᾽ V πόδα] πόσα V 10 εἰδεικότατα V1 alt. τὰ om. C 11 καὶ ἵππον om. V εἰδικώτα C 12 καυχήσεται V Dav.: ἐγκαυχήσεται C (cf. Plat. Soph. p. 235 C) 13 εἴρηται] p. 63,25 14 ὁ Πλάτων] cf. Phileb. p. 17 E Polit. p. 262 B 17 τῆς om. C 19 κακοῦ μαγείρου] cf. Plat. Phaedr. p. 265 E δίκην] δίκειν C 22 θῆλυ] θύλη C 23. 24 διέλῃς et προέλθῃς V 23 ζῶν V 24 τὸ om. V 25 πρᾶξις κϛ′ addidi 28 τῷ] τὸ C 28. 29 διὰ τούτων om. V 29 ὅρισται C

p. 6,12 Τὰ δὲ εἰδικώτατα ἐν ἀριθμῷ μέν τινι, οὐ μὴν ἀπείρῳ.

Καὶ ἐνταῦθα διὰ τοῦ εἰπεῖν ἐν ἀριθμῷ μέν τινι | ἐδήλωσεν ὅτι 79r τῇ φύσει ἔγνωσται, διὰ δὲ τοῦ εἰπεῖν οὐ μὴν ἀπείρῳ ὅτι ἡμῖν ἄγνωστα.

p. 6,12 Τὰ δὲ ἄτομα, ἅπερ ἐστὶ μετὰ τὰ εἰδικώτατα.

5 Καὶ ἐνταῦθα διὰ τούτου ἐδήλωσεν ὅτι οὔτε τῇ φύσει οὔτε τῇ γνώσει ἡμῶν ὥρισται τὰ ἄτομα.

p. 6,13 Διὸ ἄχρι τῶν εἰδικωτάτων ἀπὸ τῶν γενικωτάτων κατιόντας παρεκελεύετο ὁ Πλάτων παύεσθαι.

Ἐνταῦθα δηλοῖ τὸ πρῶτον διαιρετικὸν παράγγελμα τὸ λέγον δεῖν τὰς 10 διαιρέσεις ἀπὸ τῶν γενικωτάτων μέχρι τῶν εἰδικωτάτων προάγειν καὶ μὴ ἅπτεσθαι τῶν ἀτόμων. ἡ μέντοι σύνταξις καθ' ὑπέρβατόν ἐστιν.

p. 6,15 Κατιέναι δὲ διὰ τῶν διὰ μέσου.

Πάλιν τὸ δεύτερον δηλοῖ διαιρετικὸν παράγγελμα τὸ λέγον ὅτι οὐ δεῖ ὑπερβάθμιον πόδα τείνειν καὶ ἀπὸ τῶν γενικωτάτων ἔρχεσθαι ἐπὶ τὰ εἰδι-15 κώτατα ὑπερβαίνοντα τὰ μέσα.

p. 6,15 Διαιροῦντας ταῖς εἰδοποιοῖς διαφοραῖς.

Ἐνταῦθα τὴν τρίτην ἐσήμανε διαιρετικὴν μέθοδον τὴν λέγουσαν συμβεβηκυίαις διαφοραῖς μὴ τέμνειν τὰ καθόλου, ἀλλ' οὐσιώδεσιν.

p. 6,16 Τὰ δὲ ἄτομά φησιν ἐὰν.

20 Τὸ ἄτομον πολλὰ σημαίνει· ἄτομον γὰρ ἢ τὸ δυσδιαίρετον, ὡς ἀδάμας, ἢ τὸ μὴ ἐπιδεχόμενον διαίρεσιν, ὡς τὸ σημεῖον, ἢ τὸ μικρότατον, ὡς ὁ κόκκος τῆς ψάμμου, ἢ τὸ μὴ σῳζόμενον ἐν τῇ διαιρέσει ἀλλὰ φθειρόμενον, ὡς εἴ τις τὸν Σωκράτην διέλοι ἐνεργείᾳ εἰς χεῖρας καὶ πόδας, καθ' ὃ σημαινόμενον νῦν δεῖ ἀκοῦσαι τὸ ἄτομον. |

---

4 μετὰ τὰ V: μετὰ C: τὰ μετὰ τὰ Porph. post εἰδικώτατα add. ἄπειρα V 5 καὶ om. C διὰ τούτου Marc. 201: διὰ τοῦτο CV 7. 8 κατιόντας Porph.: κατιόντα C: τὰ κατιόντα V (cf. v. 16) 8 post παύεσθαι add. καὶ μετὰ ὀλίγα τὰ δὲ ἄπειρα φησὶν ἐὰν V 9 δεῖν Marc. 201: δεῖ CV 13 τὸ δεύτερον — λέγον ὅτι Marc. 201: τὸ δεῦρο (?) δηλοῖ τὸ διαιρ. παράγγελμα τὸ λέγον ὅτι C: τὴν δευτέραν δηλοῖ διάθεσιν τὴν λέγουσαν V 15 τὰ Marc. 201: om. CV 17 διαιρετικὴν μέθοδον] τὴν τρίτην V 17. 18 συμβ. διαφ. μὴ τ. Marc. 201: συμβ. διαφ. τ. C[1]: οὐ δεῖ συμβ. διαφ. τ. C[2]V 18 οὐσιώδοις V 19 ἄτομα] ἄπειρα Porph. ἐὰν om. V 20 σημένει V 21 σμικρότατον V 22 κόκος C φθειρούμενον V 23 διέλη V 23. 24 σημαῖνον V

⟨Πρᾶξις κζ′⟩.

p. 6,16 Κατιόντων μὲν οὖν εἰς τὰ εἰδικώτατα ἀνάγκη διαιροῦν- 79v
τας διὰ πλήθους ἰέναι, ἀνιόντων δὲ εἰς τὰ γενικώτατα ἀνάγκη
συναιρεῖν τὸ πλῆθος.

5 Ὑποσχόμενος ὁ Πορφύριος δύο παραδείγμασιν ὑποβάλλειν τὰ γενικώτατα καὶ ὑπάλληλα καὶ εἰδικώτατα, ἑνὶ μὲν ἀπὸ τῶν κατηγοριῶν ἑτέρῳ δὲ ἀπὸ τῶν γενεαλογιῶν, δείξας ὅτι οὐχ ὥσπερ ἐπὶ τῶν γενεαλογιῶν εἰς ἕνα ἀνάγεται τὸν Δία, οὕτως καὶ ἐπὶ τῶν κατηγοριῶν δυνατόν, ἐπειδὴ οὐ γένος τῶν κατηγοριῶν τὸ ὄν (διὰ δὲ τοῦ ἀπὸ τῶν κατηγοριῶν τέσσαρά τινα λο-
10 γικὰ προβλήματα ἐξητάσαμεν), ἐνταῦθα οὖν ἐπὶ τῆς παρούσης θεωρίας μέχρι πέρατος τῶν περὶ τοῦ εἴδους λόγων τέσσαρά τινα λογικὰ θεωρήματα ζητεῖ· πρῶτον μὲν ὅτι τεσσάρων ὄντων γενικωτάτων ὑπαλλήλων εἰδικωτάτων καὶ ἀτόμων καὶ δύο ἄκρων ἐν τούτοις θεωρουμένων, γενικωτάτων καὶ ἀτόμων, δύο ἔξεστί σοι ὁδοὺς βαδίζειν, τὴν μὲν ἀπὸ τῶν γενικωτάτων
15 ἐπὶ τὰ ἄτομα τὴν δὲ ἀπὸ τῶν ἀτόμων ἐπὶ τὰ γενικώτατα, καὶ ὄνομα τῇ μὲν τῶν ὁδῶν κάθοδος τῇ δὲ τῶν ὁδῶν ἄνοδος, καὶ ἔοικεν ἡ μὲν κάθοδος τῇ ἀπὸ μονάδος ἐπὶ δεκάδα, ἡ δὲ ἄνοδος τῇ ἀπὸ δεκάδος ἐπὶ μονάδα· ἡ μὲν γὰρ κάθοδος τὸ ἓν πολλὰ ποιεῖ, ἡ δὲ ἄνοδος τὰ πολλὰ ἓν ποιεῖ. καὶ ἄμεινον τὰ πολλὰ ἓν ποιεῖν ἢ τὸ ἓν πολλά, ἐπειδὴ καὶ τὸ συνιστᾶν τοῦ
20 διαιρεῖν πολὺ ἄμεινον καὶ τὸ σώζειν τοῦ φθείρειν, ὡς δηλοῦσι καὶ οἱ ἅμα σταθμιζόμενοι | χρυσοῖ πλείονα ὁλκὴν εἰσάγοντες τῆς ἀπὸ ἑκάστου ἰδίας 80r συναγομένης ὁλκῆς. τὸ μὲν τὸ πρῶτον. δεύτερον ὅτι τεσσάρων ὄντων γενικωτάτων ὑπαλλήλων εἰδικωτάτων καὶ ἀτόμων τὸ μὲν γενικώτατον μοναχῶς κατηγορεῖται, τὸ δὲ ἄτομον μοναχῶς ὑπόκειται, τὰ δὲ μέσα καὶ
25 κατηγορεῖται καὶ ὑπόκειται. καὶ τὸ μὲν γενικώτατον τριχῶς κατηγορεῖται, ὑπαλλήλων εἰδικωτάτων καὶ ἀτόμων, τὸ δὲ ἄτομον τριχῶς ὑπόκειται, εἰδικωτάτῳ ὑπαλλήλῳ καὶ γενικωτάτῳ, τὰ δὲ μέσα κατηγορεῖται καὶ ὑπόκειται, ἀλλ' οὐχ ὁμοίως· τὰ μὲν γὰρ ὑπάλληλα μοναχῶς ὑπόκειται (τοῖς γενικωτάτοις γὰρ μόνον), διχῶς δὲ κατηγορεῖται (εἰδικωτάτων γὰρ καὶ ἀτόμων),
30 τὰ δὲ εἰδικώτατα πᾶν τοὐναντίον διχῶς μὲν ὑπόκειται (γενικωτάτοις γὰρ καὶ ὑπαλλήλοις), μοναχῶς δὲ κατηγορεῖται· ἀτόμων γὰρ μόνον. τοῦτο δεύτερον. τρίτον ὅτι τεσσάρων ὄντων, ὡς εἴρηται, γενικωτάτων ὑπαλλήλων

1 πρᾶξις κζ′ inserui 2 εἰς τὰ] ἐπὶ τὰ C: εἰς V (cf. v. 3) 3 πλήθους] πάθους V εἰς] ἐπὶ C 4 συνερεῖν V 5 ὑποσχόμενος — τὸ γενικώτατον (p. 76,23) om. V ὑποβάλλειν Marc. 201: ὑποβαλεῖν (sed altera λ eras.) C (cf. p. 67,6) 6 ἑτέρῳ Marc. 201: ἕτερον C 8 an τὸν Δία ⟨ἡ ἀρχή⟩? δυνατῶν C[1] 13 καὶ ἀτόμων Marc. 201: ἀτόμων C (cf. v. 23. 32) 17 δεκάδα Marc. 201: δέκα C 18 ἡ δὲ ἄνοδος — ποιεῖ Marc. 201: om. C 19 ποιεῖν] ποιεῖ C[1] 20 πολὺ Marc. 201: om. C 21. 22 ἰδίας συναγομένης Marc. 201: ἰδίας ἀγομένης C: malim ἰδίᾳ εἰσαγομένης 24 καὶ Marc. 201: om. C

εἰδικωτάτων καὶ ἀτόμων, τὸ μὲν γενικώτατον καὶ ὑπάλληλον καὶ εἰδικώτατον ὑπεγράφη, τὸ δὲ ἄτομον οὐχ ὑπεγράφη. διὸ νῦν καὶ τὸ ἄτομον ὑπογράφει λέγων οὕτως· ἄτομόν ἐστιν τὸ ἐξ ἰδιοτήτων συστάν, ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου ποτὲ τὸ αὐτὸ γένοιτο, ὥσπερ καὶ 5 αἱ ἰδιότητες τοῦ Σωκράτους τὸ Ἀθηναῖον εἶναι, τὸ Σωφρονίσκου υἱόν, τὸ φιλόσοφον, τὸ προκοίλιον, τὸ σιμόν, τὸ φαλακρόν· ταῦτα γὰρ πάντα ἅμα ἄλλῳ ὑπάρξαι οὐ δύνανται. εἰ δὲ ἐρεῖς ὅτι 'καὶ ἄλλῳ δύνανται ταῦτα ὑπάρξαι· τί γὰρ | ἄτοπον; οὐ δήπου καὶ τὸ ἐν αὐτῷ τῷ τόπῳ ἑστάναι· ἓν γὰρ 80v ὂν τῶν συμβεβηκότων τῷ Σωκράτει οὐ δύναται καὶ ἄλλῳ ὑπάρξαι, ἵνα οἱ 10 δύο ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἐν τῷ αὐτῷ τόπῳ σταῖεν, ἵνα μὴ χωρήσῃ σῶμα διὰ σώματος. τοῦτο τρίτον. τέταρτον ὅτι τεσσάρων ὄντων γενικωτάτων ὑπαλλήλων εἰδικωτάτων ἀτόμων τὸ μὲν γενικώτατον μόνως ὅλον, τὸ δὲ ἄτομον μόνως μέρος, τὰ δὲ μέσα ὅλα καὶ μέρη, ὅλα μὲν τῶν ὑποκάτω μέρη δὲ τῶν ἐπάνω, καὶ ὅτι τὸ μὲν ὅλον μερῶν ὅλον καὶ οὐ μέρους 15 (πολλὰ γὰρ τὰ μέρη, εἴ γε τὸ διαιρούμενον τοὐλάχιστον εἰς δύο διαιρεῖται), τὰ δὲ μέρη ὅλου μέρη· ἓν γὰρ τὸ ὅλον. ταῦτα ἔχει ἡ θεωρία. δεῖ δὲ εἰδέναι ὅτι τινὲς τῶν ἀρχαιοτέρων τὴν μὲν διαίρεσιν τὴν ἐκ γένους τοῦ γενικωτάτου μέχρις ἀτόμων γινομένην διαίρεσιν συνθετικὴν ἐκάλεσαν, τὴν δὲ ἐξ ἀτόμων μέχρι τοῦ γενικωτάτου γένους χωροῦσαν συναίρεσιν ἀναλυτι-20 κὴν προσηγόρευσαν· ἀπὸ γάρ, φασίν, ἁπλοῦ κατ' ἐνέργειαν τοῦ γένους τοῦ γενικωτάτου χωρεῖ ἡ διαιρετικὴ συνθετικὴ ἐπί τι σύνθετον κατ' ἐνέργειαν πρᾶγμα τὸν Σωκράτη, ἀπὸ δὲ τοῦ κατ' ἐνέργειαν συνθέτου Σωκράτους ἀνάγεται ἡ ἀναλυτικὴ ἐπί τι ἁπλοῦν κατ' ἐνέργειαν τὸ γένος τὸ γενικώτατον.

25 ## ⟨Πρᾶξις κη'⟩.

Περὶ διαφορᾶς. |

p. 8,8 **Διαφορὰ δὲ κοινῶς ⟨τε καὶ ἰδίως⟩ καὶ ἰδιαίτατα λεγέσθω.** 81r

Μετὰ τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα ἔλθωμεν καὶ ἐπὶ τὰ ἐν τῷ

---

1 post γενικώτατον add. ὑπαλλήλων εἰδικωτάτων καὶ ἀτόμων τὸ μὲν γενικώτατον C: om. Marc. 201 2 ὑπεγράφη (utrobique) Marc. 201: ὑπογράφη C 3 συστάν Marc. 201: συνιστάν C 5 αἱ (ante ἰδιότητες) Marc. 201: om. C 6 τὸ (ante σιμὸν et φαλακρόν) Marc. 201: om. C 9 ὂν τῶν Marc. 201: ὄντων 10 σταῖεν Marc. 201: ἱσταῖεν C 13 μέρει (alt. l.) C[1] 15 διερεῖται C 16 alt. δὲ Marc. 201: om. C 17 ἀρχειοτέρων (αι superscr.) C 20 προσαγόρευσαν C φασιν scripsi: φησι compend. C: om. Marc. 201 25 πρᾶξις κη' inserui 26 περὶ διαφορᾶς — τὴν κοινῶς (p. 78,16)] horum loco ἡ κοινῶς διαφορὰ ἢ ταῖς ἡλικίαις πῶς μετρεῖται ἡ ἰδίως διαφορὰ ἢ ἀορίστως ἡ διαφορὰ ἢ συντίκτεται τῷ ἔχοντι πράγματι ἢ ὕστερον ἐπιγίνεταί τινι ἢ χωριστὴ καὶ ποιεῖ τὴν κοινῶς ἢ ἀχώριστος ἢ διαιρετική ἐστιν ἢ συστατικὴ ἢ οὐσιώδης καὶ ποιεῖ τὴν ἰδιαίτατα ἢ ἐπουσιώδης καὶ ποιεῖ τὴν ἰδίως (cf. p. 78,3 sq.) exhibet V 27 τε καὶ ἰδίως inserui

ποῖόν τί ἐστι κατηγορούμενα, τοῦτ᾽ ἔστι μετὰ τὸ γένος καὶ τὸ εἶδος ἔλθωμεν καὶ ἐπὶ τὴν διαφορὰν καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκός. ἢ καὶ ἄλλως· μετὰ τὰ ἄκρα, φημὶ γένος καὶ εἶδος, ἔλθωμεν καὶ ἐπὶ τὴν μέσην τούτων διαφοράν· μέση γὰρ τούτων ἡ διαφορὰ ὡς τὸ μὲν γένος διαιροῦσα, τὸ δὲ
5 εἶδος συμπληροῦσα. καὶ ἔχομεν διὰ μὲν τοῦ πρώτου τὴν τάξιν τῶν πέντε, γένους εἴδους διαφορᾶς ἰδίου καὶ συμβεβηκότος (προηγεῖται γὰρ ἀεὶ τὸ τί ἐστι τοῦ ὁποῖόν τί ἐστι), διὰ δὲ τοῦ ἑτέρου τὴν τάξιν τῶν τριῶν, εἴδους καὶ γένους καὶ μέσης τούτων τῆς διαφορᾶς. ἀλλ᾽ ἐπεὶ καὶ ἡ διαφορὰ ὁμώνυμος φωνή ἐστιν (ἐν γὰρ ταῖς δέκα κατηγορίαις θεωρεῖται), εἴπωμεν κἀν-
10 ταῦθα τῷ ἀνωτέρω κανόνι χρώμενοι πρῶτον μὲν τὰ σημαινόμενα, δεύτερον περὶ ποίου σημαινομένου ὁ λόγος, τρίτον ὑπογραφῆς ἀξιώσομεν τοῦτο τὸ σημαινόμενον.

῾Η διαφορὰ τοίνυν τριχῶς. καὶ λέγομεν ὅτι εὐλόγως, ἐπειδὴ πάντα τὰ ὄντα ἢ οὐσία ἢ συμβεβηκός, τὸ δὲ συμβεβηκὸς διττόν, ἢ ἀχώριστον ἢ
15 χωριστόν· τὰ μὲν οὖν τῷ χωριστῷ συμβεβηκότι διαφέροντα τῇ κοινῶς διαφορᾷ λέγονται διαφέρειν, ὡς τὸ καθέζεσθαι τοῦ ἑστάναι, τὰ δὲ τῷ ἀχωρίστῳ συμβεβηκότι διαφέροντα τῇ ἰδίως διαφορᾷ λέγονται διαφέρειν, ὡς τὸ σιμὸν τοῦ γρυποῦ, τὰ δὲ τῇ οὐσίᾳ διαφέροντα τῇ ἰδιαίτατα διαφορᾷ διαφέρουσιν, ὡς τὸ λογικὸν καὶ ἄλογον. ἐφ᾽ οἷς τούτων οὕτως ἐχόντων εἴ-
20 πωμεν δι᾽ ἣν αἰτίαν τοιούτων ἔτυχον ὀνομάτων καὶ ἡ μὲν λέγεται κοινῶς, ἡ δὲ ἰδίως, | ἡ δὲ ἰδιαίτατα. καὶ λέγομεν ὅτι ἡ κοινῶς διαφορὰ εἴρηται 81v διὰ τοιαύτην αἰτίαν, ἐπειδὴ ἐνδέχεται τὰ ἀντικείμενα ἐνεργείᾳ τῷ αὐτῷ ὑποκειμένῳ ὑπάρξαι, ὡς τὸ καθέζεσθαι καὶ τὸ ἑστάναι τῷ Σωκράτει, εἰ καὶ μὴ κατὰ τὸν αὐτὸν χρόνον. ἰδίως δὲ διαφορὰ εἴρηται διὰ τὸ μὴ δύ-
25 νασθαι ἐνεργείᾳ ὑπάρξαι τῷ αὐτῷ τὰ ἀντικείμενα κατὰ τὸν αὐτὸν χρόνον μήτε ἐν ἄλλῳ χρόνῳ, ὡς τὸ σιμὸν καὶ τὸ γρυπόν· οὔτε γὰρ ὁ γρυπὸς σιμός ποτε γίνεται οὔτε ὁ σιμὸς γρυπὸς χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. καλῶς δὲ εἴρηται καὶ τὸ ἐνεργείᾳ· ἐπινοίᾳ γὰρ ἐνδέχεται τὰ ἀντικείμενα ὑπάρξαι τινί, καθά φησι καὶ αὐτὸς ὁ Πορφύριος ὅτι ‛δύναται
30 ἐπινοηθῆναι κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβάλλοντες τὴν χροιὰν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου᾽ διὰ τὸ μηδὲν εἰς τὴν οὐσίαν τοῦ πράγματος συντείνειν τὸ χρῶμα. ἰδιαίτατα δὲ εἴρηται διαφορὰ διὰ τὸ μηδὲ ἐπινοίᾳ μηδὲ ἐνεργείᾳ δύνασθαι συστῆναι τὰ ἀντικείμενα ἐν ἑνὶ ὑποκειμένῳ· τὸ γὰρ λογικὸν οὐκ ἐπινοεῖται ἄλογον ἢ τὸ ἄλογον λογικόν. ἰδιαίτατα δέ ἐστι τὸ
35 ἐπιτεταμένον ἰδίως. αὕτη πρώτη αἰτία τοῦ τριττοῦ εἴδους τῆς διαφορᾶς.

---

3 γένος καὶ εἶδος Marc. 201: γένους καὶ εἴδους C 4 δὲ Marc. 201: om. C 7 pr. τοῦ Marc. 201: τὸ C 7. 8 γένους καὶ εἴδους collocandum videtur 10 ἀνωτέρω] p. 51,22 11 σημαινομαίνου C 14 τὸ δὲ συμβεβηκὸς in mrg. suppl. C² 16 τὸ Marc. 201: τοῦ C 17 τῇ ex τί corr. C² 18 σιμὸν ex σημὸν corr. C² 23 ante ἑστάναι III fere litt. erasae C 25 post ἀντικ. addas μήτε 26 γρυπτόν C οὔτε Marc. 201: οὐδὲ C 29 ὁ Πορφύριος] p. 13,1 30 συστῆναι] ante ναι II litt. erasae C 34 ἐπινοεῖτε C¹ ἄλλογον (utrobique) C 35 ἐπιτεταμένον Marc. 201: ἐπιτεταμένος C¹: ἐπιτεταμένως C² πρότη C τριττοῦ scripsi: τρίτου C

δευτέρα τοιαύτη αἰτία, ὅτι ἡ διαφορὰ ἢ ἀλλοποιός ἐστιν ἢ ἀλλοιοποιός, καὶ εἰ μὲν ἀλλοποιός, ποιεῖ τὴν ἰδιαίτατα (τὰ γὰρ τῇ οὐσίᾳ διαφέροντα ἄλλα καὶ οὐκ ἀλλοῖα λέγονται), ἡ δὲ ἀλλοιοποιὸς ἢ χωριστή ἐστι καὶ ποιεῖ τὴν κοινῶς, ἢ ἀχώριστος καὶ ποιεῖ τὴν ἰδίως· | τὰ γὰρ συμβεβηκότι δια- 82v
5 φέροντα, οἷον σχήμασιν ἢ ἐσθῆτι, ἀλλοῖα. διὸ καὶ ὁ ποιητὴς καὶ περὶ τοῦ Ὀδυσσέως μεταμφιεσαμένου τὴν ἐσθῆτα λέγει·

ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἢ τὸ πάροιθεν.

διαφέρει δὲ αὕτη ἡ αἰτία τῆς πρώτης, ὅτι ἡ μὲν πρώτη εἰς οὐσίαν καὶ συμβεβηκὸς διεῖλεν, αὕτη δὲ εἰς οὐσιῶδες καὶ ἐπεισοδιῶδες· ἄλλο δὲ οὐσία
10 καὶ ἄλλο οὐσιῶδες, ὥσπερ ἄλλο συμβεβηκὸς καὶ ἄλλο κατὰ συμβεβηκός· οὐσιώδης μὲν γὰρ ἡ τοῦ πυρὸς θερμότης, οὐσία δὲ οὐκ ἔστιν. πάλιν δὲ ἐνδέχεται καὶ οὐσίαν κατὰ συμβεβηκὸς ὑπάρξαι, ὥς φησιν ἐν Κατηγορίαις Ἀριστοτέλης, ὅτι συνέβη τῷ δεσπότῃ καὶ ἄνθρωπον αὐτὸν εἶναι. λέγεται οὖν καὶ οὐσία κατὰ συμβεβηκὸς μὴ οὖσα συμβεβηκός. αὕτη ἡ δευτέρα
15 αἰτία. τρίτη αἰτία, ὅτι ἡ διαφορὰ ἢ χωριστὴ ἢ ἀχώριστος, καὶ εἰ μὲν χωριστή, ποιεῖ τὴν κοινῶς, εἰ δὲ ἀχώριστος, ἢ ἐπεισοδιώδης καὶ ποιεῖ τὴν ἰδίως, ἢ οὐσιώδης καὶ ποιεῖ τὴν ἰδιαίτατα. διαφέρει δὲ καὶ αὕτη τῶν πρώτων δύο, ὅτι ἐκεῖναι ἀπὸ ἑνὸς σκέλους κατάγουσι τὴν κοινῶς καὶ ἰδίως (καὶ εὐλόγως, ἐπειδὴ κοινὸν αὐτῶν τὸ συμβεβηκός), αὕτη δὲ ἀπὸ ἑνὸς
20 σκέλους τὴν ἰδίως καὶ ἰδιαίτατα κατάγει· κοινὸν γὰρ ἔχουσι τὸ ἀχώριστον.

Ἀλλ' οὐ μέχρι τούτων τὰ σημαινόμενα τῆς διαφορᾶς· καὶ ἡ κοινῶς γὰρ διαφορὰ ἐπιδιαιρεῖται καὶ αἱ λοιπαὶ ὁμοίως. καὶ ἡ μὲν κοινῶς οὕτως· ἢ γὰρ ταῖς ἡλικίαις παραμετρεῖται, ὡς τὸ βατταρίζειν καὶ γενειάσκειν καὶ ἡβάσκειν, ἢ ἀορίστως ὑπάρχει καὶ οὐ συμπαραμετρεῖται ταῖς ἡλικίαις, ὡς
25 τὸ λευκαίνεσθαι | καὶ μελαίνεσθαι. ἀλλὰ καὶ ἡ ἰδίως· ἢ γὰρ συντίκτεται 82v τῷ πράγματι, ὡς γρυπότης καὶ σιμότης, ἢ ὕστερον ἐπιγίνεται, ὡς οὐλὴ ἐκ τραύματος ἐνσκιρωθεῖσα, οἵα ἡ τοῦ Ὀδυσσέως, δι' ἧς ἐπέγνω αὐτὸν ἡ Εὐρύκλεια. ἀλλὰ καὶ ἡ ἰδιαίτατα διαφορὰ ἐπιδιαιρεῖται· ἢ γὰρ διαιρετική ἐστιν ἢ συστατική, διαιρετικὴ μὲν ἡ διαιροῦσα τὸ γένος, συστατικὴ δὲ ἡ
30 ποιοῦσα τοὺς ὁρισμούς. μετὰ οὖν τὸ γνῶναι ἡμᾶς τὰ σημαινόμενα εἴπω-

---

1 ὅτι Marc. 201: eras. C 3 ἀλλοῖα] post οι VII litt. eras. C 4 συμβεβηκότι scripsi: συμβεβηκὸς C: κατὰ συμβεβηκὸς Marc. 201 5 ὁ ποιητὴς] Hom. π 181 6 ὀδυσέως C μεταμφιασμένου C ante τὴν additum ὡς ποι del. C 7 ἢ τὸ] ἠὲ Hom. Amm. p. 94,24 9 διῆλεν C ἐπισοδιώδης C[1] 9. 10 ἄλλο — οὐσιῶδες Marc. 201: om. C 10 συμβεβηκός (alt. l.) Marc. 201: συμβεβηκότος C 12 ἐν Κατηγορίαις] c. 5 p. 2ª 11 sq. 13 ἄνθρωπον αὐτὸν Marc. 201: ἄνθρωπος αὐτὸς C 15 εἰ] ἢ V 16 ἢ (post ἀχώριστος) om. V ἐπισοδιώδης C[1]: ἐπουσιώδης V 18 ante ἑνὸς add. τοῦ C (cf. v. 19) 19 κοινῶν C 21 σημενόμενα C[1] γὰρ om. V 22 οὗτος C 23 ἢ ὡς τὸ βατ. γεν. (καὶ om.) V γενειάσκειν (sed prius ει superscr. m.[2]) C: γενιάσκειν V 23. 24 καὶ ἡβάσκειν] ἢ βάσκειν V 25 λευκαίνεσθαι] λευκένεσθαι C: λευκεύνεσθαι V μελάνεσθαι (αἱ superscr.) V ἡ om. V 26 τῷ πράγματι — ἐπιγίνεται om. V 27 τράματος (ex πράγματος corr.) C ἐνσκηρωθεῖσα C: ἐγκιρρωθεῖσα V 28 ἡ om. C 29 ἢ συστ.] ἢ οὐ συστ. (sed. οὐ del.) V 30 τὸ] τοῦ V τὰ σημαινόμενα τῆς διαφορᾶς δεῖ εἰπεῖν καὶ V εἴπομεν C[1]

μεν περὶ ποίου σημαινομένου ἐστὶ τῷ φιλοσόφῳ ὁ λόγος. καὶ λέγομεν ὅτι οὐδὲ περὶ τῆς κοινῶς οὐδὲ περὶ τῆς ἰδίως σκοπὸν ἔχει διαλαβεῖν, ἀλλὰ περὶ τῆς ἰδιαίτατα, καὶ ταῦτα περὶ ὅλων αὐτῆς τῶν εἰδῶν καὶ τῶν διαιρετικῶν καὶ τῶν συστατικῶν· δεόμεθα γὰρ τῶν μὲν διαιρετικῶν εἰς τὰς τῶν
5 γενῶν διαιρέσεις, τῶν δὲ συστατικῶν εἰς τοὺς ὁρισμούς. ταῦτα μὲν περὶ τοῦ σημαινομένου. ὅπως δὲ τοῦτο καὶ ὑπογραφῆς ἀξιοῖ, ἡ ἑξῆς θεωρία παραστήσει.

⟨Πρᾶξις κθ′⟩.

p. 8,8 Διαφορὰ δὲ κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα λεγέσθω.

10 Καλῶς εἶπε λεγέσθω· αὐτοῦ γάρ εἰσι τὰ ὀνόματα, τὸ κοινῶς καὶ ἰδίως καὶ ἰδιαίτατα· ἐν γὰρ τῇ Τοπικῇ πραγματείᾳ, ἧς τόδε τὸ βιβλίον συναγωγή, οὐ μέμνηται Ἀριστοτέλης τούτων τῶν ὀνομάτων· ὅπου δὲ κεῖνται παλαιὰ ὀνόματα, κέχρηται αὐτοῖς ὁ Πορφύριος λέγων οὕτω ‘λέγονται’ καὶ ‘λέγουσιν’ ἀντὶ τοῦ ἐκεῖ. |

15 p. 9,16 Καὶ αἱ μὲν καθ’ αὐτὸ οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον, αἱ δὲ κατὰ συμβεβηκός, κἂν ἀχώριστοι ὦσιν, ἐπίτασιν λαμβάνουσι. 83v

Διακρίνας ὁ Πορφύριος τὰ τρία εἴδη τῆς διαφορᾶς, τὴν κοινῶς καὶ ἰδίως καὶ ἰδιαίτατα, καὶ ὡς τρία διακρίνας αὐτά, νῦν καὶ ὡς δύο διακρίνει τὴν
20 κοινῶς καὶ ἰδίως ἀπὸ τῆς ἰδιαίτατα, τοῦτ’ ἔστι διακρίνει τὰς ἐν τῇ συνηθείᾳ ἀπὸ τῶν κατὰ φιλοσοφίαν, καί φησιν ὅτι ἄλλαι εἰσὶν αἱ κοινῶς καὶ ἰδίως καὶ ἄλλαι αἱ ἰδιαίτατα, διότι αἱ κοινῶς καὶ ἰδίως τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχονται (λέγομεν γὰρ μᾶλλον λευκὸν καὶ ἧττον λευκόν, καὶ ἔστι κοινῶς διαφορά· χωρίζεται γάρ· ἀλλὰ καὶ αἱ ἰδίως ἐπιδέχονται τὸ
25 μᾶλλον καὶ ἧττον· λέγομεν γὰρ μᾶλλον γρυπὸν καὶ ἧττον καὶ μᾶλλον σιμὸν καὶ ἧττον, καὶ ἔστιν ἰδίως διαφορά· ἀχώριστος γὰρ ἡ γρυπότης καὶ ἡ σιμότης), αἱ δὲ ἰδιαίτατα τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχονται· οὐδὲ γὰρ λέγομεν μᾶλλον λογικὸν καὶ ἧττον, εἰ καὶ μᾶλλον ἐλλόγιμον, ἐπειδὴ τὸ μὲν τῆς ἐνεργείας τὸ ἐλλόγιμον, τὸ δὲ τῆς οὐσίας ἢ ὑπάρξεως, τὸ δὲ

1 ὁ om. V 3 ταῦτα scripsi: ταύτης CV ὅλων αὐτῆς] ὅλου αὐτῶν C: τῶν ὅλων αὐτῆς V post εἰδῶν add. αὐτῶν C 6 ante τοῦ σημ. add. τούτου V καταξιοῖ C ἑξῆς] ἔξω C 6 πρᾶξις κθ′ inserui 9 δὲ superscr. C 10 καλῶς] κοινῶς V 11 τοπικῇ] τὸ πλῆθος V ἧς] εἰ V τὸ om. V συναγωγόν V 12 τῶν] τὸ V δὲ] γὰρ V παλαιὰ] πάλιν V 14 ἐκεῖ scripsi: ἐκεῖνοι CV 15 καθ’ αὑτὰς Porph. 16 τὸ ἧττον Porph. κἂν] καὶ C ἀναχώριστοι C ἐπίτασι C 18. 19 καὶ ἰδίως] τὴν ἰδίως V 20 τὰς] τὰ C 22 αἱ (ante ἰδιαίτατα) om. C alt. τὸ om. V 24 κοινὸς C αἱ om. C ἐπιδέχεται C 26 ἔστιν ἡ ἰδίως διαφορὰ ἀχώριστος· ἀχώριστος γὰρ V 27 ἰδιαίταται C τὸ (ante ἧττον) om. V ἐπιδέχεται V 28. 29 ἐπειδὴ — ἐλλόγιμον om. V 29 δὲ (ante τῆς οὐσίας) om. V

εἶναι λογικοῖς πᾶσι τὸ αὐτὸ ὑπάρχει ἐπίτασιν καὶ ἄνεσιν μὴ ἐπιδεχόμενον. εἰ οὖν αἱ μὲν ἐπιδέχονται τὸ μᾶλλον | καὶ τὸ ἧττον, αἱ δὲ οὐκ ἐπιδέχονται, οὔκ εἰσιν αἱ αὐταί. ἔνστασις πρὸς ταῦτα, ὅτι ψευδὴς ὁ λόγος· καὶ αἱ ἰδιαίτατα γὰρ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχονται καὶ 5 αἱ κοινῶς καὶ ἰδίως τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχονται· ἰδοὺ γὰρ τὸ σχῆμα τὸ ἐν τῷδε τῷ ἱμάντι, τρίγωνον εἰ τύχοι, κοινῶς ὂν διαφορά (χωρίζεται γὰρ χωρὶς φθορᾶς τοῦ ὑποκειμένου καὶ μένει ὁ ἱμὰς ἱμάς), μᾶλλον τρίγωνον ἢ ἧττον τρίγωνον οὐ λέγεται· εἰ γὰρ καὶ μέγα τρίγωνον καὶ μεῖζον λέγεται, ἀλλ' οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον· ἄμφω γὰρ 10 τρίγωνά εἰσι. δεῖ δὲ εἰδέναι ὅτι τὸ μᾶλλον καὶ ἧττον θεωρεῖται οὐδὲ ἐν οἷς ὁ ὁρισμὸς πάντῃ ὁ αὐτός ἐστιν, ὡς ἐπὶ δύο τριγώνων, οὐδὲ ἐν οἷς πάντῃ ὁ ὁρισμὸς ἕτερος, ὡς ἐπὶ τριγώνου καὶ κύκλου, ἀλλ' ἐν οἷς πῇ ὁ αὐτὸς καὶ πῇ ἕτερος, ὡς ἐπὶ λευκοῦ· λευκὸν γάρ ἐστι χρῶμα διακριτικὸν ὄψεως, ἔστι δὲ μᾶλλον διακρίνειν καὶ ἧττον. ἀλλὰ καὶ ἐπὶ τῆς ἰδίως οὐκ ἔστι τὸ 15 μᾶλλον καὶ ἧττον· ἰδοὺ γὰρ Ἀθηναῖος καὶ υἱὸς Σωφρονίσκου λέγεται ἐν τῇ ἰδίως διαφορᾷ, ἐπειδὴ ἀχώριστα ταῦτα, καὶ οὐ λέγομεν μᾶλλον υἱὸν Σωφρονίσκου ἢ μᾶλλον Ἀθηναῖον. πάλιν δὲ ἐπὶ τῆς ἰδιαίτατα ἐδείξαμεν τὸ μᾶλλον καὶ ἧττον· τὸ γὰρ διακριτικὸν τοῦ λευκοῦ καὶ τὸ συγκριτικὸν τοῦ μέλανος ἰδιαίτατα ὄντα διαφοραί, τὸ μὲν τοῦ λευκοῦ τὸ δὲ τοῦ μέλα-20 νος, ὁμοίως ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον· λέγομεν γὰρ μᾶλλον διακριτικὸν καὶ ἧττον καὶ μᾶλλον συγκριτικὸν καὶ ἧττον. αὕτη ἡ ἔνστασις. λύσις πρὸς ταῦτα | καὶ τέως πρὸς τὴν τελευταίαν ἀπορίαν, ὅτι ὥσπερ τὸ λευκὸν ὡς μὲν εἶδος τοῦ χρώματος τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται, ὡς δὲ ἐν τοιᾷδε ἢ τοιᾷδε ὕλῃ ὄν, ἐν σώματι φέρε εἰπεῖν ἢ ψιμυθίῳ, τὸ 25 μᾶλλον καὶ ἧττον ἐπιδέχεται, οὕτως καὶ τὸ διακριτικὸν καὶ τὸ συγκριτικὸν ὡς μὲν ἰδιαίτατα καὶ εἰδοποιοὶ διαφοραί, τὸ μὲν τοῦ λευκοῦ τὸ δὲ τοῦ μέλανος, οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον, ὡς δὲ ἐν τοιᾷδε ἢ τοιᾷδε ὕλῃ γενόμενα ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον· λέγομεν γὰρ μᾶλλον διακριτικὸν καὶ ἧττον. ἀλλὰ καὶ πρὸς τὴν ἀπορίαν τῆς κοινῶς 30 καὶ ἰδίως φαμὲν ὅτι εἰ καὶ μὴ πᾶσαι τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχονται αἱ κοινῶς καὶ ἰδίως διαφοραί, ἀλλ' οὖν πᾶσαι αἱ διαφοραὶ αἱ ἐπιδεχόμεναι τὸ μᾶλλον καὶ ἧττον συμβεβηκυῖαί εἰσιν, καὶ ἡ κοινῶς καὶ ἡ ἰδίως, οὐδεμία

84r … 84v (marginal folio marks)

---

1 ἐπίτασι C[1] 2 et 4 τὸ (ante ἧττον) om. V 3 ψεῦδος V 4 αἱ om. V γὰρ om. V 4. 5 καὶ αἱ κοινῶς — ἐπιδέχονται om. C 7 τοῦ] τὸ V ὁ ἱμὰς om. V 8 ante μᾶλλον add. καὶ C ἢ ἧττον τρίγωνον om. C 9 ἄμφω γὰρ] ἀμφότερα V 14 ἐπὶ τῆς ἰδίως] ἐπιτηδείως V 15 σωφρονίσκου υἱὸς colloc. V σοφρονίσκου C[1] 16 υἱὸν—μᾶλλον (17) om. V 18 συνκριτικὸν (sic) C: διακριτικὸν V 19 post μέλανος complurium litt. ras. C διαφοραί scripsi: διαφορά CV (cf. v. 26) 20. 21 καὶ ἧττον διακριτικὸν colloc. V 21 καὶ μᾶλλον — ἧττον om. V συνκριτικόν C 24 τοιῶδε (utrobique) V ψιμμυθίῳ V 25 alt. καὶ om. C 25. 26 τὸ συγκριτικὸν] συνκριτικόν C 28 post ἢ additum ἐν del. V 29 καὶ (post ἀλλὰ) om. C τῆς] τοῦ V κοινὸς C[1] 30 οὐκ ἐπιδέχονται V 31 οὖν] οὐ C αἱ διαφοραὶ αἱ om. V 32 ἡ (ante ἰδίως) om. V

δὲ ἰδιαίτατα διαφορὰ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται. οὐκ ἄρα εἰσὶν αἱ αὐταὶ αἱ κοινῶς καὶ ἰδίως ταῖς ἰδιαίτατα.

Οὕτως διακρίνας τὰς ἀπὸ τῆς συνηθείας τῶν ἀπὸ τῆς φιλοσοφίας, καὶ αὐτὰς τὰς κατὰ φιλοσοφίαν ἀπ' ἀλλήλων διακρίνει, φημὶ τὰς ἰδιαίτατα·
5 τῶν γὰρ ἰδιαίτατα αἱ μέν εἰσι διαιρετικαί, αἱ δὲ συστατικαί. διαφέρουσι δὲ καὶ ἀλλήλων αὗται, καὶ οὔκ εἰσιν αἱ αὐταὶ αἱ συστατικαὶ ταῖς διαιρετικαῖς, ἀλλὰ ἄλλαι καὶ ἄλλαι. εἰ δέ ποτε ἡ αὐτὴ καὶ συστατικὴ καὶ διαιρετικὴ εὑρεθῇ, ἀλλ' οὐ τοῦ αὐτοῦ πράγματος, ἀλλ' ἄλλου καὶ ἄλλου· οἷον τὸ λογικὸν καὶ διαιρετικὴ διαφορὰ καὶ συστατική, ἀλλ' οὐ τοῦ αὐτοῦ· διαιρετικὴ
10 μὲν γὰρ τοῦ ζῴου, συστατικὴ δὲ τοῦ ἀνθρώπου. πάλιν ἐὰν τὸ αὐτὸ πρᾶγμα ἔχῃ πλείονας διαφοράς, ἄλλαι καὶ ἄλλαι εἰσὶ καὶ οὐχὶ | αἱ αὐ- 85r ταί· τὸ γὰρ ζῷον ἔχει διαφορὰς πλείονας, τὸ αἰσθητικὸν τὸ ἔμψυχον τὸ λογικὸν καὶ τὸ θνητόν, ἀλλὰ τὸ μὲν αἰσθητικὸν καὶ ἔμψυχον συστατικαὶ αὐτοῦ εἰσι διαφοραί, τὸ δὲ λογικὸν καὶ θνητὸν διαιρετικαί. δεῖ οὖν συν-
15 τόμως εἰπεῖν ὅτι εἰ εὑρεθῇ ποτε ἡ αὐτὴ διαφορὰ καὶ διαιρετικὴ καὶ συστατική, οὐ τοῦ αὐτοῦ πράγματος εὑρεθήσεται, ἀλλ' ἄλλου μὲν διαιρετική, ἄλλου δὲ συστατική. εἰ δὲ τοῦ αὐτοῦ, οὐχ ἡ αὐτή, ἀλλ' ἄλλη καὶ ἄλλη. ἄλλη διάκρισις τῶν αὐτῶν τούτων· οὐ δύνανται αἱ αὐταὶ καὶ συστατικαὶ καὶ διαιρετικαὶ εἶναι· εἰ γὰρ αἱ αὐταί, ἔδει ὅπου εἰσὶν αἱ ἕτεραι καὶ τὰς
20 λοιπὰς εἶναι. ἀλλὰ μὴν οὐ πάντως ὅπου διαιρετικαί, καὶ συστατικαί· ἐπὶ γὰρ τῶν γενικωτάτων διαιρετικαὶ μέν εἰσι, συστατικαὶ δὲ οὔκ εἰσι. πάλιν ὅπου συστατικαί, οὐ πάντως διαιρετικαί· ἐπὶ γὰρ τῶν εἰδικωτάτων συστατικαὶ μέν εἰσι, διαιρετικαὶ δὲ οὔκ εἰσι. πρόσθες δὲ σὺ καὶ τοῦτο, ὅτι πᾶσα διαφορὰ καθ' ἑαυτὴν λαμβανομένη συστατική ἐστι, κἂν συμπλακῇ
25 ἑτέρᾳ τῇ μὴ ἀντικειμένῃ, ὡσαύτως μένει, οἷον τὸ λογικὸν καθ' ἑαυτὸ λαμβανόμενον συστατικὴ διαφορά ἐστι, κἂν προσλάβῃ τὸ μὴ ἀντικείμενον, οἷον τὸ θνητόν, συστατικὴ πάλιν εὑρίσκεται, εἰ δὲ συμπλακείη τῇ ἀντικειμένῃ, τοῦτ' ἔστι τῷ ἀλόγῳ, διαιρετικὴ γίνεται. πλὴν πᾶσαι καὶ αἱ διαιρετικαὶ καὶ συστατικαὶ εἰδοποιοὶ καλοῦνται, ἐπειδὴ κρεῖττον τὸ συνιστᾶν τοῦ διαι-
30 ρεῖν, ὅσῳ κρεῖττον τὸ σώζειν τοῦ φθείρειν· ἀπὸ οὖν τοῦ τιμιωτέρου οὕτω καλείσθωσαν, ὡς τὸ

Τεῦκρε, φίλη κεφαλή. |

---

1 τὸ ἧττον V 2 ταῖς om. V 3 διακρίνας] δὲ ἀκρίνας V 5 αἱ δὲ συστατικαί om. C 6 καὶ (ante ἀλλήλων) om. V αὗται καὶ οὔκ εἰσιν αἱ om. C αἱ (ante συστατικαὶ) om. V 9 διαιρετικὸν (pr. l.) et συστατικόν (superscr. utrobique η) V ἀλλ' οὐ] ἀλλὰ C διαιρετικὸν (alt. l.) V (superscr. η) 10 ante μὲν add. τῶν ἰδιαιτάτων διαφορῶν αἱ μέν εἰσι διαιρετικαί, αἱ δὲ συστατικαί· ἡ V δὲ om. V 11 ἔχῃ scripsi: ἔχει V: ambiguum compend. C αἱ om. V 14 αὐτοῦ om. V διαιρετὸν V 14. 15 συνδόμως V 15 εὑρηθῇ V καὶ διαιρετικὴ iter. C 17 pr. δὲ om. C οὐχ ἡ αὐτὴ scripsi: οὐχὶ αὐτὴ C: οὐχὶ αὐταὶ V 18 ἄλλη (ante διάκρισις)] ἡ V τῶν αὐτῶν τούτων] τούτου C 19 εἰσὶν] ἦσαν (sed in ras. m.²) C 22 ἰδικωτάτων C 23 καὶ σὺ colloc. V 26 συστατικὴ — προσλάβῃ om. C μὴ om. V 27 συστατικὸν V συμπλακείη] συμπλακίη C: συμπλακῇ V 28 ἀλόγῳ] λόγῳ V αἱ om. V 29 ante εἰδοποιοὶ add. καὶ V τοῦ] τὸ V 30 τὸ ζωσ σώζειν V 32 Τεῦκρε . . .] Hom. Θ 281

⟨Πρᾶξις λ′⟩. 85v

p. 10,22 Διαφορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους.

Ἐπειδὴ ἔγνωμεν τὰ σημαινόμενα τῶν διαφορῶν, τὴν κοινῶς καὶ ἰδίως καὶ ἰδιαίτατα, καὶ ἑκάστης τὰ διττὰ σημαινόμενα, ἔλθωμεν καὶ ἐπὶ
5 τὸ λεῖπον, φημὶ ἐπὶ τὴν ὑπογραφὴν τῆς ἰδιαίτατα, κἄν τε συστατικὴ ᾖ κἄν τε διαιρετική. καὶ ὑπογράφει διχῶς ἑκάστην, ἀλλὰ νῦν μὲν τὴν συστατικὴν ὑπογράφει, ἐν δὲ τῇ ἑξῆς θεωρίᾳ τὴν διαιρετικήν. ἔχει δὲ ἡ ὑπογραφὴ τὸν τρόπον τοῦτον· διαφορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους· ἰδοὺ γὰρ ὁ ἄνθρωπος εἶδος ὢν τῷ λογικῷ διαφορᾷ ὄντι
10 περιττεύει τοῦ ζῴου, ὅπερ ἦν αὐτοῦ γένος· τὸ γὰρ ζῷον οὔτε λογικὸν οὔτε ἄλογον, ἵνα εὐλύτως ἀμφότερα ᾖ. καὶ μὴ νομίσῃ τις ὅτι, ἐπειδὴ εἴπομεν ὅτι περιττεύει τὸ εἶδος τοῦ γένους, ἐπὶ πλέον τὸ εἶδος· τοὐναντίον γὰρ ἐπ' ἔλαττον· τὰ γὰρ πράγματα ὅσῳ πλουτεῖ προσδιορισμοῖς, πένεται κατὰ τὸ σημαινόμενον· ὁ γὰρ ζῷον εἰρηκὼς μόνον πλείονα περιλαμβάνει, φημὶ
15 ἄγγελον καὶ ἄνθρωπον καὶ ἵππον καὶ τὰ λοιπὰ ζῷα· εἰ δὲ προσθείη τῷ ζῴῳ τὸ λογικόν, ἐχώρισεν αὐτὸ ἐκ τῶν ἀλόγων, εἰ δὲ θνητόν, ἐχώρισεν ἐκ τῶν ἀθανάτων. οὕτω γοῦν ὅσῳ πλείονες διαφοραὶ προστίθενται, ἐπὶ πλέον ἀτομοῦνται τὰ πράγματα. ἀλλὰ οὗτος ὁ λόγος δείκνυσι τὰς διαφορὰς ἐν τοῖς εἴδεσιν εἶναι, οὐ μὴν ἐν τοῖς γένεσιν· περιττεύει γὰρ ἀεὶ τὸ ἔχον
20 τοῦ μὴ ἔχοντος, οὐ τὸ ἔχον τοῦ ἔχοντος, πολλῷ μᾶλλον δὲ οὐ περιττεύει τὸ μὴ ἔχον τοῦ ἔχοντος. πῶς οὖν ὑπῆρξαν αἱ διαφοραὶ μὴ πρότερον ἐν τοῖς γένεσιν ὑπάρξασαι; δοκεῖ γὰρ ἄτοπον εἶναι. καὶ ἵνα μὴ συνθλιβό-| μενοι ὑπὸ τῆς ἀπορίας ἀναγκασθῶμεν εἰπεῖν ὅτι ἐν τοῖς γένεσίν εἰσιν αἱ 86r διαφοραί, ἀπορεῖ πρὸς ἑκάτερον, καὶ πρὸς τὸ εἶναι αὐτὰς ἐν τοῖς γένεσι
25 καὶ πρὸς τὸ μὴ εἶναι· ὧν γὰρ ἀνάγκη θάτερον ὑπάρχειν, τούτων ἑκάτερον ἀδύνατον ἀποδείκνυσι· καὶ τὸ εἶναι γὰρ ἄτοπον καὶ τὸ μὴ εἶναι ἄτοπον.

Ἀλλ' ἵνα γνῶμεν τὴν ἀπορίαν, δύο λήμματα προσλάβωμεν, ἃ καὶ ἀξιώματα λέγονται, ὡς οἴκοθεν ἀξιοῦντα πιστεύεσθαι καὶ μὴ δεόμενα ἐπεισ- άκτου μαρτυρίας· οὕτω γὰρ καὶ ἀξιολόγους καὶ ἀξιοπίστους φαμὲν τοὺς ἐξ

---

1 πρᾶξις λ′ inserui 2 τοῦ γένος V 3 an τῆς διαφορᾶς? 4 ὑπὸ ἐπὶ V 5 ἐπὶ om. C ᾗ om. C 6 ὑπογράφη C[1] 7 τῇ ἑξῆς] τῇ ἔξω C: τὸ ἑξῆς V 8 τοῦτο C[1] περιτεύει C (in mrg. add. m.[2] ὅρος διαφορᾶς) 9 ὁ ἄνθρωπος om. C ὢν] ὂν (sed ο m.[2]) C 10 αὐτῷ V 11 εὐλύτως] εὔλυτ (rasura supra τ) C: ἀλύτως V νομίζει νομίσῃ V ὅτι om. C 12 περιτεύει C τοῦ εἴδους C 12. 13 γὰρ ἐπ' ἔλαττον] ἐφέλατον (sic) C 14 ὁ] τὸ V ζῷον] ὂν C εὑρηκὼς V 15 ἄγγελον καὶ C: ἄγγελον V: scribas θεὸν καὶ (cf. p. 63,28. 66,2), nisi malis eicere προσθείη] προσθῇ (superscr. m.[2] ει) C: προσθήσει V 17 ante ἐπὶ ras. X litt. C 18 ἀτομοῦνται] ἀτομῶνται V 20 δὲ μᾶλλον colloc. V 21 an διαφοραὶ ⟨ἐν τοῖς εἴδεσι⟩? 22 ὑπάρξασθαι V 23 ἀπειρίας V 25 εἰπάρχειν V[1] (υ superscr.) 27 προσλάβομεν C; an προλάβωμεν? (cf. p. 83,27) 28 ἀξιοῦνται V 28. 29 ἐπισάκτου C 29 καὶ (prius) om. V ἀξιολόγου καὶ ἀξιοπίστου C

ἑαυτῶν πιστευομένους καὶ οὐκ ἐξ ἄλλων. καὶ πρῶτον μὲν λῆμμα τοῦτο· οὐ δύναται τὰ ἐναντία συνυπάρξαι ἀλλήλοις ποτὲ τριῶν προσδιορισμῶν φυλαττομένων, ἐν τῷ αὐτῷ ὑποκειμένῳ, ἐν τῷ αὐτῷ μέρει τοῦ ὑποκειμένου, ἐν τῷ αὐτῷ χρόνῳ· Σωκράτη μὲν γὰρ ὑγιαίνειν, Πλάτωνα δὲ νοσεῖν δυνα-
5 τόν· ἄλλο γὰρ καὶ ἄλλο ὑποκείμενον. πάλιν καὶ τοῦ αὐτοῦ ὄντος ὑποκειμένου, οἷον Σωκράτους, ἐνδέχεται τὰ περὶ πόδα νοσεῖν τὰ δὲ περὶ κεφαλὴν ὑγιαίνειν, ἀλλ' οὐκ ἐν τῷ αὐτῷ μέρει τοῦ ὑποκειμένου. ἀλλὰ καὶ τὸ αὐτὸ μέρος τοῦ ὑποκειμένου δυνατὸν νοσεῖν καὶ ὑγιαίνειν, οἷον τὸν ὀφθαλμὸν σήμερον νοσεῖν, αὔριον δὲ ὑγιαίνειν, ἀλλ' οὐκ ἐν τῷ αὐτῷ χρόνῳ. τῶν
10 οὖν τριῶν τούτων προσδιορισμῶν φυλαττομένων ἀδύνατον τὰ ἐναντία συνυπάρξαι ἀλλήλοις. οὗτος πρῶτος προσδιορισμός. δεύτερος προσδιορισμός· οὐδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ποιεῖ ἡ φύσις καὶ ἡ ταύτην μιμουμένη τέχνη, | ἀλλὰ τὸν τρόπον τῆς γενέσεως ταύτης θεῷ μόνῳ παραχω- 86v ροῦσιν· ἥ τε γὰρ φύσις ἄνθρωπον δημιουργοῦσα ἐκ σπέρματος αὐτὸν δημι-
15 ουργεῖ, ὃ δυνάμει ἄνθρωπός ἐστι, καὶ ἡ τεκτονικὴ θρόνον δημιουργοῦσα ἐκ ξύλου αὐτὸν δημιουργεῖ, ὃ δυνάμει θρόνος ἦν. τούτων οὕτως ἐχόντων πρόεισιν ἡ ἀπορία οὕτως λέγουσα· εἰσὶν αἱ διαφοραὶ ἐν τοῖς γένεσιν ἢ οὐκ εἰσί, καὶ εἰ μέν εἰσιν, ἄτοπος ὁ λόγος διὰ τὸ πρῶτον λῆμμα· τὰ γὰρ ἐναντία συνυπάρξαι ἀλλήλοις, τὸ λογικὸν καὶ ἄλογον καὶ θνητὸν καὶ ἀθά-
20 νατον, μήτε εἰς μέρη διειργομένου τοῦ ὑποκειμένου (ἀμερῆ γὰρ τὰ καθόλου), μήτε εἰς χρόνον· ἀΐδια γὰρ τὰ καθόλου. εἰ δὲ μή εἰσιν ἐν τοῖς γένεσιν αἱ διαφοραί, καὶ οὕτως ἄτοπος ὁ λόγος διὰ τὸ δεύτερον λῆμμα· ἐπειδὴ γὰρ οὐδέν ἐστι παρὰ τὰ γένη καὶ τὰ εἴδη, εὑρεθήσονται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος προελθοῦσαι αἱ διαφοραὶ ἐν τοῖς εἴδεσιν, ὅπερ
25 ἀπηγόρευται διὰ τὸ δεύτερον λῆμμα. αὕτη ἡ ἀπορία. ἐφ' οἷς εἴπωμεν καὶ τὴν λύσιν. ἀλλ' ἵνα καὶ τὴν λύσιν νοήσωμεν, δύο καὶ ταύτης λήμματα προλάβωμεν· πρῶτον μὲν τοῦτο, ὅτι δυνατὸν τὰ ἐναντία συνυπάρξαι ἀλλήλοις ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἐν τῷ αὐτῷ μέρει τοῦ ὑποκείμενου ἐν τῷ αὐτῷ χρόνῳ, δυνάμει μέντοι καὶ οὐκ ἐνεργείᾳ. οὕτω γοῦν τὸ ἔλαιον καὶ
30 θερμὸν καὶ ψυχρὸν λέγομεν εἶναι· καστορίου γὰρ προσβληθέντος γίνεται θερμόν, ῥόδου δὲ ψυχρόν. δεύτερον λῆμμα· ἔστιν, φησίν, | τὶ μέσον τοῦ 87r

---

1 ἑαυτῶν] αὐτῆς C ἄλλου V 2 post δύναται add. γὰρ V προορισμῶν C[1] 4 σωκράτην V 5 καὶ (post πάλιν)] γὰρ V τὸ αὐτὸ τοῦ αὐτοῦ V 6 τὰ (post ἐπιδέχεται) om. V an πόδας? 6. 8 νωσεῖν C 7 ἀλλ' — ὑγιαίνειν (8) om. V 8 δυνατὸν scripsi: δύναται C 9 σήμερον νοσεῖν in mrg. suppl. (in contextu δύναται ante ras. VI litt.) C 10 φυλαττουμένων (sic) V 11 scribas τοῦτο πρῶτον λῆμμα.. δεύτερον λῆμμα προσδιορισμός (alterum) om. V 12 ταύτην scripsi: ταὐτὸν C: ταύτης V 12. 13 μημουμένη C 13 τὸν τρόπον] τῶν πρώτων V 14 ἥ] εἰ C διμιουργοῦσα V[1] αὐτὸν scripsi: αὐτὸ CV 16 ὃ] οὗ C τρόνος V 17. 22 αἱ om. V 20 διειργουμένου V τὰ om. C 22 οὕτως CV[1]: οὗτος V[2] 23 ἐπειδὴ — λῆμμα (25) om. V 25 εἴπομεν C[1] 26 νοήσομεν C 27 προσλάβωμεν C ἀδύνατον V 28 ante ὑποκειμένου add. αὐτοῦ C 29 οὐκ om. C 30 εἶναι] οὖν V 31 ῥούδου C

τε μηδαμῇ μηδαμῶς ὄντος, τοῦτ᾽ ἔστιν τοῦ μηδὲ δυνάμει μηδὲ ἐνεργείᾳ ὄντος, ὡς τὸ εἰπεῖν τὸν λίθον γραμματικόν (τοῦτο γὰρ ἀδύνατον), τοῦ τε ἐνεργείᾳ ὄντος, τοῦτ᾽ ἔστι τοῦ ἐξηγουμένου γραμματικοῦ, τὸ δυνάμει μὲν ὄν, ἐνεργείᾳ δὲ οὐδαμῶς, ὡς τὸ παιδίον τὸ ἄρτι φοιτῆσαν εἰς γραμματι-
5 κόν, ὅπερ δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δὲ οὐκ ἔστιν· ἀτελὲς γάρ ἐστι. τούτων οὕτως ἐχόντων πρόεισι καὶ ἡ λύσις οὕτως· καί εἰσιν αἱ διαφοραὶ ἐν τοῖς γένεσιν καὶ οὐκ εἰσι, καὶ διότι μέν εἰσιν, ἔφυγον ἓν ἄτοπον τοῦ δευτέρου τῆς ἀπορίας λήμματος· οὐκ ἔστι γὰρ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὑπάρξαν ἐν τοῖς εἴδεσιν, * * ἀλλὰ δυνάμει οὖσαι ἐν τοῖς γένεσιν· διότι δὲ
10 οὖσαι ἐν τοῖς γένεσι δυνάμει εἰσὶν καὶ οὐκ ἐνεργείᾳ, ἔφυγον τὸ ἄλλο ἄτοπον τοῦ πρώτου λήμματος· οὐκ ἔστι γὰρ τὰ ἐναντία συνυπάρξαι ἀλλήλοις· τότε γὰρ τὰ ἐναντία συνυπάρξαι ἀλλήλοις, ὅτε ἐνεργείᾳ εἰσίν, ἐπεὶ δυνάμει ὄντων αὐτῶν δυνατὸν συνυπάρχειν. καὶ ὅρα πῶς τὸ κατ᾽ ἄμφω ἄβατον ἡμῖν γενόμενον διὰ τὴν ἀπορίαν κατ᾽ ἄμφω πορεύσιμον γέγονε διὰ τὴν
15 λύσιν· καὶ εἶναι γὰρ ἐν τοῖς γένεσι τὰς διαφορὰς λέγειν οὐκ ἄτοπον καὶ μὴ εἶναι, ἀλλ᾽ εἶναι μὲν δυνάμει μὴ εἶναι δὲ ἐνεργείᾳ.

⟨Πρᾶξις λα΄⟩.

p. 10,22 Διαφορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους.

Ἀπορήσαντος τοῦ Πορφυρίου πρὸς ἀμφότερα, καὶ πρὸς τὸ εἶναι τὰς
20 διαφορὰς ἐν τοῖς γένεσι καὶ πρὸς τὸ μὴ εἶναι, καὶ δείξαντος πῶς μέν εἰσιν ἐν τοῖς γένεσι πῶς δὲ οὔκ εἰσιν, ὅτι δυνάμει μέν εἰσιν ἐνεργείᾳ δὲ οὔκ εἰσιν, οἱ Πλατωνικοὶ τούτων μὴ ἀνεχόμενοι τέσσαρά | τινα ἐγκλή- 87v ματα προσάγουσι τῇ τοιαύτῃ λύσει. πρῶτον μὲν ἔγκλημα τοῦτο· εἰ δυνάμει εἰσὶν αἱ διαφοραὶ ἐν τοῖς γένεσιν, ἐνεργείᾳ δὲ ἐν τοῖς εἴδεσιν, ἐπειδὴ πᾶν
25 ἐνεργείᾳ κρεῖττον τοῦ δυνάμει ὡς τέλειον ἀτελοῦς, εὑρεθήσονται τὰ γένη χείρονα τῶν εἰδῶν, ὡς δυνάμει ἔχοντα τὰς διαφορὰς τῶν εἰδῶν ἐνεργείᾳ ἐχόντων, καὶ τὰ καθολικώτερα τῶν μερικωτέρων χείρονα. δεύτερον ἔγκλημα, ὅτι καὶ τὸ παράδοξον, τὰ γὰρ εἰδικώτατα χείρω πάντων τιμιώτερα τῶν

---

1 μηδὲ — μηδὲ] μηδὲ — μήτε (sed τ in ras. m.²) C: μὴ — μηδὲ V 3 post ὄντος ras. XI litt. C 3. 4 δυνάμει μὲν ὄν] δυνάμενον C 6 οὕτως om. C 7 καὶ (ante οὐκ) suppl. C² ἕνα τόπον C¹ 9 ὑπάρξαν om. V post εἴδεσιν lacunam signavi διότι — γένεσι (10) om. C 11 πρότου V 12 τὰ ἐναντία συνυπάρξαι] οὐ συνυπάρχει τὰ ἐναντία V ὅταν C ἐπεὶ] ἐπὶ V 13 τῶν αὐτῶν C κατ᾽ om. V ἄβατον — κατ᾽ ἄμφω (14) suppl. in mrg. C 15 τὰς διαφορὰς ἐν τοῖς γένεσι colloc. V 16 ἀλλ᾽ — ἐνεργείᾳ om. V 17 πρᾶξις λα΄ inserui 18 περιτεύει C 19 ἀπορήσαν (sic) C: ἀπορίσαντος V 20 τὸ (ante μὴ) om. V 21 εἰσιν (ante ἐν) om. C μὲν om. C 22 πλατονικοὶ C τέσσαρα om. V 23 τῇ in ras. C 24 τοῖς (ante γένεσιν) om. C 25 κρείττω C 26 εἰδῶν om. V 27 καθολικότερα et μερικοτέρων C¹ ante δεύτερον add. τοῦτο πρῶτον V 28 καὶ om. C post παράδοξον nescio an lacunam statuas scribas πάντων ⟨ὄντα⟩

γενικωτάτων εὑρεθήσεται, ἐπειδὴ τὰ εἰδικώτατα πάσας ἐνεργείᾳ ἔχουσι τὰς διαφοράς, τὰ δὲ γενικώτατα πάσας δυνάμει. τρίτον ἔγκλημα τὸ λέγον οὕτως· ἐπειδὴ πᾶν δυνάμει ἀγόμενον εἰς τὸ ἐνεργείᾳ ὑπὸ ἄλλου τοιούτου ἐνεργείᾳ ὄντος ἄγεται (ὥσπερ τὸ παιδίον δυνάμει ὂν γραμματικὸν ἄγεται
5 εἰς τὸ ἐνεργείᾳ ὑπὸ τοῦ ἐνεργείᾳ τοιούτου ὄντος, τοῦτ' ἔστι τοῦ τελείου γραμματικοῦ, καὶ ὥσπερ τὸ σπέρμα δυνάμει ὂν ἄνθρωπος ἄγεται εἰς τὸ ἐνεργείᾳ ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος ἀνθρώπου, τοῦτ' ἔστι τῆς μητρός). πῶς ἐπὶ τοῦ γένους τοῦτο εὐοδοῦται; ἐὰν γὰρ δυνάμει αἱ διαφοραὶ ἐν τοῖς γένεσιν ἐν δὲ τοῖς εἴδεσιν ἐνεργείᾳ, ὑπὸ ποίου ἐνεργείᾳ ὄντος τὸ δυνάμει ἐν
10 τῷ γένει ἦλθεν ⟨εἰς τὸ⟩ ἐνεργείᾳ ἐν τῷ εἴδει; τέταρτον ἔγκλημα, ἐν ᾧ φασιν ὅτι καὶ μάταιον ὑμῶν τὸ δέος, ὦ Ἀριστοτελικοί· δεδίατε γὰρ ἐνεργείᾳ εἰπεῖν τὰς διαφορὰς ἐν τοῖς γένεσιν, ἵνα μὴ δῆθεν τὰ ἐναντία συνυπάρξῃ ἑαυτοῖς | ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἐν τῷ αὐτῷ μέρει τοῦ ὑποκει- 88r μένου ἐν τῷ αὐτῷ χρόνῳ, ἀγνοοῦντες ὅτι τὰ ἐναντία περὶ τὸν αὐτὸν τόπον
15 μάχονται, ὥς φησι Πλωτῖνος, [τὰ ἐναντία περὶ τὸν τόπον] καὶ μεταβάλλειν θέλουσιν εἰς ἑαυτά, ὡς τὸ θερμὸν εἰς τὸ ψυχρὸν καὶ τὸ λευκὸν εἰς τὸ μέλαν, καὶ φθαρτικὰ δὲ θέλουσιν εἶναι ἑαυτῶν· τὸ δὲ λογικὸν καὶ ἄλογον οὔκ εἰσιν ἐναντία· οὐδὲ γὰρ μάχονται περὶ τὸν αὐτὸν τόπον οὐδὲ μεταβάλλουσιν εἰς ἑαυτά ποτε οὔτε φθαρτικὸν τὸ λογικὸν τοῦ ἀλόγου· τοὐ-
20 ναντίον γὰρ καὶ διασωστικὰ τὰ λογικὰ τῶν ἀλόγων, καὶ παρακτικὰ τὰ ἀθάνατα τῶν θνητῶν. ἢ καὶ ἄλλως· ὅτι οὐδὲν ἄτοπον τὰ ἐναντία ἅμα συστῆναι ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἐν τῷ αὐτῷ μέρει τοῦ ὑποκειμένου ἐν τῷ αὐτῷ χρόνῳ, ἐπὶ ἀσωμάτων μέντοι, οἷα τὰ γένη καὶ τὰ καθόλου, οὐ μὴν ἐπὶ σωμάτων· οὕτω γοῦν ἡ ὄψις ἀσώματος οὖσα μιᾷ προσβολῇ κρίνει
25 τὸ λευκὸν τὸ ἐν τῷ χάρτῃ καὶ τὸ μέλαν τὸ ἐν τοῖς γράμμασι, καὶ ἡ ψυχὴ ἀσώματος οὖσα ἅμα κρίνει τὸ ἀγαθὸν καὶ τὸ κακόν (μία γὰρ τῶν ἀντικειμένων ἐπιστήμη, τοῦτ' ἔστιν ὁ εἰδὼς τὸ ἀγαθὸν καὶ τὸ κακὸν οἶδε). καὶ ἡ φύσις ἀσώματος οὖσα ἅμα δημιουργεῖ τὸ λευκὸν τὸ ἐν τῷ ὀφθαλμῷ, οἷον τὸν ἐπιπεφυκότα, καὶ τὸ μέλαν, οἷον τὸ κερατοειδές. καὶ οἱ φιλόσοφοι
30 δὲ τὴν φαντασίαν ἀσώματον κατασκευάζουσιν ἐκ τοῦ δέχεσθαι αὐτὴν δευτέρους τύπους καὶ τρίτους καὶ πλείονας τῶν πρώτων μὴ ἐξαφανισθέντων,

---

1 εὑρεθήσονται V 2 ante τρίτον add. τοῦτο δεύτερον ἔγκλημα V ἔγκλημα τὸ λέγον om. V 3 τὸ om. V (cf. v. 5) 4 γραμματικὸν om. V 5 ὑπὸ τοῦ ἐνεργείᾳ om. V τοιούτου in mrg. suppl. C 6 ἄνθρωπος om. V 6. 7 εἰς τὸ ἐνεργείᾳ om. C 8 ante εὐοδ. add. εὐοδεύεται (sic) del. V γὰρ om. V 9 τὸ] τοῦ C 10 εἰς τὸ inserui ante τέταρτον add. καὶ οὕτως μὲν τὸ τρίτον V 11 φασιν] φα C: φησιν V ἡμῶν V δέος ὦ] δεῦσαν V ἀριστοτελικόν V δεδίατε] δέδεια V 14 ἀγνωοῦντες C 15 Πλωτῖνος] cf. Enn. III, 2,16 p. 268 τὰ ἐναντία—τόπον delevi 17 φθαρτικὰ δὲ] φθαρτικὸν V 18 εἰσιν] ἔστι V 19 οὔτε] an οὐδὲ? 20 διασα διασωστικὰ V 25 alt. τὸ] τῶ C 26 οὖσα om. V 28 τὸ ἐν τῷ] τῶ ἐν τῶ C: ἐν τὸ ἐν τῶ (sic) V 29 ἐπιφυκότα V scribas ἐπιπεφυκότα ⟨χιτῶνα⟩ τὸ κερατοειδές] ές in ras. C; an τὸν κερατοειδῆ? 30 δὲ om. V δέχεσθαι] λέγεσθαι V 31 τρίτους] κρείττους C (cf. p. 88,16 not.)

ὅπερ ἀσωματότητος ἴδιον. | ταῦτα μὲν τὰ ἐγκλήματα τῶν Πλατωνικῶν. 88v
φέρε δὲ ἡμεῖς εἰς συμφωνίαν τοὺς φιλοσόφους ἀγάγωμεν. δεῖ δὲ εἰδέναι
ὅτι τὸ δυνάμει διττόν, ἢ κατ' ἐπιτηδειότητα, ὡς ἐπὶ τοῦ βρέφους τοῦ μακρὰ
κῶλα ἔχοντος καὶ λεγομένου δυνάμει πύκτου, ἢ κατ' ἐνέργειαν μὴ παροῦσαν,
5 ὡς ἐπὶ τοῦ καθεύδοντος γραμματικοῦ, καὶ τὸ ἐνεργείᾳ διττόν, ἢ καθ' ἕξιν,
ὡς ἐπὶ τοῦ τελείου μὲν κατὰ τὴν γραμματικήν, μὴ ἐνεργοῦντος δὲ κατ'
αὐτήν, ἢ κατὰ προχείρισιν, ὡς ἐπὶ τοῦ ἐξηγουμένου γραμματικοῦ. τὸ μὲν
οὖν ἓν σημαινόμενον τοῦ δυνάμει τὸ κατ' ἐπιτηδειότητα τῷ ἑνὶ σημαινο-
μένῳ τοῦ ἐνεργείᾳ τῷ κατὰ προχείρισιν οὐδέποτε συντρέχει, ἀλλὰ καὶ ἐν-
10 αντία ἀλλήλοις εἰσί· πῶς γὰρ τὸ δυνάμει ἀτελὲς ὂν τῷ τελείῳ ἐνεργείᾳ
ταὐτόν ποτε γενήσεται; τὸ δὲ ἄλλο σημαινόμενον τοῦ δυνάμει, φημὶ τὸ
κατ' ἐνέργειαν μὴ παροῦσαν, τῷ ἑτέρῳ σημαινομένῳ τοῦ ἐνεργείᾳ, τοῦτ'
ἔστι τῷ καθ' ἕξιν, συντρέχει καὶ δοκεῖ μὴ ἐναντίον εἶναι. ὅταν οὖν λέ-
γωσιν οἱ Πλατωνικοὶ τὰς διαφορὰς ἐνεργείᾳ ἐν τοῖς γένεσιν εἶναι, οὐ κατὰ
15 προχείρισιν αὐτὰς λέγουσιν εἶναι ἀλλὰ καθ' ἕξιν, πάλιν οἱ Ἀριστοτελικοὶ
δυνάμει λέγοντες εἶναι τὰς διαφορὰς ἐν τοῖς γένεσιν οὐ κατ' ἐπιτηδειότητα
αὐτὰς εἶναι λέγουσιν ἀλλὰ κατ' ἐνέργειαν μὴ παροῦσαν, ὃ δύναται καὶ δυ-
νάμει λέγεσθαι καὶ ἐνεργείᾳ, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενον·
ἐνεργείᾳ γὰρ λέγεται ὡς πρὸς τὸ ἀτελὲς τὸ πρῶτον τὸ κατ' ἐπιτηδειότατα, |
20 δυνάμει δὲ ὡς ⟨πρὸς⟩ τὸ κατὰ προχείρισιν. τούτων οὖν οὕτως ἐχόντων καὶ 89r
διττοῦ ὄντος τοῦ δυνάμει καὶ διττοῦ τοῦ ἐνεργείᾳ οὐ διαφωνεῖ Πλάτων
Ἀριστοτέλει, ἀλλ' ἀμφοτέροις τὰ αὐτὰ δοκεῖ.

⟨Πρᾶξις λβ'⟩.

p. 11,7 Διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ
25 εἴδει ἐν τῷ ποῖόν τί ἐστι κατηγορούμενον.

Ἔτι διὰ τούτων τὰς συστατικὰς διαφορὰς ὑπογράφει ὁ Πορφύριος,
πλὴν οὐ τὰς αὐτὰς ἀλλ' ἑτέρας· διττὸν γὰρ τὸ εἶδος τῆς διαφορᾶς, ἢ κα-
θολικώτερον τοῦ εἴδους ἢ ἐξισάζον τῷ εἴδει. καὶ ἀνωτέρω μὲν πᾶσαν
συστατικὴν διαφορὰν ὑπέγραφεν, καὶ τὴν καθολικωτέραν τοῦ εἴδους καὶ τὴν
30 μερικωτέραν μὲν ἐκείνης ἐξισάζουσαν δὲ τῷ εἴδει· τὸ μὲν γὰρ λογικὸν καθο-

---

1 ἀσωμάτητος] ἀσώματος τοῦτο V 3 ἐπιτηδιότητα C 4. 12 παροῦσα V 5 ὡς ἐπὶ scripsi: ὥσπερ C: καὶ ἐπὶ V 6. 7 καθ' αὐτὴν V 7 προχείρισιν scripsi: προχείρησιν CV (cf. v. 9) 8 ἐπιτηδιότητα C[1] 9 τῶ (ante κατὰ)] τοῦ V προχείρησιν V 10 εἰσὶν ἀλλήλοις colloc. V 11 σημενόμενον C[1] τοῦ] τὸ V 13 τῶ] τὸ V 13. 14 λέγουσιν C 14 ἐν om. C 15 προχείρησιν V λέγουσιν αὐτὰς colloc. V 16 λέγουσιν τὰς διαφ. εἶναι V ἐπιτηδιότητα C 17 ὃ] τοῦτο δὲ in ras. C[2] 18 λαμβανόμενον] παραβαλλόμενον V 19 γὰρ] δὲ V ἐντελὲς V 20 πρὸς inserui 22 ἀριστοτέλης C[1] ἀφοτέροις C 24 πλεόνων C 25 εἴδει om. V ὁποῖον V 26 ἔτι] ὅτι V διὰ] δὲ C τοῦτο V 27 τῆς om. V 30 ἐκείνου C ἐξισαζούσης V γὰρ om. V 30. 87,1 καθολικωτέρα διαφορὰ V

λικώτερον τοῦ ἀνθρώπου, εἴδους ὄντος, ὡς ὑπάρχον οὐκ αὐτῷ μόνον ἀλλὰ
καὶ θεῷ καὶ ἀγγέλῳ, ἀλλὰ καὶ τὸ θνητὸν ὁμοίως καθολικώτερον ὡς καὶ
ἄλλοις ὑπάρχον, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἐξισάζουσα διαφορὰ τῷ
ἀνθρώπῳ· οὐδὲ γὰρ ὑπάρχει ἑτέρῳ. ἡ οὖν πρώτη ὑπογραφὴ τὰς δύο
5 περιέλαβε (περιττεύει γὰρ ὁ ἄνθρωπος εἶδος ὢν τοῦ ζῴου τοῦ οἰκείου γέ- ✓
νους καὶ τῷ λογικῷ καὶ τῷ νοῦ καὶ ἐπιστήμης δεκτικῷ), ἐν δὲ τῇ παρ-
ούσῃ θεωρίᾳ τὴν καθολικωτέραν | μόνον ὑπογράφει συστατικὴν διαφοράν. 89v
ἔστι δὲ οὕτως· διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων
τῷ εἴδει ἐν τῷ ποῖόν τί ἐστι κατηγορούμενον. καὶ ὥσπερ τριῶν
10 οὐσῶν ἀποδόσεων τοῦ εἴδους αἱ μὲν δύο παντὶ εἴδει ὑπῆρχον, ἡ δὲ μία
τῷ εἰδικωτάτῳ μόνῳ, οὕτω κἀνταῦθα δύο οὐσῶν ὑπογραφῶν τῶν συστατι-
κῶν διαφορῶν ἡ μία ἡ πρώτη πάσῃ συστατικῇ διαφορᾷ ἁρμόζει, ἡ δὲ
δευτέρα μόνῃ τῇ καθολικωτέρᾳ τοῦ εἴδους.

'Εφ' οἷς σαφηνίσωμεν ἑκάστην λέξιν τῆς ὑπογραφῆς. διαφορά ἐστι
15 τὸ κατὰ πλειόνων. εὐθέως τοῦτο ἀπορεῖται· εἰ γὰρ ἡ διαφορά, φασί,
κατὰ πλειόνων, κοινωνία ἐστὶ καὶ οὐκέτι διαφορά, ὥσπερ τὸ ζῷον πολλοῖς
ὑπάρχον κοινωνίαν αὐτῶν ποιεῖ, καὶ οὐ διαφοράν. πρὸς ὅ φαμεν ὅτι ὡς
καθόλου φωνὴ κατὰ πλειόνων φέρεται, ἐπεὶ ὡς διαφορὰ οὐ κατὰ πλειόνων,
ἀλλ' ἑνὶ πράγματι ὑπάρχει. καὶ διαφερόντων τῷ εἴδει· τοῦτο ἤδη
20 ἐσαφηνίσθη, ὅτε τῶν τριῶν ἀποδόσεων τοῦ εἴδους ἐμνημονεύσαμεν. ἐν τῷ
ποῖόν τί ἐστι κατηγορούμενον· ὅτι ἡ διαφορὰ ἐν τῷ ποῖόν τί ἐστι καὶ
οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται, δείκνυσι τοῦτο καὶ ἐκ τῆς λεκτικῆς συνη-
θείας οὕτως· ἃ ἐρωτώμενοι τίνα ἐστὶν ἀποκρινόμεθα, ἐν τῷ τί ἐστι κατηγο-
ροῦνται, | ἃ δὲ ἐρωτώμενοι ποῖά ἐστιν ἀποκρινόμεθα, ἐν τῷ ποῖόν τί ἐστι 90r
25 κατηγοροῦνται· τί γάρ ἐστιν ἄνθρωπος ἐρωτώμενοι ζῷόν φαμεν, ὃ γένος ὂν
ἐν τῷ τί ἐστι κατηγορεῖται. εἰ δὲ ἐρωτηθῶμεν ποῖόν τι ἄνθρωπος, λογι-
κός φαμεν, τοῦτο δέ ἐστι διαφορά. ἡ διαφορὰ ἄρα ἐν τῷ ποῖόν τί ἐστι
κατηγορεῖται. οὕτως μὲν ἐκ τῆς λεκτικῆς συνηθείας. ἀλλὰ καὶ ἐξ αὐτῶν
τῶν πραγμάτων· τὰ γὰρ πράγματα ἢ καθόλου ἢ μερικά· τὰ μὲν οὖν
30 μερικὰ ἐξ ὕλης καὶ εἴδους συνέστηκεν, ὡς ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ
χαλκοῦ εἴδους δὲ τοῦ σχήματος καὶ ὁ ἄνθρωπος ἐξ ὕλης μὲν τοῦ σπέρμα-
τος εἴδους δὲ τῆς ἀνθρωπείας μορφῆς, τὰ δὲ καθόλου ὡς ἀσώματα οὐκ
ἐξ ὕλης καὶ εἴδους, ἀλλ' ἐκ τῶν ἀναλογούντων ὕλῃ καὶ εἴδει· ἀναλογεῖ δὲ
τῇ μὲν ὕλῃ τὸ γένος (ἑκάτερον γὰρ τὸ εἶναι δίδωσι μόνον τῷ πράγματι),

---

1 μόνῳ V 2 καὶ ἀγγέλῳ eicias ἀλλὰ om. V 3 ἄλλοις] ἄλλα C 5 τοῦ (ante οἰκείου) om. V 9 καὶ om. C 10 ante οὐσῶν additum ὄντων del. V ἀποδώσεων V 11 μόνον V 11. 12 τῶν οὐ συστατικῶν V 12 ἡ (post μία) om. C δὲ om. C 15 εἰ in ras. C² ἡ om. V 16 οὐκέτι] οὐκ ἔστι V 17 αὐτῶν scripsi: αὐτοῦ C: αὐτὸ V 20 ἐσαφηνίσθη] ἐσαφινήσθη C: ἐσαφήνισα V ἀποδώσεων V ἐμνημ.] p. 61,22 20. 21 ἐν τῷ ποῖον τί] τὸ ποῖον C 21 κατηγορούμενον — ποῖόν τί ἐστι om. V 22 δίκνυσι C καὶ om. V 23 τίνα — ἐρωτώμενοι (24) om. V 25 φαμεν] ἀποκρινόμεθα V ὂν om. V 26. 27 λογικός φαμεν] λογικὸν μὲν V 27 τί om. C 28 αὐτοῦ V 30 συνέστικεν C¹ 32 οὐκ superscr. C

τῷ δὲ εἴδει ἡ διαφορά (ἑκάτερον γὰρ τοιόνδε τι ποιεῖ)· ὥσπερ γὰρ ἡ ὕλη ἀσχημάτιστος οὖσα καὶ ἄμορφος προσερχομένου αὐτῇ τοῦ εἴδους μορφοῦται καὶ τοιόνδε τι σχῆμα γίνεται, οὕτως καὶ τὸ γένος τὸ ἀναλογοῦν τῇ ὕλῃ τῆς διαφορᾶς αὐτῷ προσελθούσης τῆς ἀναλογούσης τῷ εἴδει τοιόνδε τι γίνεται. 5 εἰ οὖν τοιόνδε τι ποιεῖ ἡ διαφορά, ἡ διαφορὰ ἄρα ἐν τῷ ποιόν τί ἐστι κατηγορεῖται. καὶ ταῦτα μὲν περὶ τῶν συστατικῶν.

Ἐφ' οἷς ἔλθωμεν ἐπὶ τὰς διαιρετικάς. | ὑπογράφει δὲ καὶ αὐτὰς 90ᵛ διχῶς· διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος, οἷον τὸ λογικὸν διαφορὰ ὂν χωρίζει τὸν ἄνθρωπον ἀπὸ τοῦ ἵππου. δεῖ δὲ 10 προσθεῖναι τὸ κατ' οὐσίαν, ἐπειδὴ καὶ τὸ γελαστικὸν χωρίζον ἄνθρωπον ἀπὸ ἵππου διαφορὰ οὐκ ἔστιν, ἀλλ' ἴδιον. καὶ ἡμεῖς μὲν τούτῳ ἐχρησάμεθα παραδείγματι, αὐτὸς δὲ ὁ Πορφύριος τῷ πεφυκέναι πλεῖν. διὸ καὶ ἀποροῦσιν ὅτι 'πῶς τὸ πεφυκέναι πλεῖν ἴδιον ἀνθρώπου; τί γὰρ καὶ σημαίνει τὸ πλεῖν; εἰ μὲν γὰρ τὸ ἐπὶ πλοίου φέρεσθαι, τοῦτο καὶ ἀλόγοις καὶ 15 ἀψύχοις ὑπάρχει. εἰ δὲ τὸ νήχεσθαι, καὶ αὐτὸ ἀλόγοις ὑπάρχει'. ἀλλ' ἔστι, φησί, καὶ τρίτον σημαινόμενον τοῦ πεφυκέναι πλεῖν, τὸ εἰδέναι πλεῖν καὶ ναυτίλλεσθαι. ἀλλ' εἰ καὶ τρίτον σημαινόμενον τοῦ πλεῖν ἐπινοηθῇ, οὐδὲν ἧττον ἄπορος ὁ λόγος· εἰ γὰρ τὸ πάσης τινοσοῦν τέχνης καὶ ἐπιστήμης δεκτικὸν οὐσία τοῦ ἀνθρώπου, καὶ τὸ τινὸς τέχνης καὶ ἐπιστήμης 20 δεκτικὸν οὐσία τοῦ ἀνθρώπου, οὐκοῦν καὶ τὸ πεφυκέναι πλεῖν οὐσία τοῦ ἀνθρώπου. πρὸς ὅ φαμεν ὅτι τὸ πάσης ἐπιστήμης δεκτικὸν καὶ τινὸς ἐπιστήμης κατ' οὐσίαν ὑπάρχει τῷ ἀνθρώπῳ, τὸ δὲ προσφυῶς ἔχειν πρὸς τόδε ἢ τόδε μᾶλλον οὐκ οὐσία τοῦ ἀνθρώπου ἀλλ' ἴδιον· κράσει γάρ τινι ἕπεται ἡ τοιαύτη ἐπιτηδειότης, ἥτις κρᾶσις συμβέβηκε. κατὰ τούτου 25 οὖν τοῦ σημαινομένου ἔλαβε τὸ πεφυκέναι | πλεῖν ὁ Πορφύριος. αὕτη 93ʳ μὲν πρώτη ὑπογραφή. δευτέρα δὲ ὑπογραφὴ ἡ λέγουσα ὅτι διαφορά ἐστιν ὅτῳ διαφέρει ἕκαστα. δεῖ δὲ προσθεῖναι κἀνταῦθα τὸ κατ' οὐσίαν, ἐπειδὴ καὶ τῷ λευκῷ καὶ τῷ μέλανι διαφέρομεν, ἅπερ οὐ διαφοραὶ ἀλλὰ συμβεβηκότα. αὕτη μὲν οὖν ἡ ὑπογραφὴ καθολικωτέρα τῆς πρὸ 30 αὐτῆς· ἐκείνη γὰρ τὰ ὑπὸ τὸ αὐτὸ γένος πέφυκε χωρίζειν, αὕτη δὲ καθολικῶς πάντα τὰ κατ' οὐσίαν διαφέροντα.

---

3 τι] τὸ V τῷ ἀναλογοῦντι C 7 αὐτὰς καὶ colloc. V 8 χωρίζειν] χωρὶς V 9 ὂν] ὃ V 10 προσθῆναι C 11 τοῦ ἵππου V ἡμεῖς] ἡ V 12 τῷ C²: τὸ C¹V 13 καὶ om. V 16 an φασί? 16. 18 τρίτον] κρεῖττον C (cf. p. 85,31) 16 τοῦ πεφυκέναι — σημαινόμενον (17) iter. V 17 ναυτίλεσθαι CV ἐπενοήθη C² 19 καὶ τὸ τινὸς — ἀνθρώπου (20) iter. V τὸ om. C alt. καὶ] ἢ C 21 τὸ om. C 25 τοῦ om. V πλεῖν] πλὴν V 27 προσθεῖναι Marc. 201: προσθῆναι CV (cf. v. 10) 28 διαφορὰ V 29 οὖν om. C 29. 30 πρὸ αὐτῆς] πρώτης Marc. 201 (sed cf. p. 90,11) 31 τὰ (post πάντα) C²: om. C¹V

Πρᾶξις λγ΄.

Περὶ ἰδίου.

p. 12,13 Τὸ δὲ ἴδιον διαιροῦσι τετραχῶς.

Ἐπειδὴ αἱ ἀθρόαι μεταβολαὶ ἀεὶ σφαλεραί εἰσι καὶ οὐ μόνον ἐπὶ σω-
5 μάτων ἀλλὰ καὶ ἐν λόγοις καὶ ἐν πράγμασι, διὰ τοῦτο οὐκ ἀθρόον ἀπὸ
τῶν πάντῃ οὐσιωδῶν, γένους φημὶ καὶ εἴδους καὶ διαφορᾶς, ἦλθεν ἐπὶ τὰ
πάντῃ ἐπεισοδιώδη, φημὶ τὰ συμβεβηκότα, ἀλλὰ γεφύρᾳ τινὶ καὶ κλίμακι
μέσῳ κέχρηται τῷ ἰδίῳ· τοῦτο γὰρ ὡς ἐν ἐπεισοδιώδεσιν οὐσιῶδες ὑπ-
άρχει· ὁρισμὸν γὰρ μιμεῖται καὶ ὑπογραφὴν τῷ ἀντιστρέφειν, καὶ ἐπειδὴ
10 ὁρισμὸν μιμεῖται, οὐσιῶδες, ἐπειδὴ δὲ ὑπογραφήν, ἐπεισοδιῶδες· ἡ γὰρ
ὑπογραφὴ ἐκ συμβεβηκότων. ἀλλ' ἐπειδὴ καὶ τὸ ἴδιον ὁμώνυμον (ἐν γὰρ
ταῖς δέκα κατηγορίαις θεωρεῖται), φέρε διαστελλώμεθα τὴν ὁμωνυμίαν καὶ
εἴπωμεν | περὶ ποίου ὁ σκοπὸς τοῖς φιλοσόφοις, καὶ τρίτον ὑπογραφέσθω 93v
τὸ σημαινόμενον ἐκεῖνο. ἔστι τοίνυν πρῶτον σημαινόμενον τοῦ ἰδίου τὸ
15 μόνῳ μὲν ὑπάρχον οὐ παντὶ δέ, ὡς ἀνθρώπῳ τὸ ἰατρεύειν καὶ τὸ γεω-
μετρεῖν· τοῦτο γὰρ μόνῳ ἀνθρώπῳ ὑπάρχει καὶ οὐ παντὶ ἀνθρώπῳ· οὐδὲ
γὰρ πᾶς ἄνθρωπος ἢ ἰατρὸς ἢ γεωμέτρης. δεύτερον σημαινόμενον τοῦ
ἰδίου ἀντίστροφον τῷ πρώτῳ τὸ παντὶ μὲν ὑπάρχον οὐ μόνῳ δέ, ὡς ἀν-
θρώπῳ τὸ εἶναι δίποδι· τὸ γὰρ δίπουν πᾶς ἔχει ἄνθρωπος, πλὴν οὐ
20 μόνος· ὑπάρχει γὰρ καὶ πτηνοῖς. κἂν συμβῇ δὲ τὸν ἕνα πόδα ἀφαιρεθῆ-
ναι, ἀλλ' οὖν δίπους λέγεται διὰ τὸ πεφυκέναι. τρίτον σημαινόμενον τοῦ
ἰδίου τὸ μόνῳ καὶ παντὶ καὶ ποτέ, ὡς μόνῳ καὶ παντὶ ἀνθρώπῳ τὸ ἐν
γήρᾳ πολιοῦσθαι· καὶ γὰρ εἰ καὶ τὰ ἄλλα ζῷα πολιοῦνται, ἀλλ' οὐ διὰ
τὴν ἡλικίαν ὡς ἄνθρωπος ἀλλ' ἐκ κατασκευῆς, ὡς τὸ εἰρημένον τῷ ποιητῇ
25 καὶ κύνας ἀργούς.
τέταρτον σημαινόμενον τοῦ ἰδίου, ἐφ' οὗ πάντα συντρέχει, τὸ μόνῳ καὶ
παντὶ καὶ ἀεί, ὡς τὸ γελαστικόν· τοῦτο γὰρ καὶ μόνῳ ἀνθρώπῳ ὑπάρχει καὶ
παντὶ καὶ ἀεί· κἄν τε γὰρ μὴ γελᾷ κἄν τε κλαίῃ, γελαστικὸς λέγεται οὐ
τῷ ἤδη γελᾶν, ἀλλὰ τῷ πεφυκέναι· ὥσπερ γὰρ καὶ τὸ θνητὸν τὸ πεφυκὸς

---

1 πρᾶξις λγ΄ V: om. C 4 ἐστι V μόνων V 5 διὰ τοῦτο] διατί V 7 ἐπεισοδιώδη] ἐπισωδιώδη C[1]: ἐπεισωδιώδη C[2]: ἐπουσιώδη V 8 ὡς om. V ἐπισωδιώδεσιν C[1]: ἐπεισωδιώδεσι C[2]: ἐπουσιώδεσιν V 9 καὶ ὑπογραφὴν — μιμεῖται (10) iter. V 10 ἐπισωδιῶδες C[1]: ἐπεισωδιῶδες C[2]: ἐπουσιῶδες V 12 θεωρεῖται] διαιρεῖται V διαστειλόμεθα V 13 ὑπογραφέσθαι V 15 μόνον V ὑπάρχει V τὸ (post καὶ) om. V 16 ἀνθρ. μόνῳ colloc. V ὑπάρχει — ἀνθρώπῳ om. C 17 ἢ (prius) om C 18 τὸ] τῷ V ὡς om. V 20 μόνοις V συμβαίη V 20. 21 ἀφερεθῆναι C 22 pr. τὸ] τῶ C post παντὶ (prius) add. ἀνθρώπω C ὡς μόνῳ καὶ παντὶ ἀνθρώπῳ om. C 23 πολιοῦται (alt. l.) V 25 καὶ κύνας ἀργούς] Hom. A 50 27 alt. καὶ om. V 28. 29 οὐ τῶ om. V (οὕτω in mrg. suppl.) 29. 90,1 ἤδη] εἴδει V 29 post πεφυκέναι add. λέγεται C καὶ om. V τὸ πεφυκὸς] an τῷ πεφυκέναι?

λέγεται, οὐ τῷ ἤδη θνήσκειν, οὕτως καὶ γελαστικὸς τῷ πεφυκέναι λέγεται, οὐ τῷ ἤδη γελᾶν· καὶ ἡ ὕλη γὰρ καίτοι ἀεὶ εἰδοπεποιημένη οὖσα ὅμως ἀνείδεος λέγεται ὡς πεφυκυῖα ἀποβαλεῖν | τόδε τὸ εἶδος καὶ δέχεσθαι. ἀλλ' 94r οὖν τοῦτο κυρίως ἴδιον καὶ περὶ τούτου οἱ φιλόσοφοι διαλέγονται· τὰ γὰρ 5 ἄλλα οὐ κυρίως ἴδια, ἀλλὰ πρός τι καὶ ποτέ· πρός τι μὲν τὰ δύο τὰ πρῶτα, τὸ γεωμετρεῖν πρὸς τοὺς μὴ γεωμετροῦντας καὶ τὸ δίπουν πρὸς τὰ τετράποδα, τὸ δὲ τρίτον ποτὲ ἴδιον, τὸ δὲ τέταρτον κυρίως ἴδιον. διαφέρει δὲ τὸ πρῶτον σημαινόμενον τοῦ δευτέρου, ὅτι τούτου μᾶλλον ἴδιον τὸ πρῶτον, ἐπειδὴ τὰ ἴδια στενοχωρεῖσθαι θέλοντα τῷ μόνῳ χαρακτηρί-10 ζονται καὶ οὐ τῷ παντί. τὸ δὲ τρίτον ἔτι μᾶλλον ἴδιον καὶ κρεῖττον τῶν δύο τῶν πρὸ αὐτοῦ, ὅτι τὸ μὲν πρῶτον σημαινόμενον μόνῳ ὑπάρχει οὐ παντὶ δέ, τὸ δεύτερον παντὶ μὲν οὐ μόνῳ δέ, τοῦτο δὲ καὶ μόνῳ καὶ παντί. τὸ δὲ τέταρτον τῶν τριῶν κρεῖττον ὡς κυρίως ἴδιον, ὃ καὶ ὑπογράφει λέγων οὕτως· ἴδιόν ἐστι τὸ ἀντιστρέφον. οὐκ ἀρκεῖ δὲ τοῦτο 15 (ἀντιστρέφει γὰρ καὶ ὁ ὁρισμὸς καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν), ἀλλ' ἴδιόν ἐστι συμβεβηκὸς ἀντιστρέφον, ὡς δοκεῖ καὶ Ἀριστοτέλει ἐν τοῖς Τοπικοῖς, ἀφ' ὧν ἡ παροῦσα πραγματεία συνετέθη. ἐπειδὴ δὲ ἀντιστρέφον ἐδείχθη τὸ ἴδιον, ἀποροῦσί τινες ὅτι οὐ μόνον ἀντιστρέφει τὸ ἴδιον ἀλλὰ καὶ ὁ ὁρισμός, | ὡς εἴρηται, καὶ ἡ ὑπογραφὴ καὶ τὸ νοῦ καὶ ἐπιστήμης 94v 20 δεκτικὸν καὶ τὰ πρός τι. πρὸς ὅ φαμεν ὅτι ὁ ὁρισμὸς οὐσιώδης ἐστὶ καὶ ἀντιστρέφει, τὸ δὲ ἴδιον ἐπεισοδιῶδες, καὶ ἡ ὑπογραφὴ ἐκ πολλῶν συμβεβηκότων, τοῦτο δὲ ἓν συμβεβηκός, καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν οὐσιῶδες, τὰ δὲ πρός τι οὐδὲ ἀντιστρέφοντα, ἀλλὰ πρὸς ἀντιστρέφοντα λέγονται· τὰ γὰρ ἀντιστρέφοντα λέγονται ὅπερ τὸ ἕτερον, οἷον τὸ γελαστικὸν 25 ἄνθρωπος καὶ ὁ ἄνθρωπος γελαστικόν, καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἄνθρωπος καὶ ὁ ἄνθρωπος νοῦ καὶ ἐπιστήμης δεκτικόν· τὰ δὲ πρός τι οὐ λέγονται ὅπερ τὸ ἕτερον· ὁ γὰρ πατὴρ οὐ λέγεται υἱὸς οὐδὲ ὁ υἱὸς πατήρ. ταῦτα ἔχει ἡ πρᾶξις.

---

1 οὐ τῷ] οὔτω V² οὕτως — γελᾶν (2) om. C τὸ πεφυκέναι V 2 οὐ τῷ] οὔτω V ἤδη] εἴδει V ἡ om. C ἀεὶ om. V εἰδοπεποιημέναι V ὅμως om. V 2. 3 ἀνείδεως C 3 πεφυκοία C ἀποβάλλειν V 3. 4 ἀλλ' οὖν scripsi: ἀλλ' οὐ C: ἄλλο V 4 διαλέγονται] λέγονται V 5 πρός τι καὶ ποτέ] καὶ πρός τι V 6 μὴ om. C 7 τὰ om. V 8 τὸ (ante πρ.) om. V τούτου scripsi: τοῦτο CV 9 τὸ ἴδιον C θέλοντος C 10 ἔτι om. V 11 τῷ μόνῳ C 13 τριῶν] τρίτων V 13. 14 ὑπογράφη C 14 δὲ om. V 16 ἐστι superscr. C² ἐν τοῖς Τοπικοῖς] A 5 p. 102ᵃ 18 sq. 19 ἡ om. V 20 ἐστὶ in ras. C²: εἰ V 21 ἐπουσιῶδες V 23 οὐδὲ scripsi: οὔτε CV 24 τὰ γὰρ — λέγονται om. V 25 ἄνθρωπος καὶ ὁ ἄνθρ. γελαστικὸν om. V 26 ἄνθρωπος καὶ — δεκτικὸν om. V 27 ὁ υἱὸς Marc.: 201: υἱὸς CV

Πρᾶξις λδʹ.

Περὶ συμβεβηκότος.

p. 12,24 Συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.

5 Αἱ ὑπογραφαὶ τοῦ συμβεβηκότος τὴν τάξιν αὐτοῦ τὴν πρὸς τὰς ἄλλας φωνὰς ἡμῖν ἀποκηρύττουσιν· εἰ γὰρ συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ἀβληχρὸν καὶ ἀμενηνὸν καὶ οὐδενόσωρον ποιητικῶς εἰπεῖν ἐστι τὸ συμβεβηκὸς ὡς μήτε | παρὸν σῶζον μήτε 91r ἀπὸν φθεῖρον καὶ διὰ τοῦτο καὶ εἰς παρουσίαν περιττὸν καὶ εἰς ἀπουσίαν 10 ἀδιάφθορον. ἀντιπέπονθε δὲ τοῦ συμβεβηκότος ἡ διδασκαλία τῇ τῶν ἄλλων φωνῶν διδασκαλίᾳ· ἐπὶ γὰρ ἐκείνων διεστέλλετο τὴν ὁμωνυμίαν καὶ ἐφυλοκρίνει τὸ σημαινόμενον, περὶ οὗ διαλέγονται οἱ φιλόσοφοι, καὶ τρίτον ὑπέγραφεν αὐτό, ἐνταῦθα δὲ εὐθὺς ὑπογράφει τὸ συμβεβηκός. καὶ λέγομεν ὅτι εὐλόγως τοῦτο ἐποίει, ἐπειδὴ πολλῶν ὄντων τῶν σημαινομέ-15 νων ἐν ταῖς ἄλλαις φωναῖς οὐ περὶ πάντων διαλέγονται οἱ φιλόσοφοι, χρεία οὖν ἦν ἐκεῖ διαστολῆς, ἐνταῦθα δὲ διττοῦ ὄντος τοῦ σημαινομένου (ἢ γὰρ χωριστόν ἐστι τὸ συμβεβηκὸς ἢ ἀχώριστον), περὶ ἀμφοτέρων δὲ διαλέγονται οἱ φιλόσοφοι, εὐλόγως οὐ διαστέλλεται τὴν ὁμωνυμίαν ἐνταῦθα, ἀλλ' εὐθὺς ἐκ τῶν ὑπογραφῶν ἄρχεται. λέγει δὲ τρεῖς ὑπογραφὰς τοῦ 20 συμβεβηκότος, μίαν μὲν τὴν ἤδη εἰρημένην, δευτέραν δὲ τοιαύτην, ὅτι συμβεβηκός ἐστιν ὃ δύναται ὑπάρχειν καὶ μὴ ὑπάρχειν τῷ αὐτῷ, καὶ τρίτην ὃ οὐδὲ γένος ἐστὶν οὐδὲ διαφορὰ οὐδὲ εἶδος | οὐδὲ 91v ἴδιον. διαφέρουσι δὲ αἱ πρῶται δύο τῆς τρίτης, ὅτι αἱ μὲν τί ἐστι λέγουσι τὸ συμβεβηκός, ἡ δὲ τρίτη τί οὐκ ἔστιν. ἡ δὲ πρώτη τῆς δευτέρας 25 διαφέρει, ὅτι ἡ μὲν πρώτη τὴν γένεσιν αὐτοῦ καὶ φθορὰν λέγει, ἡ δὲ δευτέρα τὴν ὕπαρξιν καὶ ἀνυπαρξίαν· πρότερον γὰρ γίνεταί τι καὶ οὕτως ὑπάρχει. ἔστι δὲ ἀπορῆσαι πρὸς τὰς ὑπογραφάς, καὶ πρὸς μὲν τὰς πρώτας δύο ὑπογραφὰς κοινὴν ἀπορίαν· εἰ γὰρ συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου καὶ ὃ δύναται ὑπάρχειν καὶ

---

1 πρᾶξις λδʹ om. C 2 tit. om. C 4 δέ ἐστιν Porph. 4. 7 χωρὶς φθορᾶς τοῦ ὑποκειμένου C 7 ἀμενὸν V 7. 8 οὐδενόσωρον scripsi (cf. Hom. Θ 178): οὐδενὸς ὅρου C: οὐδενὸς ὥρων (o superscr.) V 10 ἀδιάφθορον Ca: ἀδιάφορον Cb: διάφθορον V 11 ὁμονυμίαν Cab (utrobique corr. m.2) 12 ἐφιλοκρίνει V σημαῖνον Ca 13 ὑπέγραψεν (pr. l.) V ὑπογράφει ex ὑπογράφῃ corr. m2 Cb 14 τῶν Marc. 201: om. CabV 14. 15 σημαινομαίνων Ca 17 pr. ἢ in ras. m.2 Ca 18 ante εὐλόγως superscr. καὶ Ca τὴν ὁμωνυμίαν] ὁμωνυμία V 21 ἐνδέχεται τῷ αὐτῷ ὑπ. Porph. 22 τρίτον Cab ὃ] ὅτι V οὐδὲ] οὔτε (ubique) Porph. οὐδὲ (ante ἴδιον) CaV: οὔτε (superscr. m.2) Cb 24 τί οὐκ ἔστιν] οὐκέτι V 25 τὴν φθορὰν Cb 26 πρότερον] πρῶτον V τι Cb Marc. 201: eras. Ca: om. V 27. 28 τὰς μὲν δύο ὑπογρ. πρώτας colloc. V

μὴ ὑπάρχειν τῷ αὐτῷ, οὐκέτι πᾶν συμβεβηκὸς αὕτη ἡ ὑπογραφὴ περιέλαβεν, ἀλλὰ μόνον τὸ χωριστόν. πρὸς ὅ φαμεν ὅτι ὅσον μὲν ἐπὶ τῇ ἐνεργείᾳ πᾶν συμβεβηκὸς ἢ ἀχώριστόν ἐστιν ἢ χωριστόν, ὅσον δὲ ἐπὶ τῇ ἐπινοίᾳ πᾶν συμβεβηκὸς χωριστόν. διό φησι καὶ αὐτὸς ὁ Πορφύριος ὅτι 5 δύναται ἐπινοηθῆναι καὶ κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβάλλων τὴν χροιὰν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. ἀλλὰ καὶ πρὸς τὴν πρώτην ὑπογραφὴν μόνην ἔστιν ἀπορῆσαι, ὅτι εἰ συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου, | πῶς ὁ ἑκτικὸς πυρε- 92r τὸς συμβεβηκὸς ὢν (θερμασία γάρ ἐστι παρὰ φύσιν), οὐκ ἀπογίνεται χωρὶς 10 φθορᾶς τοῦ ὑποκειμένου· εἰ μὴ γὰρ φθείρει τὸν ἄνθρωπον, οὐκ ἀπογίνεται. λύσις τούτου, ὅτι ὁ ἑκτικὸς πυρετὸς οὐ φθείρει τὸ ὑποκείμενον· οὐδὲν γὰρ τὸ ὑποκείμενον φθείρει, ἐπεὶ λήσει καὶ ἑαυτὸ φθεῖρον, πάντα δὲ τοῦ εἶναι ἐφίεται· ὁ γὰρ ἑκτικὸς πυρετὸς ἐν ἄλλῳ μέν ἐστιν, ἄλλο δὲ φθείρει· ἔστι μὲν γὰρ ἁπλῶς ἐν σώματι, φθείρει δὲ οὐ τὸ σῶμα (τὸ γὰρ 15 σῶμα ἔμεινε καὶ μετὰ θάνατον σῶμα), ἀλλὰ φθείρει τὴν ὑγρότητα τὴν ἐν τῷ σώματι· καθόλου γὰρ ἔστιν εἰπεῖν· ποιότης ποιότητι μάχεται, οὐ ποιότης ὑποκειμένῳ· ἡ γὰρ θερμότης τῇ ψύξει μάχεται καὶ ἡ ξηρότης τῇ ὑγρότητι, ὧν φθειρομένων φθείρεται καὶ τὸ ζῷον. καὶ ἡ ἐμφανὴς γὰρ καῦσις τῆς θρυαλλίδος οὐ τὸ ὑποκείμενον ἔφθειρε (τοῦτο γὰρ μένει καὶ 20 μετὰ τὴν ἀπόσβεσιν αὐτῆς), ἀλλὰ τὴν ὑγρότητα τῆς θρυαλλίδος, καὶ ἡ φαλάκρωσις οὐ τὴν κεφαλὴν φθείρει τὸ ὑποκείμενον ἀλλὰ τὴν τρίχωσιν, καὶ ἡ ἁρμονία οὐ τὰς χορδὰς φθείρει τὸ ὑποκείμενον ἀλλὰ τὸ ἀντικείμενον, φημὶ τὴν ἀναρμοστίαν. ταῦτα καὶ πρὸς τὴν ἀπορίαν τῆς πρώτης ὑπογραφῆς λεκτέον. ἔστι δὲ καὶ πρὸς τὴν τρίτην ὑπογραφὴν ἀπορῆσαι | τρεῖς 92v 25 ἀπορίας· μίαν μὲν ὅτι ἡ τρίτη ὑπογραφὴ τί οὐκ ἔστι μόνον λέγει τὸ συμβεβηκός, οὐ μὴν τί ἐστι, δευτέραν δὲ ὅτι ἁρμόζει ἡ τοιαύτη ὑπογραφὴ καὶ τῷ μηδαμῇ μηδαμῶς ὄντι (οὐδὲν γάρ ἐστι τοῦτο τῶν πέντε φωνῶν), καὶ τρίτην ὅτι διὰ τί ἐπὶ μὲν τοῦ συμβεβηκότος ἀποφάσκει μόνον ἡ ὑπογραφή, ἐπὶ δὲ τῶν ἄλλων φωνῶν οὐχ οὕτως, ἀλλὰ καταφατικῶς προῆλθε 30 πᾶσα ὑπογραφὴ αὐτῶν. αὗται μὲν αἱ ἀπορίαι. πρὸς τὴν πρώτην οὖν φαμεν ὅτι οὐ μόνον τί οὐκ ἔστι λέγει ἡ ὑπογραφή, ἀλλὰ καὶ τί ἐστι· ἑαυτὸν γὰρ ἐπελύσατο εἰπὼν ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ. * * τὸ συμβεβηκός, οὐχ ἁρμόζει τοῦτο τῷ μηδαμῇ μηδαμῶς ὄντι· ἐκεῖνο γὰρ

---

1 οὐκέτι] οὐκ ἔστι V 2 ὅσον] ὅσω V 3 ἢ ἀχώριστον — συμβεβηκὸς (4) om. V ὅσον — χωριστόν (4) in mrg. suppl. m.[1] Cb 5 ἀποβάλων V: ἀποβαλὼν Porph. 6 χροὰν V 9 γὰρ om. V παρὰ] περὶ V οὐκ] καὶ V 11 τούτου om. Cab 11. 12 οὐδὲν — φθείρει om. V 12 ἐπεὶ — φθεῖρον om. Ca λήσει] λήψει V φθείρει (alt. l.) V 12 πάντα — δὲ φθείρει (14) om. V 13 τοῦ scripsi: τὸ Cab 14 ἐν σώματι ἁπλῶς colloc. V δὲ om. V 16 ἔστιν om. V ποιότητος (alt. l.) V 17 θεμότης Cb 18 φθειρομένων] ων add. m.[2] Cab 19 θρυαλλίδος — ὡσαύτως· τὸ (p. 95,35) om. V 22. 23 an ἡ ἀναρμοστία . . . τὴν ἁρμονίαν? 23 πρώτης om. Cb 27 οὐδὲν] corrigas οὐδὲ πέντε] corrigas τεσσάρων 32 ἑαυτὸν Cb: ἑαυτὴν Ca (sed ἣν m[2].) τῷ ὑποκ. Ca , lacunam signavi, conicias πρὸς δὲ τὴν δεύτεραν ὅτι, ἐπεὶ ἀεί ἐστιν ἐν ὑποκειμένῳ 33 τῷ Cb: τὸ Ca

ὅλως μὴ ὂν οὐδὲ ἐν ὑποκειμένῳ ἐστίν. καὶ τὴν τρίτην ἀπορίαν λύσεις οὕτω λέγων· ἐπὶ τῶν ἄλλων φωνῶν οὐκ ἠδύνατο ἀποφατικῶς προαγαγεῖν τὰς ὑπογραφὰς καὶ εἰπεῖν 'γένος ἐστὶν ὃ μήτε διαφορὰ μήτε εἶδος μήτε ἴδιον μήτε συμβεβηκός' ἢ 'εἶδός ἐστιν ὃ μήτε γένος μήτε διαφορά' καὶ τὰ
5 λοιπά, μήπω γινωσκομένων αὐτῶν τί εἰσι, διὰ τὸ μὴ εὐθὺς ἀπορεῖν τινα 'τί γάρ ἐστι γένος καὶ τί εἶδος;'. ἐκείνων δὲ προ|εγνωσμένων καὶ ἄλλης λοιπὸν μὴ οὔσης φωνῆς εἰ μὴ ταύτης, εἰκότως καὶ ἀποφατικῶς προῆλθεν ἡ ὑπογραφή. 96v

⟨Πρᾶξις λε'⟩.

10 p. 13,6 Ἀφορισθέντων δὲ πάντων τῶν προτεθέντων.

Ἐπειδὴ ἔγνωμεν τὴν οὐσίαν τῶν πέντε φωνῶν διὰ τοῦ πρώτου τμήματος ἐκ τῶν ὑπογραφῶν, ἐν τῷ δευτέρῳ τμήματι τῷδε τὰς κοινωνίας καὶ διαφορὰς αὐτῶν λέγει καὶ ἐν τῷ τρίτῳ, ἀλλ' ἐν μὲν τῷ δευτέρῳ πασῶν ὑφὲν τὰς κοινωνίας καὶ διαφορὰς λέγει ἐν δὲ τῷ τρίτῳ πασῶν δύο φωνῶν
15 κοινωνίας λέγει καὶ διαφοράς. καὶ ἔδει μὲν αὐτὸν ἐνταῦθα γινόμενον πέρας ἐπιθεῖναι τῇ πραγματείᾳ· | ἃ γὰρ ὑπέσχετο ποιήσειν, πεποίηκεν ὑπογράψας ἑκάστην φωνήν. ἀλλ' ἐπειδὴ πρὸς Χρυσαόριον αὐτῷ ὁ λόγος, ἄνδρα τὰ πρῶτα φέροντα τῆς ἐν Ῥώμῃ γερουσίας καὶ διὰ τοῦτο περὶ τὰ πολιτικὰ πράγματα ἐπτοημένον, ὡς δεῖσθαι διὰ τοῦτο καὶ τῆς τῶν πάνυ σαφῶν διδασκαλίας, 97r
20 οὐκ ὤκνησεν ἀδολεσχῆσαι ἐν καιρῷ καὶ γράφειν αὐτῷ κοινωνίας καὶ διαφορὰς προδήλους οὔσας ἐκ τῶν εἰρημένων καὶ ἔξω τοῦ σκοποῦ· ὁ γὰρ εἰδὼς τί ἐστι γένος καὶ διαφορὰ καὶ ἴδιον καὶ τὰ λοιπά, πρόδηλον ὡς καὶ τὰς κοινωνίας αὐτῶν γινώσκει καὶ τὰς διαφοράς· τὰ γὰρ πράγματα οὔτε πάντῃ ὅμοιά ἐστιν ἑαυτοῖς (ἐπεὶ περίεργον ἔσται τὸ ἕτερον, οὐδὲν δὲ μάτην
25 ποιεῖ οὔτε ὁ θεὸς οὔτε ἡ φύσις), οὔτε πάντῃ διαφέρουσιν ἀλλήλων, ἐπεὶ διοίσουσι καὶ τῷ ἐκ μιᾶς εἶναι ἀρχῆς καὶ οὐκέτι μία τῶν ὅλων ἀρχή. ἀλλ' ἐπειδὴ μία τῶν πάντων ἀρχὴ καὶ ἀπειροδύναμος, καθὸ μὲν μία τῶν πάντων ἀρχή, κοινωνοῦσι πάντα, καθὸ δὲ ἀπειροδύναμος, διαφέρουσι. καὶ ταῦτα μὲν περὶ τούτου.

30 Ἐφ' οἷς εἴπωμεν τὰς κοινωνίας. καὶ αὐτὸς μὲν μίαν λέγει αὐτῶν κοινωνίαν, ὅτι πᾶσαι αἱ φωναὶ κοινωνοῦσιν ἀλλήλαις, ὅτι καθόλου εἰσίν. ἡμεῖς προσθῶμεν καὶ ἄλλας δύο κοινωνίας αὐτῶν, ὅτι πᾶσαι | φιλόσοφοί εἰσι καὶ ὅτι μιᾶς ὁποιασοῦν ἀναιρουμένης καὶ αἱ λοιπαὶ ἀναιροῦνται· γένους γὰρ ἀναιρεθέντος εἶδος οὐκ ἔστιν οὐδὲ διαφορά (συνεκλείπουσι γὰρ τῷ μὲν
35 γένει αἱ διαιρετικαὶ διαφοραί, τῷ δὲ εἴδει αἱ συστατικαί), καὶ εἴδους μὴ ὄν- 97v

---

2 προαγαγεῖν scripsi: προαγάγαι (sed αι m.²) Cab 3 ὃ scripsi: τὸ Cab
6 γὰρ eras. Cb δὲ Cb: om Ca ἄλλης scripsi: ἄλλων C 9 πρᾶξις λε' addidi 10 πάντων Porph.: πασῶν C 17 ἑκάστην scripsi: τοιαύτην C
20 γράφην C¹ 24 ἔσται] αι corr. C² 26 τῷ scripsi: τὸ C 30 εἴπομεν C¹

ὄντος οὐδὲ ὁ χαρακτὴρ αὐτοῦ ἔσται, τὸ ἴδιον, ἰδίου ⟨δὲ⟩ μὴ ὄντος ἄτομον οὐκ ἔστιν οὐδὲ συμβεβηκός. καὶ ἀντιστρόφως ἐὰν εἴπῃς, τὸ αὐτὸ εὑρήσεις. αὗται μὲν αὐτῶν αἱ κοινωνίαι. ἔλθωμεν δὲ καὶ ἐπὶ τὰς διαφορὰς αὐτῶν. διχῶς δὲ λαμβάνονται αὐτῶν αἱ διαφοραί· ἢ γὰρ κατὰ τὸ ὑποκείμενον ἢ
5 κατὰ τὸ κατηγορούμενον. κατὰ μὲν τὸ τὸ ὑποκείμενον, ὅτι ἐπὶ πλέον ἐστὶ τὸ γένος τῆς διαφορᾶς καὶ ἡ διαφορὰ τοῦ ἰδίου καὶ τὸ ἴδιον τοῦ εἴδους· τὸ γὰρ ἴδιον καὶ τοῦ ἀνθρώπου τοῦ καθόλου κατηγορεῖται καὶ τῶν κατὰ μέρος ἀνθρώπων, ὁ δὲ καθόλου ἄνθρωπος μόνον τοῦ κατὰ μέρος ἀνθρώπων κατηγορεῖται. οὐ δεῖ δὲ διὰ τοῦτο παραιτεῖσθαι τὸ λέγειν ἀντιστρέ-
10 φειν τὸ ἴδιον τῷ εἴδει διὰ τὸ δοκεῖν τὸ ἴδιον ἐπὶ πλέον εἶναι· εἰ γὰρ καὶ ἀντιστρέφει τὸ ἴδιον τῷ εἴδει καὶ ταύτῃ νομίζεται ἐξισάζειν αὐτῷ, ἀλλ' ἐπὶ πλειόνων φέρεται τὸ ἴδιον, ὡς εἴρηται, | ἤπερ τὸ εἶδος, εἴ γε τὸ μὲν 98r γελαστικὸν καὶ ἀνθρώπου καὶ τῶν κατὰ μέρος ἀνθρώπων κατηγορεῖται, τὸ δὲ εἶδος οἷον ἄνθρωπος κατὰ μόνων τῶν κατὰ μέρος ἀνθρώπων. ἀντι-
15 στρέφει δὲ τὸ ἴδιον ὡς μόνῳ τῷ εἴδει ὑπάρχον καὶ παντὶ καὶ ἀεί, καὶ μὴ ἐκ συμβεβηκότος αὐτῷ. τὸ δὲ συμβεβηκὸς οἷον τὸ λευκὸν καὶ τοῦ εἴδους ἐπὶ πλέον οἷον τοῦ ἀνθρώπου καὶ τοῦ ἰδίου οἷον τοῦ γελαστικοῦ, τοῦ μὲν εἴδους, ὅτι πολλοῖς εἴδεσιν ὑπάρχει, τοῦ δὲ ἰδίου, ὅτι τὸ ἴδιον ἑνὶ μόνῳ εἴδει ὑπάρχει. καὶ οὕτως μὲν ἐκ τοῦ ὑποκειμένου· ἀλλὰ καὶ ἐκ τοῦ
20 τρόπου τῆς κατηγορίας· τὰ γὰρ οὐσιώδη, γένος καὶ διαφορά, ὡς καθολικώτερα οὐσιώδη πρῶτον τοῖς εἴδεσιν ὑπάρχουσι καὶ οὕτως τοῖς ἀτόμοις (τὸ γὰρ ζῷον γένος ὂν πρῶτον ὑπάρχει τῷ καθόλου ἀνθρώπῳ, καὶ οὕτως τοῖς κατὰ μέρος, οἷον Σωκράτει καὶ Πλάτωνι), τὸ δὲ συμβεβηκὸς πρῶτον τοῖς ἀτόμοις ὑπάρχει καὶ οὕτως τοῖς εἴδεσιν· ὁ γὰρ καθόλου κύκνος λευκὸς λέ-
25 γεται, καίτοι ἀσώματος ὢν καὶ ἄδεκτος λευκότητος, διὰ τὸ μηδένα τῶν κατὰ μέρος κύκνων ἐκπεφευγέναι τὴν λευκότητα. πρόσθες δὲ σὺ καὶ ἄλλα ἴδια αὐτῶν, ὅτι τῶν πέντε φωνῶν αἱ ὑπογραφαὶ διάφοροι, ⟨ὧν δὲ αἱ ὑπογραφαὶ διάφοροι⟩, καὶ αὐτὰ διάφορα, καὶ ὅτι τὸ μὲν γένος καὶ τὸ εἶδος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ | καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκὸς ἐν τῷ 98v
30 ποιόν τί ἐστι. ταῦτα ἔχει ἡ θεωρία.

⟨Πρᾶξις λς'⟩.

p. 13,23 Κοινὸν δὲ γένους καὶ διαφορᾶς.

Παραδοὺς ἡμῖν ὁ Πορφύριος ἐν τῷ δευτέρῳ τμήματι ὑφ' ἓν τῶν πέντε φωνῶν τὰ κοινὰ καὶ διαφέροντα, ἐν τῷ τρίτῳ τμήματι παραδίδωσιν ἡμῖν
35 πασῶν τῶν δύο φωνῶν τὰ κοινὰ καὶ ἴδια. ἀλλ' ἐπειδὴ τῶν προτέρων

---

1 δὲ inserui 2 εὑρήσῃς C[1] 5 πλέον Marc. 201: πλεῖον C (cf. v. 10. 17) 11 ἀντιστρέφει Marc. 201: ἀντιστρέφειν C 12 ἤπερ Marc. 201: εἴπερ C 14 μόνων Marc. 201: μόνον C 16 αὐτῷ scripsi: αὐτὸ C 19 εἴδει in mrg. suppl. C 27 ὧν — διάφοροι inserui (cf. Porph. p. 20,23) 28 τὸ (post ὅτι) Marc. 201: superscr. C[2] 31 πρᾶξις λς' addidi

πρότεραι καὶ αἱ συζυγίαι, πρότερα δὲ φύσει γένος καὶ διαφορά, τούτων πρότερον λέγει τὰ κοινὰ καὶ ἴδια. καὶ εὐλόγως ἐν μὲν τῇ διδασκαλίᾳ προέταξε τὸ εἶδος τῆς διαφορᾶς ὡς συνεισφερόμενον τῷ γένει, πρὸ δὲ τῆς διδασκαλίας αὐτῶν ἤγουν ὑπογραφῆς καὶ ἐνταῦθα πάλιν προτάττει τὴν δια-
5 φορὰν τοῦ εἴδους ὡς καθολικωτέραν. ἐπειδὴ δὲ σχεδὸν ἐν πάσαις ταῖς κοινωνίαις καὶ διαφοραῖς μέμνηται τοῦ φύσει προτέρου, εἴπωμεν τί χαρακτηρίζει τὸ φύσει πρότερον. δεῖ δὲ εἰδέναι ὅτι χαρακτηρίζει αὐτὸ τὸ συναναιρεῖν καὶ μὴ συναναιρεῖσθαι καὶ συνεισφέρεσθαι | καὶ μὴ συνεισφέρειν· 99r ἰδοὺ γὰρ τὸ ζῷον φύσει πρότερον τοῦ ἀνθρώπου ὡς συναναιροῦν καὶ μὴ
10 συναναιρούμενον· ζῴου γὰρ μὴ ὄντος οὐδὲ ἄνθρωπος ἔστιν, ἀνθρώπου δὲ μὴ ὄντος οὐδὲν ἧττον τὸ ζῷον ἔστιν. ἀλλὰ καὶ συνεισφέρεται καὶ οὐ συνεισφέρει· ὁ γὰρ ἄνθρωπος εἰσφέρει τὸ ζῷον (εἴ τι γὰρ ἄνθρωπος, ζῷον), τὸ δὲ ζῷον οὐ συνεισφέρει τὸν ἄνθρωπον· δύναται γὰρ εἶναι ζῷον χωρὶς ἀνθρώπου. καὶ ἐπὶ τῆς διαφορᾶς ὡσαύτως· λογικοῦ ἀναιρεθέντος συναν-
15 αιρεῖται καὶ ἄνθρωπος καὶ πᾶν λογικόν, ἀνθρώπου δὲ μὴ ὄντος ἔστι λογικὸν ἄλλο, οἷον ἄγγελος. καὶ ἄνθρωπος μὲν συνεισφέρει τὸ λογικόν (εἴ τι γὰρ ἄνθρωπος, λογικόν), τὸ λογικὸν δὲ οὐ συνεισφέρει τὸν ἄνθρωπον· οὐκ εἴ τι γὰρ λογικόν, ἄνθρωπος.

Τούτων οὕτως ἐχόντων, εἴπωμεν τὰς κοινωνίας αὐτῶν καὶ διαφοράς.
20 τρία τοίνυν λέγει κοινὰ καὶ ἓξ ἴδια. πρῶτον μὲν κοινὸν γένους καὶ διαφορᾶς τὸ ἀμφότερα κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖσθαι, δεύτερον κοινὸν αὐτῶν τὸ μὴ μόνον αὐτὰ κατηγορεῖσθαι τῶν εἰδῶν, ἀλλὰ καὶ τὰ οἰκεῖα κατηγορούμενα διαβιβάζειν εἰς τὰ εἴδη· ἰδοὺ γὰρ τὸ ζῷον γένος ὂν κατηγορεῖται τοῦ ἀνθρώπου, ἀλλὰ καὶ τὸ ἔμψυχον καὶ αἰσθητικὸν
25 κατηγορούμενα τοῦ ζῴου | καὶ τοῦ ἀνθρώπου κατηγορεῖται. καὶ ἐπὶ τῆς 99v διαφορᾶς ὡσαύτως· τὸ λογικὸν γὰρ τοῦ ἀνθρώπου κατηγορεῖται, ἀλλὰ καὶ τὸ λόγῳ κεχρῆσθαι κατηγορούμενον τοῦ λογικοῦ καὶ τοῦ ἀνθρώπου κατηγορεῖται· ὁ γὰρ ἄνθρωπος καὶ λόγῳ κέχρηται καὶ λογικός ἐστιν ὡς ἔχων καὶ ἐνδιάθετον λόγον καὶ προφορικόν. ὁ μέντοι ἄγγελος λόγῳ οὐ χρῆται
30 ὡς ἐνδιάθετον μόνον ἔχων λόγον, οὐ μὴν καὶ προφορικόν. ὅταν δὲ λέγωμεν τὰ τοῦ γένους καὶ τῆς διαφορᾶς κατηγορούμενα καὶ τοῦ εἴδους κατηγορεῖσθαι, μὴ ὡς φωνὴν λάβῃς τὸ κατηγορούμενον ἀλλ' ὡς πρᾶγμα· ἰδοὺ γὰρ τὸ δισύλλαβον κατηγορεῖται τοῦ ζῴου, τοῦ δὲ ἀνθρώπου οὐ κατηγορεῖται (οὐδεὶς γὰρ λέγει τὸν ἄνθρωπον δισύλλαβον), ἐπειδὴ ὡς φωνῆς τοῦ
35 ζῴου τὸ δισύλλαβον κατηγορεῖται. καὶ ἐπὶ τῆς διαφορᾶς ὡσαύτως· τὸ τετρασύλλαβον κατηγορεῖται τῆς διαφορᾶς, τοῦ δὲ ἀνθρώπου οὐ κατηγορεῖ-

2 πρώτερον C 2. 3 προέταξα C 3. 4 δασκαλίας C 6 εἴπομεν C¹ 7 πρότερον C²: πρῶτον C¹ 11 οὐδὲν] οὐδὲ C¹ οὐ supra scr. C 12 scribas συνεισφέρει 14 τῆς διαφορᾶς Marc. 201: τὰς διαφορὰς C (cf v. 25. 26) 16 ἄγγελος] scribas θεός (cf. p. 63,28. 66,2) 17 λογικόν (prius) in mrg. suppl. C² 18 an οὐ γὰρ εἴ τι? 27 τὸ scripsi: τῷ C κατηγορούμενον scripsi: κατηγορούμενα C 29 ὁ μέντοι — προφορικόν (30) eicias 30. 31 λέγομεν C¹ 31 τὰ τοῦ γένους κ. τ. δ. κατηγορούμενα καὶ Marc. 201: τὸ γένος καὶ τὴν διαφορὰν C 36 τετρασύλλαβον] hinc denuo exstat V

ται, ἐπειδὴ ὡς φωνῆς τῆς διαφορᾶς κατηγορήθη τὸ τετρασύλλαβον. ἐν οἷς καὶ τὸ δεύτερον. τρίτον κοινὸν τὸ φύσει πρότερα εἶναι τὸ γένος καὶ τὴν διαφορὰν ὡς συναναιροῦντα καὶ μὴ συναναιρούμενα. ἐφ' οἷς ἔλθωμεν καὶ ἐπὶ τὰ ἴδια αὐτῶν. πρῶτον οὖν διάφορον γένους καὶ διαφορᾶς, ὅτι διαφέρει 5 τὸ γένος τῆς διαφορᾶς ὡς καθολικώτερον αὐτῆς. δεῖ δὲ διαφορὰς λαμβάνειν | τὰς διαιρετικάς, οὐ τὰς συστατικὰς τοῦ γένους· αὗται γὰρ καθολικώ- 100r τεραί εἰσιν ἐκείνων, ὧν εἰσι συστατικαί. δεύτερον ὅτι τὸ γένος ἐνεργείᾳ, αἱ δὲ διαφοραὶ δυνάμει ἐν τοῖς γένεσι. τρίτον ὅτι τὰ γένη τῶν διαφορῶν φύσει πρότερα. διὸ καὶ ἀποροῦσιν ὅτι ταὐτὸν τῷ πρώτῳ τὸ τρίτον ἐστίν· 10 εἰ γὰρ καθολικώτερον, καὶ φύσει πρότερον. ἀλλ' ἵνα μὴ δόξωμεν ἀδολεσχεῖν, τὸ τρίτον πρῶτον ποιήσωμεν καὶ προτάξωμεν τὸ φύσει πρῶτον τοῦ καθολικωτέρου, ὡς ἄλλο καὶ ἄλλο· δύναται γὰρ εἶναι τῇ φύσει πρῶτον καὶ μὴ καθόλου, ὡς ἡ μονὰς φύσει μὲν προτέρα τῆς δυάδος, καθολικωτέρα δὲ οὐκ ἔστι, καὶ ἡ οὐσία τῶν ἄλλων κατηγοριῶν φύσει προτέρα, 15 καθολικωτέρα δὲ αὐτῶν οὐκ ἔστιν, ἐπειδὴ οὐδὲ κατηγορεῖται αὐτῶν. τέταρτον ὅτι τὸ μὲν γένος ἐν τῷ τί ἐστιν, ἡ δὲ διαφορὰ ἐν τῷ ποιόν τί ἐστι κατηγορεῖται. πέμπτον διάφορον γένους καὶ διαφορᾶς, ὅτι ἐν τοῖς ὁρισμοῖς ἓν μὲν τὸ γένος, διαφοραὶ δὲ πλείους. ἕκτον ὅτι ἄλλῳ ἔοικε τὸ γένος (ὕλῃ γάρ), καὶ ἄλλῳ ἔοικεν ἡ διαφορά· εἴδει γάρ. καὶ ταῦτα ὁ Πορ- 20 φύριος. ἡμεῖς δὲ προσεθήκαμεν τρία κοινὰ καὶ τρία διάφορα. καὶ πρῶτον μὲν κοινὸν αὐτῶν τὸ καὶ τὸ γένος καὶ τὴν διαφορὰν ἀμφότερα ἁπλᾶ εἶναι,| δεύτερον ὅτι ἀμφότερα μέρη γίνεται τοῦ εἴδους, τρίτον ὅτι πέντε οὐσῶν 100v τῶν φωνῶν ἐκ τούτων μόνων τῶν δύο οἱ ὁρισμοὶ λαμβάνονται. καὶ τὸ ἄμφω ὁμοίως μετέχεσθαι ὑπὸ τῶν εἰδῶν, καὶ τὸ ἄμφω συνωνύμως κατη- 25 γορεῖσθαι τῶν εἰδῶν, καὶ τὸ ἄμφω συστατικὰ εἶναι τῶν εἰδῶν. ταῦτα μὲν τὰ κοινά. τὰ δὲ ἴδια τρία· πρῶτον μὲν ὅτι οὐδέποτε τὸ γένος τῷ οἰκείῳ εἴδει ἀντιστρέφει, ἡ δὲ διαφορὰ ἀντιστρέφει, ὡς τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἀντιστρέφει γὰρ πρὸς τὸν ἄνθρωπον. δεύτερον ὅτι ἔστι τι γένος μὴ δυνάμενον γενέσθαι εἶδος, πᾶσα δὲ διαφορὰ καὶ συστατικὴ καὶ διαιρετική 30 ἐστιν, οὐ πᾶν δὲ γένος καὶ εἶδός ἐστι. τρίτον ὅτι τὸ μὲν γένος καὶ τὸ εἶδος ἄκρα γενέσθαι δύνανται, ἡ δὲ διαφορὰ ἄκρον οὐδέποτε δύναται γενέσθαι· ἀεὶ γὰρ μέση ἐστὶ γένους καὶ εἴδους. καὶ ὅτι διαφορὰ μὲν δια-

---

1 φωνῆς] φωνὴ V τῆς διαφορᾶς om. C 2 πρότερον V 3 post διαφορὰν addas τῶν ὑπ' αὐτὰ συνανεροῦντα et συνανερούμενα V alt. καὶ om. V 7 alt. εἰσι] σι superscr. m.² C τὸ superscr. C 12 καθολικοτέρου C 13 καθόλου] scribas καθολικώτερον 15 οὐδὲ om. V 18 pr. τὸ om. C ἄλλῳ] ἄλλο V 19 καὶ ἄλλῳ ἔοικεν ἡ δ., εἴδει γάρ om. V 20 προσεθήκαμεν scripsi: προεθήκαμεν CV alt. τρία CV: πέντε Marc. 201; quod recipias, nisi malis infra v. 32 καὶ ὅτι — p. 97,4 οὐκ ἔστι eicere 21 alt. τὸ om. C 21. 22 ἁπλᾶ — ἀμφότερα om. V 23 pr. τῶν om. C μόνον V καὶ τὸ ἄμφω — εἶναι τῶν εἰδῶν (25) eicias 24 ὁμοίως — ἄμφω om. V συνονύμως C¹ 25 συστατικὰ εἶναι] συστατικὸν V 26 τρία. πρῶτον μὲν om. C (cf. v. 20) 27 ἡ δὲ διαφορὰ ἀντιστρέφει om. V 28 ὅτι om. V τι om. C 30 οὐ πᾶν — ἐστι eicias 32 καὶ ὅτι διαφορὰ — οὐκ ἔστι (p. 97,4) eicias (cf. v. 20)

φορᾷ ἐπιμίγνυται, ἵνα ποιήσῃ εἶδος (ὡς τὸ λογικὸν τῷ θνητῷ μιγνύμενον ποιεῖ τὸ τοῦ ἀνθρώπου εἶδος), γένος δὲ γένει οὐ συνέρχεται πρὸς γένεσιν εἴδους. καὶ ὅτι διαφοραί ποτε κατὰ συμβεβηκὸς ὑπάρχουσιν, ὡς αἱ κοινῶς καὶ ἰδίως λεγόμεναι, γένος δὲ κατὰ συμβεβηκὸς οὐκ ἔστι. ταῦτα ἔχει ἡ
5 θεωρία.

Πρᾶξις λζʹ.

p. 15,10 Γένος δὲ καὶ εἶδος κοινὸν μὲν ἔχουσι τὸ κατὰ πλειόνων, ὡς εἴρηται, | κατηγορεῖσθαι.

Παραβαλὼν ὁ Πορφύριος τὸ γένος τῇ διαφορᾷ καὶ εἰπὼν τὰ κοινὰ 101r
10 αὐτῶν καὶ διάφορα, παραβάλλει αὐτὸ καὶ πρὸς τὰς λοιπὰς φωνάς, καὶ πρῶτον πρὸς τὸ εἶδος. ἀλλὰ πρῶτον παρεγγυᾷ λέγων μὴ δεῖν παραβάλλειν τὸ γένος πρὸς εἶδος, ἔστ' ἂν τὸ αὐτὸ καὶ γένος ᾖ καὶ εἶδος, ὡς τὰ ὑπάλληλα, ἐπεὶ εὑρίσκεται αὐτὸ πρὸς ἑαυτό τις παραβάλλων· αὐτοῦ δὲ πρὸς ἑαυτὸ διαφορὰ οὐκ ἔστιν· οὐ δεῖ γὰρ παραβάλλειν τὸ σῶμα πρὸς τὸ σῶμα
15 αὐτὸ πρὸς ἑαυτό, ἀλλὰ πρὸς τὸ ἔμψυχον σῶμα, ὅ ἐστιν αὐτοῦ εἶδος. ἐφ' οἷς λέγει τρία κοινὰ γένους καὶ εἴδους καὶ πέντε ἴδια. καὶ πρῶτον μὲν κοινὸν τὸ ἀμφότερα κατὰ πλειόνων κατηγορεῖσθαι, δεύτερον ὅτι φύσει πρότερα τῶν ἀτόμων, τρίτον τὸ ὁλότητας αὐτὰ εἶναι τῶν ἀτόμων, ἀλλὰ τὸ μὲν εἶδος προσεχὴς ὁλότης τῶν ἀτόμων, τὸ δὲ γένος πόρρω ὁλότης. ἔτι κοι-
20 νὸν ἔχουσι τὸ ἄμφω ἐν τῷ τί ἐστι κατηγορεῖσθαι καὶ τὸ ἐπίσης μετέχεσθαι ὑπὸ τῶν μετεχόντων αὐτῶν καὶ τὸ ἄμφω συνωνύμως τῶν ὑπ' αὐτὰ κατηγορεῖσθαι· συνωνύμως δὲ κατηγορεῖται τὸ μεταδιδὸν τῷ ὑποκειμένῳ καὶ τοῦ οἰκείου ὀνόματος καὶ τοῦ ὁρισμοῦ. διαφέρουσι δὲ πενταχῶς, καὶ πρῶτον μὲν ὅτι ἐπὶ πλέον τὸ γένος τοῦ εἴδους· | τὸ μὲν γὰρ γένος περι- 101v
25 έχει τὰ εἴδη, τὰ δὲ εἴδη περιέχεται καὶ οὐ περιέχει τὰ γένη. δεύτερον ὅτι τὸ γένος τοῦ εἴδους φύσει πρότερον, ὅθεν εἴδους μὲν ὄντος ἔστι καὶ γένος, γένους δὲ ὄντος οὐ πάντως ἔστιν εἶδος. τρίτον ὅτι τὸ μὲν γένος τοῦ εἴδους συνωνύμως κατηγορεῖται (μεταδίδωσι γὰρ ⟨τὸ ζῷον⟩ τῷ ἀνθρώπῳ, τοῦτ' ἔστι τῷ εἴδει, τοῦ ἰδίου ὀνόματος καὶ ὁρισμοῦ· καὶ γὰρ ὁ ἄνθρωπος καὶ
30 ζῷον λέγεται καὶ οὐσία ἔμψυχος αἰσθητική), τὸ δὲ εἶδος τοῦ γένους οὐκέτι.

---

3 ὡς αἱ] ὅσαι C 4 συμβεβηκότος V ἔστιν τι (τι superscr.) V 6 πρᾶξις λζʹ scripsi: πρᾶξις λεʹ V: om. C 9 παραβαλὼν] παραλαβὼν V τὰ superscr. C[2]: om. V 11. 14 παραβάλλειν] παραλαβεῖν C[1] 12 τὸ γένος πρὸς] γένος καὶ V ἔστ' ἂν — εἶδος om. V ᾖ Marc. 201: om. C 13 τις παραβάλλων — ἑαυτό om. V τις scripsi: τὸ C παραβάλλων C[1]: παραβάλλον C[2] 14 οὐ δεῖ] οὐδὲ V 18 εἶναι om. V 19 προσεχὲς V 20 alt. τὸ om. V 22 μεταδιδοῦ V 23 πενταχῶς] τετραχῶς V 24 πλεῖον V τοῦ om. V 25 περιέχεται καὶ οὐ om. V 26 πρότερον φύσει colloc. V 27 γένους δὲ μὴ ὄντος C 28 μεταδίδοσι C post γὰρ inserui τὸ ζῷον 30 οὐκέτι Marc. 201: οὐκ ἔστι CV

τέταρτον ὅτι ἀντιπλεονεκτοῦσιν ἑαυτά· τὸ γὰρ γένος πλείονα εἴδη περιέχει, οἷον τὸ ζῷον γένος ὃν περιέχει ἄγγελον καὶ ἄνθρωπον ἵππον βοῦν καὶ τὰ λοιπά, τὸ δὲ εἶδος τὰς διαφορὰς πάσας ἐνεργείᾳ ἔχει τοῦ γένους δυνάμει ἔχοντος, τιμιώτερον δὲ τὸ ἐνεργείᾳ τοῦ δυνάμει. πέμπτον ὅτι ἔστι
5 τι γένος ὃ οὐ δύναται γενέσθαι εἶδος, φημὶ τὸ γενικώτατον, καὶ ἔστιν εἶδος μὴ δυνάμενον γενέσθαι γένος, ὅ ἐστι εἰδικώτατον.

Οὕτως συμπλέξας τὸ γένος τῷ εἴδει συμπλέκει αὐτὸ καὶ τῷ ἰδίῳ καὶ λέγει τρία κοινὰ καὶ τέσσαρα διάφορα. καὶ πρῶτον μὲν κοινόν ἐστι γένους καὶ ἰδίου τὸ ἀμφότερα ἕπεσθαι τοῖς εἴδεσιν· εἰ γὰρ ἄνθρωπος, ζῷον, καὶ
10 εἰ ἄνθρωπος, γελαστικόν. δεύτερον ὅτι ἀμφότερα ἐπίσης κατηγοροῦνται· ἐπίσης γὰρ καὶ τοῦ ζῴου μετέχουσιν οἱ ἄνθρωποι καὶ ἐπίσης τοῦ γελαστικοῦ, | εἰ καὶ τῇ ἐνεργείᾳ κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφέρουσι. τρίτον κοι- 102r νὸν ὅτι συνωνύμως κατηγοροῦνται τῶν εἰδῶν ἀμφότερα· ὁ γὰρ ἄνθρωπος καὶ ζῷον λέγεται ⟨καὶ οὐσία ἔμψυχος αἰσθητική, καὶ γελαστικὸς λέγεται⟩ καὶ
15 ζῷον γελᾶν δυνάμενον. ταῦτα μὲν κοινά. διάφορα δὲ τέσσαρα· πρῶτον μὲν ὅτι τὸ γένος τοῦ ἰδίου πρότερον φύσει. δεύτερον ὅτι τὸ μὲν γένος κατὰ πλειόνων εἰδῶν κατηγορεῖται, τὸ δὲ ἴδιον ἑνὸς εἴδους, οὗ ἐστιν ἴδιον. τρίτον ὅτι τὸ γένος οὐκ ἀντιστρέφει πρὸς τὸ εἶδος, τὸ δὲ ἴδιον ἀντιστρέφει, ὡς τὸ γελαστικόν. τέταρτον ὅτι τὸ μὲν ἴδιον παντὶ τῷ εἴδει ὑπάρχει, οὗ
20 ἐστιν ἴδιον, καὶ μόνῳ καὶ ἀεί, τὸ δὲ γένος παντὶ μὲν τῷ εἴδει, οὗ ἐστι γένος, ὑπάρχει καὶ ἀεί, οὐ μὴν καὶ μόνῳ.

Οὕτως ταῦτα εἰπὼν παραβάλλει τὸ γένος πρὸς τὸ συμβεβηκὸς καὶ ἓν αὐτῶν λέγει κοινὸν ὡς πολὺ διεστώτων, τὸ κατὰ πλειόνων εἰδῶν φέρεσθαι· ἐπιστήμονος γάρ ἐστιν εἰπεῖν κοινωνίας τῶν πολὺ διαφερόντων καὶ
25 διαφορὰς τῶν πολὺ κοινωνούντων. ἐφ' οἷς λέγει τὰ διάφορα αὐτῶν τέσσαρα ὄντα, καὶ πρῶτον μὲν ὅτι τὸ γένος πρὸ τῶν εἰδῶν ἐστι, τὰ δὲ συμβεβηκότα τῶν εἰδῶν ὕστερα· κἂν γὰρ ἀχώριστον ᾖ συμβεβηκός, οἷον γρυπότης ἢ σιμότης, ἀλλ' οὖν πρότερόν ἐστι τὸ ὑποκείμενον ἐκεῖνο, ἐν ᾧ ταῦτα τὸ εἶναι ἔσχον. δεύτερον ὅτι τοῦ μὲν γένους ἐπίσης τὰ μετέχοντα|
30 μετέχει, τοῦ δὲ συμβεβηκότος οὐκ ἐπίσης· λέγομεν γὰρ μᾶλλον λευκὸν 102v καὶ ἧττον καὶ σιμὸν μᾶλλον καὶ ἧττον. τρίτον ὅτι τὰ μὲν συμβεβηκότα, ὡς καὶ ἀνωτέρω μεμαθήκαμεν, ἐπὶ τῶν ἀτόμων προηγουμένως ὑφίστανται καὶ κατὰ δευτέραν τάξιν ἐπὶ τῶν εἰδῶν (τὸν γὰρ καθόλου κύκνον λευκὸν λέγομεν καίτοι ἀσώματον ὄντα διὰ τὸ μηδένα τῶν κατὰ μέρος κύκνων ἐκ-
35 πεφευγέναι τὴν λευκότητα), τὰ δὲ γένη καὶ τὰ εἴδη φύσει πρότερα τῶν

---

1 αὐτὰ C 2 ἄνθρ. ἵππον βοῦν ἄγγελον V; ἄγγελον καὶ eicias ἵππ. καὶ βοῦν C 4 τιμιώτερον — σιμότης (28) om. V 8 ἐστι Marc. 201: om. C 10 εἰ Marc. 201: om. C 12 κατὰ Marc. 201: καὶ C 13 εἰδῶν Marc. 201: ἰδίων C 14 καὶ οὐσία —λέγεται inserui (cf. p. 97,30) 19 an γελαστικὸν ⟨πρὸς τὸν ἄνθρωπον⟩? 23 ἓν αὐτῶν scripsi; ἑαυτῶν C: ἐν αὐτῷ Marc. 201 23. 24. 25 πολλὺ C 28 ἀλλ' οὖν] ἀλλὰ C 30 μᾶλλον ἢ λευκὸν V 32 καὶ om. V ἀνοτέρω V (cf. p. 94,23) ἀφίστανται V 33 κύκνον ex κύκλιον corr. V 34. 35 ἐκφευγέναι C[1] 35 φύσει πρότερα Porph.: φύσει προτέρω C: φησὶ πρότετα (sic) V

ἀτόμων οὐσιῶν. τέταρτον ὅτι τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται τῶν ὑπ' αὐτό, τὸ δὲ συμβεβηκὸς ἐν τῷ ποιόν τι ἢ πῶς ἔχον ἕκαστον· ποῖος γὰρ Αἰθίοψ ἐρωτηθεὶς ἐρεῖς 'μέλας' καὶ πῶς ἔχει Σωκράτης ἐρεῖς 'κάθηται ἢ περιπατεῖ'.

5 ## ⟨Πρᾶξις λη'⟩.

p. 17,14 Τὸ μὲν οὖν γένος ᾗ τῶν ἄλλων τεττάρων διαφέρει, εἴρηται.

Ἐπειδὴ ἔγνωμεν τὰς σχέσεις τοῦ γένους, ἃς ἔχει πρὸς τὰς λοιπὰς φωνάς, φέρε κατὰ δίαυλόν τινα ἑτέραν ἀρχὴν προσστησάμενοι τὴν διαφορὰν 10 εἴπωμεν τὰς σχέσεις, ἃς ποιεῖται ἡ διαφορὰ πρὸς τὰς λοιπὰς φωνάς, τοῦτ' ἔστιν εἶδος, ἴδιον, συμβεβηκός· τοῦ μὲν γὰρ γένους αἱ πρὸς τὰς λοιπὰς φωνὰς σχέσεις τέσσαρες, ὡς μεμαθήκαμεν, | πρός τε διαφορὰν καὶ εἶδος 103r καὶ ἴδιον καὶ συμβεβηκός, τῆς δὲ διαφορᾶς τρεῖς πρὸς τὰς μετ' αὐτήν, τοῦτ' ἔστιν εἶδος, ἴδιον καὶ συμβεβηκός, τοῦ δὲ εἴδους δύο πρὸς τὰς ἑξῆς, 15 ἴδιον καὶ συμβεβηκός, τοῦ δὲ ἰδίου καὶ συμβεβηκότος μία, ὡς γενέσθαι τὰς ὅλας δέκα, ὧν τέσσαρες ἤδη εἴρηνται ἡμῖν. ἀλλ' ἵνα μὴ οὕτως ἰδιωτικῶς ἑκάστην σχέσιν ἀριθμῶμεν (νῦν μὲν γὰρ εὐπετὲς διὰ τὸ πέντε εἶναι τοὺς ὅρους, ἐπὶ πολλῶν δὲ ὅρων διδομένων δυσχερὲς εἰπεῖν πόσαι γίνονται σχέσεις)· δεῖ οὖν εἰπεῖν μέθοδόν τινα, δι' ἧς δυνηθῶμεν ὅσων 20 δήποτε ὅρων δοθέντων εἰπεῖν τὸν ἀριθμὸν τῶν σχέσεων. ἔστι δὲ ἡ μέθοδος αὕτη· δεῖ λαβεῖν πάντας τοὺς ἀναδιδομένους ὅρους, ὅσοι ἂν ὦσι, καὶ πολλαπλασιάσαι ἐπὶ τὸν μονάδι ἐλάττονα καὶ τῶν συναγομένων λαβεῖν τὸ ἥμισυ καὶ τοσαύτας ἀποφαίνεσθαι εἶναι τὰς σχέσεις· ὥσπερ ἐνταῦθα πέντε οὐσῶν τῶν φωνῶν δεῖ πολυπλασιάσαι ἐπὶ τὸν μονάδι ἐλάττονα, 25 φημὶ τὸν τέσσαρα, πεντάκις τέσσαρα εἴκοσι, καὶ τούτων λαβεῖν τὸ ἥμισυ καὶ τοσαύτας εἰπεῖν τὰς σχέσεις, τοῦτ' ἔστι δέκα, ὥσπερ καί εἰσι δέκα. ὁμοίως καὶ δέκα ὅρων δοθέντων ἐὰν πολυπλασιάσῃς ἐπὶ τὸν μονάδι ἐλάττονα τὸν ἐννέα, δεκάκις ἐννέα | ἐνενήκοντα, καὶ τούτων λάβῃς τὸ ἥμισυ, 103v εὑρήσεις τεσσαράκοντα πέντε οὔσας τὰς σχέσεις. ἀποροῦσι δὲ ὅτι 'διὰ τί 30 ἐπὶ τὸν μονάδι ἐλάττονα πολυπλασιάζομεν;' καὶ λέγομεν ὅτι ἐπειδὴ οὐδὲν πρὸς ἑαυτὸ παραβάλλεται, ἀλλὰ πρὸς τὸ ἐφεξῆς, διὰ τοῦτο ἐπὶ τὸν μο-

3 ἐρωτιθεὶς C 5 πρᾶξις λη' addidi (cf. p. 100,26) 6 τὸ μὲν οὖν γένος] abhinc cum Elia congruit David. 9 ἑτέραν] τέραν in lac. VII litt. om. V 10. 11 τοῦτ' ἔστιν om. V 11 γὰρ om. V 14 καὶ om. V 15 γίνεσθαι V 16 ἤδη Dav.: εἴδη CV ἡμῶν V 16. 17 ἰδιοτικῶς V 17 εὐπετὲς] ἐντελὲς (corr. εὐτ.) V 18 δὲ Dav.: om. CV 22 καὶ τῶν — ἐλάττονα (24) om. V 24 τῶν Dav.: om. C 25 τὸν V²: τῶν CV¹ πεντάκι C 26 ὥσπερ — δέκα om. C 27 ὁμοίως δὲ V δέκα om. V ὅρον δοθέντα V 27. 30 πολλυπλ. C 28 τὸν] τῶν C δεκάκις Dav.: δεκάκι CV 29 ἀποροῦσι δὲ] ἀπορία V διὰ τί suppl. C²: τί V 30 καὶ om. C 31 ἑαυτὸ Dav.: ἑαυτὸν CV

νάδι ἐλάττονα. πάλιν ἀποροῦσιν ὅτι 'διὰ τί τῶν συναγομένων τὸ ἥμισυ λαμβάνεις;' καὶ λέγομεν ὅτι εὐλόγως· κατὰ ἀλήθειαν μὲν γὰρ πέντε δοθέντων ὅρων εἴκοσι γίνονται αἱ πᾶσαι σχέσεις ἑκάστου τετράκις πρὸς τὰ λοιπὰ παραβαλλομένου, ἀλλὰ τὸ ἥμισυ παραλιμπάνομεν, ἵνα μὴ δὶς τὰ
5 αὐτὰ λέγοντες ἀδολεσχήσωμεν· οἷον ὅταν παραβάλωμεν γένος πρὸς διαφορὰν ἢ εἶδος, οὐ δεῖ πάλιν τὸ εἶδος πρὸς τὸ γένος παραβάλλειν ἢ τὴν διαφορὰν πρὸς τὸ γένος, ἐπειδὴ εἴρηνται τούτων αἱ σχέσεις, ὅτε τὸ γένος αὐτοῖς παρεβάλλομεν. καὶ ταῦτα μὲν περὶ τούτου. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ μόνου τοῦ τρία ἐν ὅλῳ τῷ χύματι τῶν ἀριθμῶν παράδοξον συνέβη τὸ
10 ἴσους εἶναι τοὺς ὅρους ταῖς σχέσεσιν· ἐὰν γὰρ πολυπλασιάσῃς τὸν τρία | ἐπὶ τὸν μονάδι ἐλάττονα, τρὶς δύο ἕξ, καὶ λάβῃς τὸ ἥμισυ, τρεῖς εὑρίσκονται καὶ αἱ σχέσεις καὶ οἱ ὅροι. ἄλλην πάλιν μέθοδον ῥητέον, δι' ἧς δυνάμεθα τῶν ἀναδιδομένων ὅρων τὰς σχέσεις εἰδέναι, ὅτι τοσαῦται γίνονται αἱ σχέσεις, ὅσος ὁ ἀριθμὸς τῶν προϋποκειμένων ὅρων· ἑνὸς γὰρ ὄντος ὅρου 104r
15 σχέσις οὐ γίνεται (οὐδὲν γὰρ πρὸς ἑαυτὸ παραβάλλεται), ἄλλου δὲ ὅρου προστεθέντος γίνεται μία σχέσις, ἐπειδὴ καὶ εἷς προϋπέκειτο ὅρος, δύο ὅρων προστεθέντων τῷ πρώτῳ γίνονται ἄλλαι δύο σχέσεις, ἐπειδὴ καὶ δύο εἰσὶν οἱ προϋποκείμενοι ὅροι. ἔχεις οὖν τὴν πρώτην μίαν σχέσιν καὶ τὰς δύο τὰς προστεθείσας καὶ γίνονται τρεῖς. πάλιν τριῶν ὅρων προστεθέντων τῷ
20 πρώτῳ ἓξ γίνονται αἱ σχέσεις, τρεῖς αἱ προστεθεῖσαι καὶ τρεῖς αἱ προηγησάμεναι. τεσσάρων ὅρων προστεθέντων προστίθενται τέσσαρες σχέσεις ταῖς ἓξ καὶ γίνονται δέκα. ταῦτα ἔχει ἡ θεωρία. ἔστι καὶ ἑτέρα μέθοδος τοιαύτη· συντιθέντες γὰρ τοὺς ἀπὸ μονάδος ἀριθμοὺς μέχρι τοῦ μονάδι ἐλάττονος τοῦ προτεθέντος | ἀριθμοῦ τὸ συναχθὲν πλῆθός φαμεν, καθ' ὃ αἱ 104v
25 σχέσεις γίνονται τοῦ προκειμένου ἀριθμοῦ τῶν πραγμάτων.

Πρᾶξις λθ'.

p. 18,11 Κοινὸν τοίνυν διαφορᾶς καὶ εἴδους.

'Επειδὴ μεμαθήκαμεν πρὸς ἃ δεῖ παραβαλεῖν τὴν διαφοράν, ὅτι πρὸς τὰ μέλλοντα, καὶ πρὸς ἃ οὐ δεῖ, ὅτι πρὸς τὰ φθάσαντα, φέρε τὰ μὲν σιω-

---

1 ἀπορία V ὅτι om. V 2. 3 δοθ.] δοκούντων V 3 γίν. αἱ π. σχ.] γὰρ πᾶσαι αἱ σχ. V 3. 4 τὰς λοιπὰς C 4 παραλαμβάνομεν C 5 ἀδολεσχήσωμεν in lac. XIV litt. om. suppl. C² παραβάλωμεν Urb. 35: παραβάλω CV 6 δεῖν V 7 σχέσει C 8 παρεβάλλ. Dav.: παραβάλλ. CV 9 τῷ Dav.: τὸ CV σχήματι V 10 ἴσως V¹ 11 τρὶς] τρεῖς C 12 ῥηταῖον C 13 ἀντιδομένων V 14 ὁ om. C 15 οὐδὲν] οὐδὲ V ἑαυτὸν V δὲ Dav.: om. CV ὅρου om. V 16 προστιθέντος V 16. 19. 20. 22 γίν.] γὰρ V 16 προυπόκειτο C 17 προστεθ. Dav.: προτεθ. C: προετεθ. V 18 τὴν πρώτην τὴν V 19 προστεθείσ. Dav.: προτεθείσ. CV προτεθέντων V 20 προτεθ. V 21 προστίθεται V 22 ἔστι—πραγμάτων (25) om. V (recte) 27 ante lemma add. tit. Περὶ τῶν κοινῶν εἴδους καὶ διαφορᾶς. περὶ τῶν ἰδίων αὐτῶν (πρᾶξις λθ' in mrg.) V κοινὰ V 28 commentarii quod restat om. V παραβαλεῖν Dav.: παραλαβεῖν C

πῶντες τὰ δὲ διδάσκοντες μήτε τι τῶν ὀφειλόντων ῥηθῆναι παραλείψωμεν μήτε ἀδολεσχίᾳ περιπέσωμεν δὶς τὰ αὐτὰ λέγοντες. εἴπωμεν οὖν κοινὰ εἴδους καὶ διαφορᾶς. λέγει οὖν ὁ Πορφύριος κοινὰ αὐτῶν δύο, πρῶτον μὲν τὸ ἐπίσης μετέχεσθαι· τοῦ γὰρ ἀνθρωπείου εἴδους ἐπίσης
5 μετέχει πᾶς ἄνθρωπος καὶ ἐπίσης τοῦ λογικοῦ. δεύτερον κοινὸν αὐτῶν τὸ ἀεὶ μετέχεσθαι αὐτά· ἀεὶ γὰρ ὁ Σωκράτης ἄνθρωπος καὶ ἀεὶ λογικός. ταῦτα μὲν αὐτῶν κοινά. διάφορα δὲ αὐτῶν λέγει τέσσαρα· πρῶτον ὅτι ἡ διαφορὰ ἐν τῷ ποιόν τι κατηγορεῖται, τὸ δὲ εἶδος ἐν τῷ τί ἐστι. διὸ καὶ ἀποροῦσιν ὅτι καὶ πῶς εὑρίσκομεν τὸ εἶδος ἐν τῷ ποιόν τί ἐστι κατη-
10 γορούμενον· ἐὰν γὰρ | ἐρωτηθῶμεν τί ἐστι Σωκράτης, ζῷόν φαμεν, ποῖον 105r δὲ ζῷον ἐρωτηθέντες φαμὲν ἄνθρωπος. πρὸς τοῦτό φαμεν ὅτι ὅσον ἐφ' ἑαυτὸ τὸ εἶδος ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ἡ διαφορὰ ἐν τῷ ποιόν τί ἐστιν, ἀλλὰ διὰ τὴν διαφορὰν προσελθοῦσαν τῷ γένει καὶ ποιήσασαν τὸ εἶδος ἐν τῷ ποιόν τί ἐστι κατηγορεῖται τὸ εἶδος. διὸ πάλιν ἀποροῦσιν ὅτι
15 διὰ τί μὴ τῇ διαφορᾷ ἐξηκολούθησε τὸ εἶδος τῇ εἰδοποιούσῃ καὶ ἐν τῷ ποιόν τί ἐστι κατηγορεῖται, ἀλλὰ τῷ γένει καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται. λύσις· ὅτι αἱ διαφοραὶ προσελθοῦσαι τῷ γένει οὐκ ἔμειναν διαφοραί, ἀλλ' εἴδη ἐγένοντο. τοῦτο τὸ πρῶτον. δεύτερον ὅτι ἐπὶ πλεῖον ἡ διαφορὰ τοῦ εἴδους, κἂν μὴ ἀεὶ διὰ τὰς ἀντιστρεφούσας διαφοράς, οἷον τὸ νοῦ καὶ ἐπι-
20 στήμης δεκτικόν. διὸ καὶ τοῦτο πολλάκις προστέθηκεν ὁ Πορφύριος. τοῦτο καὶ τὸ δεύτερον. τρίτον αὐτῶν λέγει διάφορον ὅτι ἡ διαφορὰ φύσει προτέρα τοῦ κατ' αὐτὴν εἴδους· τὸ γὰρ λογικὸν ἀναιρεθὲν συναναιρεῖ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος ἀναιρεθεὶς οὐκ ἀναιρεῖ καὶ τὸ λογικὸν ὄντος θεοῦ. ἀγγέλου. ἀλλὰ καὶ συνεισφέρεται καὶ οὐ συνεισφέρει· ἄνθρωπον γὰρ | ἐὰν 105v
25 εἴπω, συνεισήγαγον καὶ τὸ λογικόν, λογικὸν δὲ ἐὰν εἴπω, οὐ πάντως καὶ ἄνθρωπον συνεισήγαγον. τέταρτον διάφορον ὅτι διαφορὰ μὲν διαφορᾷ μίγνυται πρὸς εἴδους γένεσιν, οἷον τὸ λογικὸν καὶ τὸ θνητὸν πρὸς ἀνθρώπου γένεσιν, εἶδος δὲ εἴδει οὐ μίγνυται πρὸς ἄλλου εἴδους γένεσιν. καὶ ἀπορεῖ πρὸς τοῦτο ὁ Πορφύριος, ὅτι καὶ εἶδος εἴδει μίγνυται πρὸς ἄλλου εἴδους
30 γένεσιν, οἷον ἵππος ὄνῳ πρὸς ἡμιόνου γένεσιν. καὶ λύσιν τούτου φασὶν τοιαύτην, ὅτι ἡ καθόλου μὲν διαφορὰ τῇ καθόλου διαφορᾷ μίγνυται πρὸς εἴδους γένεσιν, ὡς τὸ καθόλου λογικὸν καὶ τὸ καθόλου θνητὸν πρὸς ἀνθρώπου γένεσιν, καθόλου δὲ εἶδος τῷ καθόλου εἴδει οὐ μίγνυται πρὸς εἴδους γένεσιν· ὁ γὰρ τὶς ἵππος τῷ τινὶ ὄνῳ μίγνυται πρὸς ἡμιόνου γένεσιν. ἀλλ'
35 ἀποκληρωτικὸς ὁ λόγος· διὰ τί γὰρ ὡς ἡ καθόλου διαφορὰ τῇ καθόλου διαφορᾷ μίγνυται, μὴ καὶ τὸ καθόλου εἶδος τῷ καθόλου εἴδει ἐμίγη πρὸς εἴδους γένεσιν; εἰ γὰρ μὴ τὸ καθόλου εἶδος τῷ καθόλου εἴδει ἐμίγη, οἷον

2 περιπέσωμεν Dav.: περιπέσομεν C 6 ante αὐτά ras. IV litt. C 9 alt. καὶ post εὑρ. ponas 9. 10 ἐν τῷ ποιόν τί ἐστι κατηγορούμενον Dav.: om. C 10 ἐὰν] ἂν C ἐρωτιθ. C 13 ποιῆσαν C¹ 14 ἐν τῷ ποιόν τί ἐστι — εἶδος Dav.: om. C 16 alt. τί ἐστι Dav.: ποιόν τί ἐστι C 24 ἀγγέλου eicias 24. 25 καὶ (ante συνεισφ. et τὸ λογ.) Dav.: om. C 32 εἴδους γένεσιν ὡς Dav.: om. C 33 τῶ ex τὸ corr. C 36 ἐμίγει C 37 μὴ Marc. 201 Urb. 35: om. C

ὁ καθόλου ἵππος τῷ καθόλου ὄνῳ πρὸς τὴν καθόλου γένεσιν τοῦ ἡμιόνου, εὑρεθήσεται ὅλον | τὸ εἶδος τὸ τῶν ἡμιόνων ἀναίτιον. λύσις τούτου ὅτι καὶ 106r ἡ καθόλου διαφορὰ μίγνυται τῇ καθόλου διαφορᾷ, ἀλλ' οἷον κατὰ παράθεσιν (διακεκριμένως γάρ ἐστι τὸ λογικὸν καὶ τὸ θνητὸν ἐν τῷ ἀνθρώπῳ), καὶ τὸ 5 καθόλου εἶδος τῷ καθόλου εἴδει μίγνυται, κατὰ κρᾶσιν δέ· οὐδὲ γὰρ ἔχεις διακρῖναι τὸ ἵππειον εἶδος ἀπὸ τοῦ ὀνείου ἐν τῷ ἡμιόνῳ. καὶ ταῦτα μὲν περὶ τούτου.

Ἐφ' οἷς παραβάλλει διαφορὰν καὶ ἴδιον καὶ τὰ αὐτὰ λέγει κοινά, ἅπερ καὶ ἐπὶ εἴδους καὶ διαφορᾶς. πρῶτον μὲν τὸ ἐπίσης μετέχεσθαι ὑπὸ τῶν 10 μετεχόντων (ἐπίσης γὰρ πάντες ἄνθρωποι λογικοὶ καὶ ἐπίσης γελαστικοί), δεύτερον τὸ ἀεὶ συνυπάρχειν· κἂν γὰρ κολοβωθῇ ὁ δίπους, ἀλλὰ πρὸς τὸ πεφυκέναι τὸ ἀεὶ λέγεται· καὶ τὸ γελαστικὸν γὰρ οὐχὶ τῷ γελᾶν ἀλλὰ τῷ πεφυκέναι ἔχει τὸ ἀεί. διαφορὰς δὲ λέγει δύο· πρῶτον μὲν ὅτι ἡ διαφορὰ ἐπὶ πλειόνων τινῶν λέγεται "πολλάκις," οἷον τὸ λογικὸν ἐπὶ θεοῦ καὶ ἀγγέλου 15 καὶ ἀνθρώπου, τὸ δὲ ἴδιον ἐφ' ἑνὸς εἴδους, οὗ ἐστιν ἴδιον, οἷον τὸ γελαστικὸν 18,19 ἐπὶ ἀνθρώπου μόνου. πρόσκειται δὲ τὸ πολλάκις διὰ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· αὕτη γὰρ ἡ διαφορὰ οὐκ ἐπὶ πλειόνων τινῶν λέγεται, | ἀλλ' 106v ἐπὶ μόνου ἀνθρώπου. τοῦτο μὲν τὸ πρῶτον αὐτῶν διάφορον. δεύτερον δὲ ὅτι ἡ διαφορὰ ἕπεται ἐκείνοις, ὧν εἴη διαφορά, οὐ μὴν καὶ ἀντιστρέφει, τὰ 20 δὲ ἴδια ἀντιστρέφει καὶ ἀντικατηγορεῖται ὧν ἔστιν ἴδια. ταῦτα καὶ περὶ διαφορᾶς καὶ ἰδίου.

Ἐφ' οἷς παραβάλλει τὴν διαφορὰν καὶ πρὸς τὸ συμβεβηκὸς καὶ λέγει δύο αὐτῶν κοινά· πρὸς μὲν τὸ πᾶν συμβεβηκὸς τὸ καθόλου κοινὸν αὐτῶν τὸ ἐπὶ πλειόνων λέγεσθαι, πρὸς δὲ τὸ ἀχώριστον συμβεβηκὸς τὸ ἀεὶ ὑπ- 25 άρχειν· ἀεὶ γὰρ ὁ κόραξ μέλας καὶ ὁ Αἰθίοψ καὶ ἀεὶ ὁ ἄνθρωπος λογικός. ταῦτα μὲν αὐτῶν τὰ κοινά. διάφορα δὲ αὐτῶν λέγει τρία· πρῶτον ὅτι ἡ διαφορὰ περιέχει, οὐ περιέχεται δέ (τὸ γὰρ λογικὸν περιέχει τὸν ἄνθρωπον), τὰ δὲ συμβεβηκότα τρόπον μέν τινα περιέχουσι, κατὰ τὶ δὲ περιέχονται· καθὸ μὲν γὰρ πλείοσιν εἴδεσιν ὑπάρχει τὸ αὐτὸ συμβεβηκός, περιέχει, καθὸ 30 δὲ ἓν εἶδος οὐ μόνον ἑνὸς συμβεβηκότος δύναται μετέχειν ἀλλὰ πλειόνων, οἷον λευκοῦ καὶ μέλανος, περιέχεσθαι δοκεῖ τότε τὸ συμβεβηκός. δεύτερον αὐτῶν διάφορον ὅτι τὸ μὲν συμβεβηκὸς ἐπιδέχεται | τὸ μᾶλλον καὶ τὸ 107r ἧττον, ἡ δὲ διαφορὰ οὐκέτι. τρίτον αὐτῶν λέγει διάφορον ὅτι αἱ ἐναντίαι διαφοραὶ οὐ μίγνυνταί ποτε, οἷον τὸ λογικὸν καὶ ἄλογον, τὰ δὲ ἐναντία συμ- 35 βεβηκότα μίγνυνται πρὸς γένεσίν τινος, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν πρὸς γένεσιν φαιοῦ. ταῦτα ἔχει ἡ πρᾶξις.

---

5 τῷ ex τὸ corr. C 12 ἀλλὰ Dav.: om. C 14 καὶ ἀγγέλου eicias 15 δὲ Dav.: om. C 20 ὧν Dav.: ᾧ C 24 ἀχώρ.] ἀόριστον C 25 ὁ (ante ἄνθρ.) Dav.: om. C 29 post γὰρ add. ἔχει C: om. Dav. ὑπάρχει Dav.: in ras. VIII litt. om. C 31 an οἷον ⟨ἄνθρωπος⟩? 34 ἄλλογον C 36 πρᾶξις ex τάξις corr. C²

⟨Πρᾶξις μʹ⟩.

p. 20,12 Εἴδους δὲ καὶ ἰδίου κοινὸν τὸ ἀλλήλων ἀντικατηγορεῖσθαι.

Παραβαλὼν ὁ Πορφύριος τὸ γένος πρὸς τὰς λοιπὰς τέσσαρας φωνάς,
5 τοῦτ' ἔστι διαφοράν, εἶδος, ἴδιον καὶ συμβεβηκός, εἶτα τὴν διαφορὰν πρὸς
τὰς τρεῖς, φημὶ εἶδος, ἴδιον, συμβεβηκός, ἔρχεται καὶ ἐπὶ τὰ λοιπὰ καὶ
παραβάλλει τὸ μὲν εἶδος πρὸς ἴδιον καὶ συμβεβηκός, τὸ δὲ ἴδιον καὶ τὸ
συμβεβηκὸς πρὸς ἄλληλα, καὶ οὕτως πληροῖ τὴν παροῦσαν ὑπόθεσιν. λέγει
οὖν κοινὰ εἴδους καὶ ἰδίου δύο· πρῶτον μὲν ὅτι ἀντιστρέφουσιν (εἰ γὰρ ἄν-
10 θρωπος, γελαστικόν, καὶ εἰ γελαστικόν, ἄνθρωπος), δεύτερον τὸ ἐπίσης μετ-
έχεσθαι· ἐπίσης γὰρ πάντες οἱ μετέχοντες τοῦ ἀνθρωπείου εἴδους μετέχουσι
καὶ ἐπίσης τοῦ γελαστικοῦ. ἐφ' οἷς λέγει αὐτῶν καὶ διάφορα τέσσαρα·
πρῶτον ὅτι τὸ μὲν εἶδος δύναται ἄλλου γένος εἶναι ὡς ἐπὶ τῶν | ὑπαλλή- 107v
λων, τὸ δὲ ἴδιον ἄλλου ἴδιον οὐ δύναται εἶναι. δεύτερον ὅτι τὸ μὲν εἶδος
15 πρότερον τοῦ ἰδίου, τὸ δὲ ἴδιον ἐπιγίνεται τῷ εἴδει· πρῶτον γὰρ ἄνθρωπος
καὶ τότε γελαστικόν. τρίτον ὅτι τὸ εἶδος ἀεὶ ἐνεργείᾳ, τὸ δὲ ἰδιόν ποτε καὶ
δυνάμει· ἀεὶ γὰρ ὁ Σωκράτης ἐνεργείᾳ ἄνθρωπος, γελᾷ δὲ οὐκ ἀεί, καίπερ
ἀεὶ πεφυκὼς γελαστικὸς εἶναι. τέταρτον διάφορον εἴδους καὶ ἰδίου, ὅτι
ὧν οἱ ὅροι διάφοροι, καὶ αὐτὰ τοιαῦτα· ἐπειδὴ οὖν διάφοροι οἱ ὅροι εἴδους
20 καὶ ἰδίου, ἀνάγκη καὶ αὐτὰ διάφορα εἶναι. ταῦτα μὲν καὶ περὶ εἴδους
καὶ ἰδίου.

Ἐφ' οἷς συγκρίνει εἶδος καὶ συμβεβηκὸς καὶ λέγει κοινὸν αὐτῶν ἓν τὸ ἐπὶ
πολλῶν κατηγορεῖσθαι διὰ τὸ πλεῖστον ἀλλήλων διεστάναι τὸ συμβεβηκὸς
καὶ τὸ ᾧ συμβέβηκε· τῶν γὰρ πλεῖστον ἀλλήλων διεστώτων παντὸς μὲν
25 τὰς διαφορὰς εἰπεῖν, τὰς δὲ κοινωνίας μόνου ἐπιστήμονος, ὡς ἐπὶ μύρμηκος
καὶ ἐλέφαντος· καθὸ μὲν γὰρ ζῷα, κοινωνοῦσι μόνον, κατὰ δὲ τὰ ἄλλα δια-
φέρουσι. καὶ ἀνάπαλιν τὰς διαφορὰς τῶν πολὺ κοινωνούντων ἐπιστήμονος
μόνου εἰπεῖν, τὰς | δὲ κοινωνίας παντός, ὡς ἐπὶ περιστερᾶς καὶ φάττης, 108r
ὡς ἐπὶ κυνὸς καὶ λύκου. διάφορα δὲ αὐτῶν λέγει τέσσαρα· πρῶτον μὲν
30 ὅτι τὸ εἶδος ἐν τῷ τί ἐστι κατηγορεῖται, τὸ δὲ συμβεβηκὸς ἐν τῷ ποῖόν τι
ἢ πῶς ἔχον. δεύτερον ὅτι ἑκάστη οὐσία ἑνὸς μὲν εἴδους μετέχει, συμβε-
βηκότων δὲ πολλῶν χωριστῶν τε καὶ ἀχωρίστων. τρίτον ὅτι φύσει πρότερα
τὰ εἴδη τῶν συμβεβηκότων, κἂν ἀχώριστα ᾖ τὰ συμβεβηκότα. τέταρτον
ὅτι τὸ μὲν εἶδος ἐπίσης μετέχεται, τὸ δὲ συμβεβηκὸς οὐκ ἐπίσης· ἐπι-
35 δέχεται γὰρ τὸ μᾶλλον καὶ ἧττον, κἂν ἀχώριστον ᾖ. καὶ ταῦτα μὲν
περὶ τούτου.

---

1 πρᾶξις μʹ addidi (cf. p. 100,26) 6. 7 ἔρχεται — συμβεβηκός Dav. om. C 13 γένος Marc. 201: γένους C 16 γελαστικόν Dav.: γελαστικός C 19 τοιαῦτα scripsi: ταῦτα C Dav. alt. οἱ Dav.: om. C 24 πλεῖστον Dav.: πλείστων C 35 ᾖ Dav.: εἴη C

Ἐφ' οἷς παραβάλλει ἴδιον καὶ ἀχώριστον συμβεβηκὸς καὶ λέγει κοινὰ αὐτῶν δύο· πρῶτον μὲν ὅτι ἄνευ τούτων οὐ δύναται ὑποστῆναι τὰ ἐν οἷς εἰσιν· οὐδὲ γὰρ ἄνευ γελαστικοῦ ἄνθρωπος οὐδὲ ἄνευ τοῦ μέλανος Αἰθίοψ. δεύτερον δὲ ὅτι ὥσπερ παντὶ καὶ ἀεὶ πάρεστι τὸ ἴδιον, οὕτως καὶ τὸ ἀχώ-
5 ριστον συμβεβηκός. ταῦτα μὲν τὰ κοινά. διάφορα δὲ αὐτῶν λέγει τρία· πρῶτον ὅτι τὸ μὲν ἴδιον ἑνὶ μόνῳ εἴδει ὑπάρχει, ὡς τὸ γελαστικὸν ἀνθρώπῳ, τὸ δὲ ἀχώριστον συμβεβηκὸς οἷον τὸ μέλαν οὐκ Αἰθίοπι μόνῳ ἀλλὰ καὶ ἄλλοις πολλοῖς. | δεύτερον ὅτι τὸ ἴδιον ἀντιστρέφει καὶ ἀντικατη- 108v γορεῖται καὶ ἐπίσης ἐστὶν οὗ ἐστιν ἴδιον, τὸ δὲ ἀχώριστον συμβεβηκὸς
10 οὐκ ἀντιστρέφει. τρίτον ὅτι τῶν μὲν ἰδίων ἐπίσης ἡ μετοχή, τῶν δὲ συμβεβηκότων πῇ μὲν μᾶλλον, πῇ δὲ ἧττον. ταῦτα ἔχει ἡ παροῦσα θεωρία. συγκαταπαύεται αὐτῇ σὺν θεῷ καὶ ἡ πᾶσα πραγματεία τοῦ Πορφυρίου.

---

8 τὸ ἴδιον Dav.: om. C   9 ἐστιν (alt.) Dav.: om. C

ELIAE (OLIM DAVIDIS)

IN ARISTOTELIS CATEGORIAS

COMMENTARIUM

SIGLA

H = Hamiltonianus 382
K = Marcianus 599
P = Parisinus 1900
b = Brandisii scholia

ΕΞΗΓΗΣΙΣ ΣΥΝ ΘΕΩΙ ΤΩΝ ΔΕΚΑ ΚΑΤΗΓΟΡΙΩΝ ΤΗΣ ΦΙΛΟΣΟ-ΦΙΑΣ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

K 221r

Τῶν Ἀριστοτελικῶν ἀρχόμενοι λόγων εὐθὺς ἐκ θυρῶν φίλα τῷ Ἀριστοτέλει διαπραξώμεθα καὶ τὴν φίλην αὐτῷ συντομίαν συνόψει συντο-
5 μωτάτῃ περιβάλωμεν· σύνοψις γὰρ καὶ συντομία φίλαι τῷ Ἀριστοτέλει, Πυθαγορείῳ κατ' ἀλήθειαν γεγονότι καὶ τὴν Πυθαγόρου σιωπὴν εἰς τὴν γείτονα βραχυλογίαν μεταγαγόντι. δέκα δέ τισι κεφαλαίοις περικλείομεν τὴν αὐτοῦ φιλοσοφίαν. καὶ πρῶτόν ἐστι τῶν δέκα διὰ τί οὕτως ὠνομάσθη ἡ Ἀριστοτέλους φιλοσοφία, Περιπατητική. ἀλλ' ἐπειδὴ τοῦτο μερικὸν καὶ
10 ἀφιλόσοφον (φιλοκαθόλου γὰρ ὁ φιλόσοφος), τὰ καθόλου ζητείσθω διὰ τίνας καὶ πόσας αἰτίας ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν αἱρέσεις. δεύτερον τίς ἡ διαίρεσις τῶν Ἀριστοτελικῶν συγγραμμάτων πολλῶν ὄντων, χιλίων τὸν ἀριθμόν, ὥς φησι Πτολεμαῖος ὁ Φιλάδελφος ἀναγραφὴν αὐτῶν ποιησάμενος καὶ τὸν βίον αὐτοῦ καὶ τὴν διάθεσιν. τρίτον πόθεν δεῖ ἄρχεσθαι τῶν
15 Ἀριστοτελικῶν συγγραμμάτων. τέταρτον τί τὸ τέλος αὐτῶν. καὶ ἐπειδὴ ὅπου ἀρχὴ καὶ τέλος, ἔστι τι καὶ μεταξύ, πέμπτον ζητείσθω τίς ἡ μεταξὺ ὁδός. ἕκτον ποῖον δεῖ εἶναι τὸν ἀκροατὴν κατὰ ζωὴν καὶ γνῶσιν. ἕβδομον ποῖον δεῖ εἶναι τὸν ἐξηγητήν· μηδὲ γὰρ οὗτος ἐκφευγέτω τὴν βάσανον διὰ τὸ ἀξίωμα τοῦ ἐξηγητοῦ, ἀλλ' εὐθύνας διδότω ὁποῖός ἐστιν. ὄγδοον τί τὸ
20 εἶδος τῆς φράσεως αὐτοῦ. ἔνατον διὰ τί ἀσάφειαν ἐπετήδευσεν· οὐδὲ γὰρ ἦν φύσει τοιοῦτος, ὡς δηλοῦσιν αἱ Ἐπιστολαὶ αὐτοῦ σαφεῖς οὖσαι καὶ οἱ Τόποι καὶ τὰ Μετέωρα πάνυ σαφῆ ὄντα. δέκατον κεφάλαιον πόσα καὶ τίνα δεῖ προλαμβάνειν παντὸς Ἀριστοτελικοῦ βιβλίου.

Ταῦτα πάντα τοῦ Πρόκλου λέγοντος δεῖν προλαμβάνειν ἀρχομένους
25 τῶν Ἀριστοτελικῶν συνταγμάτων ἐν τῇ συναναγνώσει (σύνταγμα δὲ τούτου Πρόκλειον), καὶ τὴν αἰτίαν μὴ προστιθέντος, φέρε ἡμεῖς ἐκ διαιρέσεώς τινος

---

1. 2 In titulo om. τῆς φιλοσοφίας b 3 θυρεῶν H 4 αὐτοῦ HP 4. 5 συντομοτάτῃ H: συντομωτάτην P περιβάλλωμεν HP 5 φίλα b 6 πυθαγορίῳ K Πυθαγόρου σιωπὴν] cf. p. 23,27 8 αὐτοῦ τὴν φιλ. b 11 ποίας b 12. 13 τῶν ἀριθμῶν K¹ 13 Φιλάδ.] φιλόσοφος coni. Rose (recte) 14 διάθεσιν] διαθήκην coni. Rose (recte) 19 διὰ διδότω H ὄγδοος K τί] καὶ b 20 ἔννατον P 22 κεφάλαιον om. b 25. 26 scribas τοῦτο, nisi malis σύντ. δὲ τ. Πρόκλειον eicere 26 καὶ τὴν αἰτίαν om. b

προσθῶμεν | καὶ τὴν αἰτίαν. ἡ δὲ διαίρεσις πρόεισιν οὕτως περιέχουσα· 221v
ἡ Ἀριστοτέλους φιλοσοφία καὶ ὀνομάζεται καὶ ὑφέστηκε. καὶ ἐπειδὴ ὀνο-
μάζεται, ζητοῦμεν πρῶτον διὰ τί οὕτως ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν
αἱρέσεις καὶ διὰ τί Περιπατητικὴ ἡ τοῦ Ἀριστοτέλους ἐκλήθη φιλοσοφία.
5 ἐπειδὴ δὲ ὑφέστηκεν, ἢ καθ' ἑαυτὴν ὑφέστηκε νόμῳ τέχνης καὶ ἐπιστήμης
ἢ πρὸς ἡμᾶς ὡς διδακτή. ἐπειδὴ οὖν καθ' ἑαυτὴν ὑφέστηκεν, ἢ ἀπὸ
τῶν τελείων ἐπὶ τὰ ἀτελῆ καὶ μερικώτερα χωρεῖ ἢ ἀπὸ τῶν ἀτελῶν ἐπὶ
τὰ τέλεια, καὶ ζητοῦμεν τίς ἡ ἀρχή, τί τὸ τέλος, τίς ἡ μεταξὺ ὁδός. καὶ
οὕτως μὲν εἰ καθ' ἑαυτήν. εἰ δὲ πρὸς ἡμᾶς, ζητοῦμεν τίς ὁ ἀκροατὴς
10 καὶ τίς ὁ ἐξηγητής. ἐπειδὴ δὲ διαιρέσεως συνταγμάτων ἐμνήσθημεν, ἐν
δὲ τοῖς συντάγμασίν ἐστι καὶ λέξις καὶ διάνοια, διὰ μὲν τὴν λέξιν ζητοῦ-
μεν τί τὸ εἶδος τῆς φράσεως καὶ διὰ τί τὴν ἀσάφειαν ἐπετήδευσε, διὰ δὲ
τὴν διάνοιαν πόσα καὶ ποῖα δεῖ προλαμβάνειν κεφάλαια τῶν Ἀριστοτέλους
συνταγμάτων. ταῦτα ἔχει ἡ παροῦσα θεωρία.

15 Πρῶτον κεφάλαιον ἦν τῶν περικλειόντων τὴν Ἀριστοτέλους φιλοσοφίαν
τὸ ζητῆσαι κατὰ πόσους καὶ τίνας τρόπους ὠνομάσθησαν αἱ κατὰ φιλο-
σοφίαν αἱρέσεις. καὶ δεῖ εἰδέναι ὅτι κατὰ ἑπτὰ τρόπους· ἢ γὰρ ἀπὸ τοῦ
αἱρεσιάρχου, ὡς Πλατωνικοὶ καὶ Ἀριστοτελικοί, ἢ ἀπὸ τῆς πατρίδος τοῦ
αἱρεσιάρχου, ὡς Κυρηναϊκοὶ δι' Ἀρίστιππον τὸν Κυρηναῖον. ἀλλ' ἐπειδὴ
20 οὐκ ἀκριβῶς δυνάμεθα παρακολουθεῖν τοῖς λεγομένοις, εἰ μὴ πρῶτον γνῶμεν
τί ἐστιν αἵρεσις, φέρε πρότερον περὶ αὐτῆς εἴπωμεν. αἵρεσίς ἐστι ἀνδρῶν
ἀστείων δόξα πρὸς μὲν ἑαυτοὺς συμφωνούντων πρὸς δὲ ἄλλους διαφωνούντων.
καὶ καλῶς εἶπεν 'ἀνδρῶν' καὶ οὐκ ἀνδρός· ἑνὸς γὰρ ἀνδρὸς δόξα αἵρεσιν
οὐ ποιεῖ· θέσις γὰρ τότε γίνεται, ὡς ἡ Ἡρακλείτου ὅτι πάντα κινεῖται, ἡ
25 Παρμενίδου ὅτι ἓν τὸ ὂν καὶ ἀκίνητον, ἡ Ἀντισθένους ὅτι οὐκ ἔστιν ἀντι-
λέγειν· θέσις γάρ ἐστι παράδοξος ὑπόληψις ἑνὸς τῶν κατὰ φιλοσοφίαν γνω-
ρίμων. τὸ δὲ 'ἀστείων' καὶ αὐτὸ καλῶς πρόσκειται, ἵν' ὦσιν ἀξιόλογοι
καὶ ἐπιστήμονες· ἐὰν γὰρ ὦσιν εἰκαιολόγοι καὶ ἀγελαῖοι, οὐ ποιοῦσιν οὐδὲ
τέχνην οὐδὲ ἐπιστήμην. 'πρὸς ἑαυτοὺς συμφωνούντων καὶ πρὸς ἄλλους δια-
30 φωνούτων'· ἐὰν γὰρ καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἄλλους συμφωνῶσιν, οὐ ποιοῦσιν
αἵρεσιν ἀλλὰ τὸ ἀντικείμενον τῇ αἱρέσει, τοῦτ' ἔστι κοινὴν ἔννοιαν· χαρακτη-
ρίζει γὰρ τὴν αἵρεσιν συμφωνία μετὰ διαφωνίας, καὶ οὐκ ἐν τοῖς τυχοῦσιν
ἀνθρώποις ἀλλ' ἐν ἀστείοις καὶ ἀξιολόγοις. καὶ ταῦτα μὲν περὶ τῆς αἱρέσεως.
δεῖ δὲ εἰδέναι ὅτι κατὰ ἑπτὰ | τρόπους ὀνομάζονται αἱ κατὰ φιλοσοφίαν 222r
35 αἱρέσεις· ἢ γὰρ ἀπὸ τοῦ αἱρεσιάρχου, ὡς Πλατωνικοὶ καὶ Ἀριστοτελικοί,
ἢ ἀπὸ τῆς πατρίδος τοῦ αἱρεσιάρχου, ὡς Κυρηναϊκοὶ δι' Ἀρίστιππον ἢ

---

3 πρῶτον om. b ὀνομ. P 5 τέχνη καὶ ἐπιστήμη b 6 ἢ καὶ πρὸς b
διδακτιτή KP 7 ἀτελεῖ H 16 ποίους b 17 αἱρέσις H ἢ] καὶ HPb
19 ἀλλ' — Ἀρίστιππον (v. 36) eicias ἐπεὶ b 21 αὐτῶν HP post
εἴπωμεν add. τί ἐστιν αἵρεσις ὅτι ἡ δόξα P 22 μὲν om. b ἄλλους δὲ coll. KH
23 pr. καὶ om. Kb an εἶπον? 24 ἡ Ἡράκλ.] cf. Zelleri Ph. Gr. I[4] p. 576 not. 1
24. 25 ἢ Παρμ. K (cf. fr. 8,3 sq. Diels) 25 ἢ Ἀντισθ. K (cf. Mullach II p. 282)
27 καὶ αὐτὸ om. K 30 συμφωνοῦσιν HP 35 καὶ] ἢ P 36 alt. ἢ] καὶ b

Ἐρετριεῖς διὰ Μενέδημον τὸν Ἐρετριέα ἢ Μεγαρικοὶ διὰ Τερψίωνα καὶ Εὐκλείδην τοὺς Μεγαρεῖς, ὅθεν καὶ Μεγαρικὴ φιλοσοφία, ἢ Ἠλιακοὶ διὰ Φαίδωνα τὸν ἀπὸ τῆς Ἤλιδος. καὶ οὕτω μὲν ἀπὸ τῆς τοῦ αἱρεσιάρχου πατρίδος.

5 Ἢ ἀπὸ τοῦ τόπου, ἐν ᾧ τὰς διατριβὰς ἐποιοῦντο, ὡς οἱ Στωϊκοὶ διὰ τὴν ἐν τῇ Ἀττικῇ ποικίλην στοάν, ἐν ᾗ ἐπαίδευε Ζήνων ὁ Κιττιεύς, οὐχ ὁ Ἐλεάτης ὁ καὶ Παρμενίδειος ὁ ἀμφοτερόγλωσσος, περὶ οὗ εἴρηται

ἀμφοτερογλώττοιο μέγα σθένος οὐκ ἀλαπαδνὸν
Ζήνωνος.

10 ἀμφοτερόγλωσσος δ' ἐκλήθη οὐχ ὅτι διαλεκτικὸς ἦν, ὡς ὁ Κιττιεύς, καὶ τὰ αὐτὰ ἀνεσκεύαζε καὶ κατεσκεύαζεν, ἀλλ' ὅτι τῇ ζωῇ διαλεκτικὸς ἦν ἄλλα μὲν λέγων ἄλλα δὲ φρονῶν· ἐρωτηθεὶς γὰρ οὗτός ποτε ὑπό του τυράννου τίνες εἰσὶν οἱ μάλιστα ἐπιβουλεύοντες τῇ τυραννίδι αὐτοῦ, τοὺς δορυφόρους ἔδειξεν· ὁ δὲ πεισθεὶς καὶ ἀνελὼν αὐτοὺς διεφθάρη· ἀγαθὸν 15 γὰρ ἐνόμισε τὸ ψεύσασθαι διὰ τὴν τοῦ τυράννου ἀναίρεσιν. καὶ τῷ οἰκείῳ διδασκάλῳ ποτὲ Παρμενίδῃ ἓν λέγοντι τὸ ὂν καὶ τὸ εἶδος, ἐκ τῆς ἐνεργείας πολλὰ τὰ ὄντα, συντίθησιν ἐκ τεσσαράκοντα ἐπιχειρημάτων ὅτι ἓν τὸ ὄν, ἀγαθὸν νομίσας τῷ οἰκείῳ συμμαχεῖν διδασκάλῳ. καί ποτε πάλιν τῷ αὐτῷ συνηγορῶν διδασκάλῳ ἀκίνητον λέγοντι τὸ ὄν, διὰ πέντε ἐπιχειρημάτων 20 κατασκευάζει ὅτι ἀκίνητον τὸ ὄν· οἷς ἀντειπεῖν μὴ δυνηθεὶς Ἀντισθένης ὁ Κυνικὸς ἀναστὰς ἐβάδισε, νομίσας ἰσχυροτέραν εἶναι πάσης τῆς διὰ λόγων ἀντιλογίας τὴν διὰ τῆς ἐνεργείας ἀπόδειξιν. οὕτω μὲν καὶ ἀπὸ τοῦ τόπου τῆς συνουσίας.

Ἢ ἀπὸ τῆς ἐν τοῖς φιλοσόφοις ἐπικρίσεως, ὡς οἱ Ἐφεκτικοί· οὗτοι γὰρ 25 ἀκαταληψίαν δοξάζοντες ἐπεῖχον τὰς λύσεις τῶν προτάσεων. ἐκλήθη δὲ καὶ τρίπους ἡ αἵρεσις αὐτῶν, ἐπειδὴ τριπλᾶς ἐποιοῦντο τὰς ἀποκρίσεις· ἐρωτώμενοι γὰρ ὅ τι ἡ ψυχή, θνητὴ ἢ ἀθάνατος, ἔλεγον ὅτι ἢ θνητὴ ἢ ἀθάνατος ἢ ἀμφότερα ἢ οὐδέτερον. ἐκλήθη δὲ καὶ ἀπορηματικὴ διὰ τὸ ἀπορεῖν μόνον καὶ μὴ ἐπιλύεσθαι. οὗτοι δὲ ἀντίκεινται τοῖς Πρωταγορείοις· 30 οἱ γὰρ Πρωταγόρειοι τἀληθὲς ἐπρέσβευον, λέγοντες ὅτι τὸ δοκοῦν ἑκάστῳ ἀληθές ἐστιν. ἐλέγχει δὲ ὁ Πλάτων ἰδίᾳ ἑκατέρους, τοὺς μὲν Ἐφεκτικοὺς ἐν τῷ Θεαιτήτῳ λέγων πρὸς αὐτοὺς οὕτως· ὅτι 'κατειληφότες λέγετε μὴ

---

1 μενέδιμον H 2 τὸν μεγαρέα K ἰλιακοὶ HP 3 Ἤλιδος b: ἰλιάδος HKP 5 τοῦ (ante τόπου) om. P ὡς οἱ] οἷον HPb 6 post ἀττικῇ add. ὅτι ποικίλη ἦν ἡ στοὰ ἐν ᾗ ἐσχόλαζον οἱ στωικοί P 7 παρμενίδιος P εἴρηται] a Timone (cf. Diog. L. IX 25) 8 ἀμφοτερογλώσσου τε Diog. 13 μᾶλλον b 14 πισθεὶς H καὶ om. b 15 ἐνόμησε P ἀνέρεσεν P 16 ποτὲ διδ. coll. b an ἐκ ⟨δὲ⟩? 17 συντήθησιν H ἐπιχείριμ. H[1] 19. 20 διὰ — ὄν in mrg. suppl. P[2] 20 ἀντιπεῖν P δυνηθῇ P 21 πᾶσαν KP 22 τῆς ἐν.] τῶν ἔργων b ἀτόπου P 24 ἐφικτοί HP 25 δὲ om. b 26 διαίρεσις K τριπλᾶς] τριπλάσιον K ἀποκρ.] ἀπορίας b 27 ὅτι HKP: εἴτε b: τί ἐστιν Olymp. ἀθάν. ἢ θν. b 28 ἐκλήθησαν δὲ καὶ ἀπορηματικοὶ b 30 οἱ γὰρ Πρωταγ.] cf. Ammon. p. 66,26 31 ἐφικτικοὺς P 32 ἐν τῷ Θεαιτήτῳ] spectare videtur p. 182 D sq. ὅτι om. b λέγεται P

εἶναι κατάληψιν ἢ μὴ κατειληφότες; καὶ εἰ μὲν κατειληφότες, ἰδοὺ | ἔστι 222v
κατάληψις· εἰ δὲ μὴ κατειληφότες, οὐ πειθόμεθα ὑμῖν μὴ κατειληφόσιν ὅτι
ἔστιν ἀκαταληψία'. τοὺς δὲ Πρωταγορείους ἐλέγχει ἐν τῷ Πρωταγόρᾳ δια-
λόγῳ λέγων οὕτως· ὅτι 'ἡμεῖς, ὦ Πρωταγόρα, λέγοντές σε δοξάζειν κακῶς
5 ἀληθεύομεν ἢ ψευδόμεθα; εἰ μὲν γὰρ ἀληθεύομεν, σὺ ψεύδῃ, καὶ ἰδοὺ ἔστι
τὸ ψεῦδος· εἰ δὲ ψευδόμεθα σοῦ ἀληθεύοντος, ἰδοὺ πάλιν ἔστι τὸ ψεῦδος.
ψεύδῃ οὖν, κἄν τε ἀληθεύῃς κἄν τε ψεύδῃ'. καὶ ἐπάγει λέγων ὅτι Πρω-
ταγόρας ψεύδεται, κἄν τε ἀληθεύῃ κἄν τε ψεύδηται. ὁ δὲ Ἀριστοτέλης δι'
ἑνὸς καὶ τοῦ αὐτοῦ ἐπιχειρήματος ἐλέγχει διὰ τὸ ἀξίωμα τῆς ἀντιφάσεως·
10 εἰ γὰρ οἱ μὲν πάντῃ ψευδῆ δοξάζουσιν οἱ δὲ πάντῃ ἀληθῆ, ἀντίφασις τὸ
τοιοῦτον, οὐδέποτε δὲ ἡ ἀντίφασις συναληθεύει· οὐδὲ γὰρ πάντως ἀληθῆ
οὐδὲ πάντως ψευδῆ. ταύτης δὲ τῆς αἱρέσεως ἐνόμισάν τινες καὶ τὸν Πλά-
τωνα εἶναι διὰ τὸ κεχρῆσθαι διστακτικοῖς προσρήμασι, λέγοντα 'δοκῶ μοι'
καὶ 'ἴσως' καὶ 'τάχα' καὶ 'ὑπολαμβάνω'. ἀλλὰ ταῦτα μὲν ὁ Πλάτων δι'
15 ἀκρίβειαν ἔλεγεν, οὔτε δὲ ὁ ἀκριβὴς πάντως ἐφεκτικὸς οὔτε ὁ ἐφεκτικὸς
ἀκριβής. πλὴν οὐκ ἐφεκτικὸς ὁ Πλάτων· ἔστι γὰρ πολλαχοῦ ἀκοῦσαι αὐτοῦ
λέγοντος καὶ ἀποφαινομένου, ὅπῃ ἔλεγεν ὡς κατὰ τὸν ποιητήν, ἐν μὲν τῷ
Φαίδρῳ ὅτι ἡ ψυχὴ πᾶσα ἀθάνατος καὶ ἐν τῷ Φαίδωνι ὅτι ἀδαμαντίνοις
δεῖ δεσμοῖς τὴν δόξαν ταύτην ἔχοντα περὶ τῆς ἀθανασίας τῆς ψυχῆς εἰς
20 Ἅιδου ἰέναι, κἂν τοῖς Νόμοις ὅτι ἀληθέστερα τὰ νῦν λεγόμενα τοῦ τὴν
Κρήτην νῆσον εἶναι (ἐν Κρήτῃ γὰρ τὰς διατριβὰς ἐποιεῖτο· οὐ γὰρ ἠξίου
ἔτι σκηνὰς τῶν αὐτοῦ διαλόγων ποιεῖσθαι τὰς Ἀθήνας διὰ τὰ συμβάντα
ἐπὶ Σωκράτει), καὶ ἐν τῇ Πολιτείᾳ φησὶν ὅτι μισθωσώμεθα κήρυκα Στέν-
τορος μεγαλοφωνότερον, ὅστις ἀναβὰς ἐφ' ὑψηλοῦ βήματος ἀναβοήσει ὡς
25 ὁ μὲν δίκαιος εὐδαίμων, καὶ εἰ λάθῃ πάντας ἀνθρώπους τοιοῦτος ὢν καὶ
διὰ τοῦτο ἄδικος νομιζόμενος μαστιγοῖτο, ὁ δὲ ἄδικος ἄθλιος, καὶ εἰ λάθῃ
πάντας ἀνθρώπους τοιοῦτος ὢν καὶ διὰ τοῦτο δίκαιος νομιζόμενος τιμῷτο
ὑπὸ πάντων. ἐπεξέτεινα δ' ἂν τὰς χρήσεις τοῦ Πλάτωνος κατασκευαζούσας
ὅτι οὐκ ἦν ἐφεκτικός, εἰ μὴ ὅτι πρόλογος νῦν Ἀριστοτελικῶν πρόκειται,
30 οὐχὶ δὲ Πλατωνικῶν.

---

1 καὶ om. b post ἰδοὺ III litt. eras. K 3 ἐν τῷ τοῦ Πρωταγόρου διαλόγῳ b τῷ Πρωταγ.] potius in Euthyd. p. 287 E sq. vel Theaet. p. 170 A sq. 4 post οὕτως add. ὅσα περὶ ψεύδους ὅτι ἔστι P κακῶς δοξ. σε coll. b 6 pr. τὸ om. b 7 ἀληθεύῃς] ἀληθεύεις P post alt. ψεύδῃ add. πάντως (πάντῃ b) δὲ ψεύδῃ HPb 8 Ἀριστ.] Metaph. Γ 4 p. 1007 b 18 sq. 10 πάντι (pr. l.) H: πάντα b πάντα (alt. l.) Pb 11 ἀληθεύει KP 11. 12 πάντα (utrobique) b 13 διστακτ.] εἰκαστικοῖς b λέγοντος P 15 ἐφεκτ. πάντ. coll. b 17 ὅπῃ] ὅτι b 17. 18 ἐν μὲν τῷ Φαίδρῳ] p. 245 C 18 ἐν τῷ Φαίδωνι] potius Reipubl. X 15 p. 619 A 20 ἀφιέναι H[1] κἂν τοῖς Νόμοις] II 7 p. 662 B 22 σκηνὴν b αὐτοῦ b: αὐτοῦ HPK τὰς Ἀθ. π. coll. b 23 ἐν τῇ Πολιτείᾳ] I 24 p. 353 E sq. IV 19 p. 445 A μισθωσάμεθα P 24 ὅστις] ὃς b 25. 26 corrigas λάθοι 25. 27 παντὸς ἀνθρώπου HP 26 post τοῦτο add. δίκαιος νομιζόμενος τιμῶτο ὑπὸ πάντων del. P μαστιγῶτο HPb λάθει P 28 ἐπεξέτινα P ante κατασκ. add. τὰς b 29 post μὴ addas ἐνενόησα 30 δὲ om. HPb

Πέμπτος τρόπος ἦν τῆς ἐπωνυμίας τῶν κατὰ φιλοσοφίαν αἱρέσεων ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὥσπερ οἱ Κυνικοὶ φιλόσοφοι. Κυνικοὶ δὲ ἐκλήθησαν διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὸ ἀδιάφορον τοῦ ζῴου, ἐπειδὴ καὶ αὐτοὶ ἀδιαφορίᾳ ἐπετήδευον ὡς οἱ κύνες δημοσίᾳ ἐσθίειν καὶ ἀφροδισιάζεσθαι
5 καὶ ἀνυπόδετοι | περιπατεῖν καὶ ἐν πίθοις καὶ ἐν τριόδοις καθεύδειν. τοῦτο 223r δὲ ἐποίουν τοῦ φύσει καλοῦ ὀρεγόμενοι· ἔλεγον γὰρ ὅτι εἰ ἀγαθόν ἐστι, δεῖ κοινῇ καὶ ἰδίᾳ πράττεσθαι, εἰ δὲ οὐκ ἔστιν ἀγαθόν, οὔτε κοινῇ οὔτε ἰδίᾳ αὐτὸ διαπρακτέον· οὐ γὰρ ἦν παρ' αὐτοῖς

ἀλλὰ τὸ μὲν φάσθαι τὸ δὲ ἐγκεκρυμμένον εἶναι,

10 ἀλλ' ἦν παρ' αὐτοῖς τὸ

εἰπὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔτινα δείδια ἔμπης.

αὕτη πρώτη αἰτία. δευτέρα αἰτία, ὅτι ἀναιδὲς ζῷον ὁ κύων, ἐπετήδευον δὲ καὶ αὐτοὶ τὴν ἀναίδειαν, οὐ τὴν χείρονα τῆς αἰδοῦς ἀλλὰ τὴν κρείττονα· διττὴ γὰρ ἡ ἀναίδεια, ἡ μὲν χείρων τῆς αἰδοῦς ἡ δὲ κρείττων,

15 ἥ τ' ἄνδρας μέγα σίνεται ἡ δ' ὀνίνησι.

ταύτην οὖν τὴν ἀναίδειαν ἐπετήδευον τὴν κρείττονα αἰδοῦς, οἷον ὑλακτοῦντες κατὰ τῶν ἀλλοτρίων τῆς αὐτῶν φιλοσοφίας. τρίτη αἰτία, ὅτι φρουρητικὸν ζῷον ὁ κύων· ἐφρούρουν δὲ καὶ αὐτοὶ τὰ δόγματα τῆς φιλοσοφίας διὰ τῶν ἀποδείξεων καὶ μέγα ἐφρόνουν ἐπὶ τούτῳ· φαίη γὰρ ἂν ἡ τύχη πρὸς Ἀν-
20 τισθένην τὸν προστάτην τῆς αἱρέσεως ταύτης οὕτως

ἐννέα δὴ προέηκα τανυγλώχινας ὀϊστούς,
τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα,

ὅτι, φησί, τοσαύτας αὐτῷ συμφορὰς ἐπήγαγον, καὶ οὐκ ἠδυνήθην αὐτοῦ καταβαλεῖν τὸ φρόνημα. αὕτη καὶ ἡ τρίτη αἰτία. τετάρτη δὲ ὅτι δια-
25 κριτικὸν ζῷον ὁ κύων γνώσει καὶ ἀγνοίᾳ τὸ φίλον καὶ τὸ ἀλλότριον ὁρίζον· ὃν γὰρ γινώσκει, νομίζει φίλον εἶναι, καὶ εἰ ῥόπαλον ἐπιφέροιτο, ὃν δ' ἀγνοεῖ, ἐχθρόν, καὶ εἰ δέλεαρ ἐπιφερόμενος εἴη· οὕτως οὖν καὶ οὗτοι τοὺς μὲν ἐπιτηδείους πρὸς φιλοσοφίαν φίλους ἐνόμιζον καὶ εὐμενῶς ἐδέχοντο, τοὺς δὲ ἀνεπιτηδείους ἀπήλαυνον δίκην κυνῶν κατ' αὐτῶν ὑλακτοῦντες. διὸ καὶ ὁ
30 Πλάτων ἐν τῷ Γοργίᾳ φησὶν ὅτι ἔχει τινὰ σοφίαν ὁ κύων διακρίνειν φίλον ἀπὸ ἐχθροῦ. καὶ τὸ διακρίνειν δὲ ἀλήθειαν καὶ ψεῦδος μόνου φιλοσόφου. οὕτως καὶ ὁ πέμπτος τρόπος.

Ἕκτος δὲ τρόπος ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ Ἡδονικοί· τέλος γὰρ τῶν ὄντων τὴν ἡδονὴν ἔλεγον· ὧν τῆς φιλοσοφίας κατῆρξεν Ἐπίκουρος, ᾧ

---

2 τρόπου] πρότου P post φιλόσοφοι add. διὰ τί κυνικοί P 3 τοῦ ζώου] τῆς ζωῆς b 4 ἀδιαφορίαν b 7 εἰ δὲ] ἢ HPb ante οὔτε κ. add. καὶ HPb 8 αὐτὸ om. Hb ἀλλὰ om. Kb (cf. Hom. λ 443) φάσθαι] φαίνεσθαι K καὶ κεκρ. Hom. κεκρυμμένων Pb 11 εἰπὲ] ἠὲ Hom. H 196 δείδιμεν Hom. ἔμπτης K: ἔμπυς P 12 δευτέρα αἰτία in mrg. suppl. P ἀνεδὲς H 14 ἡ μὲν κρείττων . . ἡ δὲ χ. b 15 ἥ τ' Hom. Ω 45: ἥτε Hb: ἥτις KP ἡ δ'] ἡ δὲ HKP: ἥτε b: ἡδ' Hom. 17 αὐτῶν libri 20 προστάντα H 21 ἐννέα] ὀκτὼ Hom. Θ 297 τανυγλώχεινας P 22 τοῦτον . .] Hom. Θ 299 24 καταβάλαι HPb ἡ om. K 27. 28 ἐπιτηδεία P 28 εὐμενεῖς b 30 ἐν τῷ Γοργίᾳ] potius Reipubl. II 15 p. 375 E sq. τι HP an διακρίνων? 33 ὁ ἕκτος b τρόπος om. K 34 ὧν τῆς φιλ. b: τῆς φιλ. ὧν HKP

συνήκμασεν ὁ Μένανδρος. οὗτοι δὲ οἱ Ἐπικούρειοι καὶ μέχρι τῶν οὐρανίων ἴστων τὴν πρόνοιαν, ἵνα μὴ πράγματα σχῇ τὸ θεῖον περιεργαζόμενον τὰ τῇδε. μέμνηται δὲ τῆς δόξης ταύτης καὶ Μένανδρος ἐν τοῖς Ἐπιτρέπουσιν, ἡνίκα φησὶν

5 οἴει τοσαύτην τοὺς θεοὺς ἄγειν σχολήν,
ὡς ἀγαθόν τε καὶ κακὸν καθ' ἡμέραν
νέμειν ἑκάστῳ σμικρὸν ἦν;

οὗτοι ἔλεγον τέλος εἶναι τὴν ἡδονήν, οὐ τὴν αἰσχρὰν δῆθεν τὴν δι' ἀφροδισίων καὶ ἄλλων ἡδυπαθειῶν, ἀλλὰ τὴν ἀσχολίαν τῶν παθῶν καὶ κατα-10 στηματικήν, τὴν καθιστῶσαν τὴν ψυχὴν ὥστε μὴ πάσχειν | αἰσχρόν τι 223v πάθος· οὐδὲ γὰρ ἡδονὴ τέλος τῆς φύσεως· οὐδὲ γὰρ διὰ τοῦτο ἐνεργεῖ ἡ φύσις, ἵνα ἡδώμεθα, ἀλλὰ συνέπλεξεν ἡδονὴν τῇ ἐνεργείᾳ οἷον δελεάσασα καὶ γοητεύσασα ἡμᾶς δι' αὐτῆς πρὸς τὸ ἐπίμοχθον τῶν ἐνεργειῶν· ἐπίμοχθον γὰρ μὴ πεινῶντα ἐσθίειν καὶ μὴ διψῶντα πίνειν. ἡ ἡδονὴ οὖν 15 οὐκ ἔστι τέλος, ἀλλ' ἕπεται ἤτοι συμπλέκεται τῇ κατὰ φύσιν ἐνεργείᾳ, ὥσπερ ἡ σκιὰ τῷ ἐν φωτὶ βαδίζοντι. οὕτως καὶ ὁ ἕκτος τρόπος.

Ἕβδομος τρόπος τῆς ἐπωνυμίας τῶν κατὰ φιλοσοφίαν αἱρέσεων ὁ ὀνομασθεὶς ἀπό τινος συμβεβηκότος, ὡς οἱ Περιπατητικοὶ ἀπὸ τοῦ Πλάτωνος κατὰ περίπατον τὰς συνουσίας ποιουμένου διὰ τὸ ἅμα τῇ ψυχῇ τὸ σῶμα 20 γυμνάζειν. καὶ τῶν ἀνθρωπίνων ἀναχωρήσαντος διαδέχεται τὴν σχολὴν αὐτοῦ Σπεύσιππος ὁ υἱὸς τῆς Πρωτώνης ἀδελφῆς τοῦ Πλάτωνος· οὐκ ἐτύγχανε γὰρ τηνικαῦτα παρὼν ὁ Ἀριστοτέλης· μετασταλεὶς γὰρ ἦν ὑπὸ Φιλίππου ἐν Μακεδονίᾳ ἐπὶ τῷ παιδεῦσαι τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, ὃν παραλαβὼν οὕτως ἐπιμελῶς ἐπαίδευσε τὴν βασιλικὴν ἐπιστήμην ὡς ἐπι-25 λέγειν τὸν Ἀλέξανδρον, ἡνίκα μηδένα ὠφέλησεν, ὅτι 'σήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ εὐεργέτησα'. καί ποτε τοῦ Ἀριστοτέλους εἰπόντος ὅτι ἄπειροι κόσμοι κατὰ Δημόκριτον, ἐπιδακρῦσαί φασι τὸν Ἀλέξανδρον, ὅτι οὐδ' ἑνὸς ὅλου κόσμου ἠδυνήθη ἐπικρατῆσαι. ἐκεῖθεν δὲ ὑποστρέψας ὁ Ἀριστοτέλης διαδέχεται τὴν σχολὴν τοῦ Σπευσίππου σὺν Ξενοκράτει, καὶ 30 ἀμφότεροι ἐλέγοντο Περιπατητικοὶ τοῖς τόποις διαφέροντες· οἱ μὲν γὰρ ἐκαλοῦντο Λύκειοι Περιπατητικοί, ὡς οἱ Ἀριστοτελικοί, οἱ δὲ ἄλλοι Ἀκαδημαϊκοὶ Περιπατητικοί, ὡς οἱ τοῦ Ξενοκράτους. τῷ χρόνῳ δέ, οἷα συμβαίνει, ἐξέλιπε ⟨τῶν⟩ μὲν τὸ ὄνομα τοῦ τόπου καὶ ἐκαλοῦντο Περιπατητικοὶ χωρὶς τοῦ

---

1 post μένανδρος add. δόξα ἐπικουρείων P οἱ Ἐπικούρειοι] cf. Useneri Epic. p. 241 3 ταύτης om. b Μέν. ἐν τοῖς Ἐπιτρ.] frg. 178 (Kock III p. 51) 4 ἡνήκα H 5 οἶμαι b τοὺς] πρὸς (coni. τοὺς) b 6 τἀγαθόν τε καὶ τὸ κακὸν coni. Kock 7 σμικρ. ἦν] Σμικρίνη corr. Meineke 8 τέλος iter. del. H 12 ἐσυνέπλεξεν P οἷα b 14 αἰσθίειν H ἡ om. HP 15 ἔστι] ἔτι H 17 τῆς ἐπωνυμίας om. b 18 συμβεβηκότως H[1] 19 τὴν συνουσίαν b ποιούμενοι P 20 καὶ] an οὗ? ἀναχωρ.] χωρ. KP 21 Πρωτώνης] corrigas Ποτώνης, cf. Diog. L. III 4, Suid. s. v. Πλάτων et Σπεύσιππος, Aristotelis vitae Marc. p. 429,11 (Rose) 22 ὁ om. K 23 τῷ] τὸ HPb 24 ἐπιμελῶς om. Kb 25 μηδὲν KPb 26 εὐηργέτησα HP 27 ὅτι] εἰπόντα b 28 ἠδυνήθην Hb ὁ om. K 31 et 113,1 Λύκειοι b: λύκιοι libri 31 ἄλλοι om. b 31 et 113,2 ἀκαδημιακοὶ Hb 32 ὡς om. b 33 τῶν inserui

Λύκειοι, τῶν δὲ Ξενοκρατείων τὸ τῆς ἐνεργείας ὄνομα ἐξέλιπε καὶ ἐκαλοῦντο Ἀκαδημαϊκοί. Περιπατητικοὶ οὖν ἐκαλοῦντο, οὐχ ὅτι κατὰ περίπατον ἐξηγοῦντο, ἀλλ' ὅτι διεδέξαντο τὴν σχολὴν τοῦ Πλάτωνος, διὰ μέσου Σπευσίππου, κατὰ περίπατον ποιουμένου τὰς ἐξηγήσεις.

5 Οὗτοί εἰσιν οἱ ἑπτὰ τρόποι τῆς ἐπωνυμίας τῶν κατὰ φιλοσοφίαν αἱρέσεων. προσθῶμεν δὲ καὶ ἡμεῖς καὶ τὴν αἰτίαν τοῦ εἶναι ἑπτὰ μόνον τοὺς τρόπους καὶ μήτε πλείονας μήτε ἐλάττονας. δεῖ εἰδέναι ὅτι ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν αἱρέσεις ἢ ἀπὸ τύχης, ὡς Περιπατητικοί, ἢ ἀπὸ διανοίας, ⟨ἀπὸ δὲ διανοίας⟩ ἢ ἀπὸ περιστατικοῦ ἢ ἀπὸ προηγουμένου, καὶ 10 ἀπὸ περιστατικοῦ ἢ ὀνόματος ἢ τόπου. καὶ εἰ μὲν ὀνόματος, ὡς Πλατωνικοί, εἰ δὲ τόπου, ἢ χωριστοῦ ἢ ἀχωρίστου. καὶ εἰ μὲν ἀχωρίστου, ποιεῖ τὴν τῆς πατρίδος ἐπωνυμίαν, | εἰ δὲ χωριστοῦ, ποιεῖ τὴν ἀπὸ τόπου 224r ἐπωνυμίαν. ἀπὸ δὲ προηγουμένου ἢ ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ Ἡδονικοί, ἢ ἀπὸ τῆς πρὸ τέλους κατασκευῆς, καὶ ταύτης ἢ γνωστικῆς ἢ ζωτικῆς. καὶ 15 εἰ μὲν γνωστικῆς, ποιεῖ τοὺς Ἐφεκτικούς, εἰ δὲ ζωτικῆς, ποιεῖ τοὺς Κυνικούς. ταῦτα καὶ περὶ τῆς αἰτίας τῶν ἐπωνυμιῶν.

Δεύτερον ἦν κεφάλαιον τῶν προτεθέντων τὸ εἰπεῖν τὴν διαίρεσιν τῶν Ἀριστοτελικῶν συγγραμμάτων χιλίων ὄντων τὸν ἀριθμόν, ὡς Ἀνδρόνικος παραδίδωσιν ὁ † ποίτου ἑνδέκατος γενόμενος διάδοχος. τῶν τοίνυν Ἀριστο- 20 τελικῶν συγγραμμάτων τὰ μέν εἰσι μερικὰ τὰ δὲ καθόλου τὰ δὲ μεταξύ. μερικὰ δὲ λέγονται οὐχ ἁπλῶς τὰ πρὸς ἕνα γεγραμμένα (δυνατὸν γὰρ καὶ καθολικὸν πρᾶγμα πρὸς ἕνα γράψαι· οὕτω γοῦν ἡ Περὶ κόσμου πραγματεία καθολικὴ οὖσα προσπεφώνηται Ἀλεξάνδρῳ τῷ βασιλεῖ), ἀλλὰ μερικὰ λέγω ὅσα περὶ ἑνὸς καὶ μερικοῦ καὶ πρὸς ἕνα, ὥσπερ αἱ ἐπιστολαὶ αὐτοῦ· αἱ γὰρ 25 ἐπιστολαὶ πρὸς ἕνα εἰσὶ γεγραμμέναι, ἃς ἐν ὀκτὼ βιβλίοις συνήγαγεν Ἀρτέμων τις μετὰ Ἀριστοτέλην γενόμενος. καὶ καθόλου δὲ λέγονται ὅσα περὶ πάντων τῶν μονοειδῶν διαλαμβάνει, ὡς ἡ Φυσικὴ ἀκρόασις φυσικῶν πάντων καὶ ἡ Περὶ οὐρανοῦ καὶ τὸ Περὶ γενέσεως καὶ φθορᾶς καὶ τὰ Μετέωρα πάντων τῶν ἐν τῷ μεταρσίῳ τόπῳ ἱσταμένων. τὰ δὲ μεταξὺ ὅσα μήτε 30 περὶ πάντων μήτε περὶ ἑνὸς ἀλλὰ περὶ πλειόνων διαλέγεται, ὡς ἡ ἱστορία. διττὴ δὲ αὕτη, ἡ μὲν πολιτικὴ ὡς αἱ Πολιτεῖαι, ἃς ἱστόρησεν ἐκ τοῦ πολλὴν γῆν περιελθεῖν ἅμα Ἀλεξάνδρῳ τῷ βασιλεῖ, ἃς ἐκδέδωκε κατὰ στοιχεῖον διακοσίας πεντήκοντα οὔσας τὸν ἀριθμόν, ἡ δὲ φυσικὴ ὡς ἡ Περὶ φυτῶν καὶ ζῴων ἱστορία.

---

1 post Λύκειοι add. οἱ Ἀριστοτελικοί b ἐξέλιπε post ξενοκρ. colloc. b 2. 4 κατὰ περίπατον scripsi: κατὰ περιπάτων HKP: κατὰ περιπάτους b 5 καὶ οὗτοι Hb 6 προσθῶμεν — ἐπωνυμιῶν (16) om. b ἡμᾶς H καὶ (alt.) om. K (cf. p. 119,12) 7 πλείους K δεῖ δὲ H 8. 9 ἀπὸ δὲ διανοίας ex Olympiodoro inserui 9 ἢ ἀπὸ προηγ. — περιστατικοῦ (10) in mrg. suppl. P 10. 11 εἰ μὲν] ἡ μὲν P 15 τὴν ἐφεκτικὴν K 19 ὁ ποίτου HPK: ὁ τούτου b: ἀπὸ τούτου Littig, an ὁ Περιπάτου? (cf. p. 117,22) 25 βίβλοις Hb 26 καὶ eicias 28 τὰ μετ.] μετεώρων K 29 τῷ om. K τόπων P συνισταμ. Hb 32 πολὴν H τῷ om. Kb 33 post ἀριθμόν add. τίς ἡ φυσική P φυσικὴ δὲ (ἡ om) HPb 34 post ἱστορία add. τίς ἡ καθόλου P

Τῶν δὲ καθόλου τὰ μέν εἰσιν ὑπομνηματικὰ τὰ δὲ συνταγματικά. καὶ ὑπομνηματικὰ μὲν λέγονται ἐν οἷς μόνα τὰ κεφάλαια ἀπεγράφησαν δίχα προοιμίων καὶ ἐπιλόγων καὶ τῆς πρεπούσης ἐκδόσεσιν ἀπαγγελίας. τὸ δὲ τοῦ ὑπομνήματος ὄνομα παρὰ Πλάτωνι κεῖται ἐν τῇ Ἐπινομίδι συνόψει 5 οὔσῃ τῶν νόμων· φησὶ γὰρ ἐκεῖ περὶ τῶν νόμων ἀνεκδότων μεινάντων 'ὡς ἄρα φθάνουσί τινες ὑπομνήματα αὐτῶν εἰληφότες'. διὸ οὐδὲ δεῖ ἐκ τῶν ὑπομνηματικῶν πιστοῦσθαι τὰς Ἀριστοτέλους δόξας ὡς διόρθωσιν ὑπομεινάντων. τῶν δὲ ὑπομνηματικῶν τὰ μὲν μονοειδῆ τὰ δὲ ποικίλα, μονοειδῆ μὲν ὡς ἐνομίσθη τὸ Περὶ ἑρμηνείας ὑπομνηματικὸν διὰ τὴν ἀσάφειαν, πρὶν 10 γράψαι τὸν φιλόσοφον Ἀμμώνιον εἰς αὐτὸ ὑπόμνημα καὶ δεῖξαι ὅτι καὶ προοίμιον ἔχει καὶ ἐπιλόγους καὶ τὴν πρέπουσαν τῇ ἐκδόσει ἀπαγγελίαν, τὰ δὲ ποικίλα ὡς τὰ πρὸς Εὐκαίριον αὐτῷ γεγραμμένα ἑβδομήκοντα βιβλία Περὶ συμμίκτων ζητη|μάτων χωρὶς προοιμίων καὶ ἐπιλόγου καὶ τῆς 224v διαιρέσεως.

15 Τῶν δὲ συνταγματικῶν τὰ μέν εἰσιν αὐτοπρόσωπα, ἃ καὶ ἀκροαματικὰ λέγονται, τὰ δὲ διαλογικά, ἃ καὶ ἐξωτερικὰ λέγονται. καὶ ὡς μὲν αὐτοπρόσωπα ἀντίκεινται τοῖς διαλογικοῖς, ὡς δὲ ἀκροαματικὰ ἀντίκεινται τοῖς ἐξωτερικοῖς· πάντας γὰρ ἀνθρώπους ὠφελεῖν βουλόμενος ὁ Ἀριστοτέλης ἔγραφε καὶ πρὸς τοὺς ἐπιτηδείους τῆς φιλοσοφίας ἐξ οἰκείου προσώπου (διὸ 20 καὶ ἀκροαματικὰ λέγονται, ὡς δέον αὐτῶν πάντως ἀκροάσασθαι· ὅθεν καὶ Φυσικὴ ἀκρόασις, ἐπειδὴ εὐδοκιμεῖν δοκεῖ ὁ Ἀριστοτέλης μάλιστα ἐν αὐτῇ καὶ δέον αὐτῆς πάντως ἀκροάσασθαι τοὺς ἔχοντας ἐπὶ φιλοσοφίαν), ἔγραφε δὲ καὶ πρὸς τοὺς ἀνεπιτηδείους πρὸς φιλοσοφίαν τὰ διαλογικά. καὶ ἐν μὲν τοῖς ἀκροαματικοῖς ἅτε δὴ πρὸς ἄνδρας μέλλοντας φιλοσοφεῖν διαλεγόμενος 25 ⟨ἀναγκαστικοῖς, ἐν δὲ τοῖς διαλογικοῖς⟩ πιθανοῖς κέχρηται λόγοις. κατασκευάζων δὲ τὴν ἀθανασίαν τῆς ψυχῆς κἀν τοῖς ἀκροαματικοῖς δι' ἀναγκαστικῶν λόγων κατασκευάζει, ἐν δὲ τοῖς διαλογικοῖς διὰ πιθανῶν εἰκότων· φησὶ γὰρ ἐν τοῖς Περὶ ψυχῆς ἀκροαματικοῖς ὅτι ἡ ψυχὴ ἄφθαρτος· εἰ γὰρ ἦν φθαρτή, ἔδει μάλιστα αὐτὴν φθείρεσθαι ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώ- 30 σεως· τότε δὲ ἀκμάζει τοῦ σώματος παρακμάσαντος, ὥσπερ οὖν παρακμάζει ὅτε τὸ σῶμα ἀκμάζει· τὸ δὲ ὅτε δεῖ φθείρεσθαι ἀκμάζον ἄφθαρτον· ἡ ψυχὴ ἄρα ἄφθαρτός ἐστι. καὶ οὕτως μὲν ἐν τοῖς ἀκροαματικοῖς. ἐν δὲ τοῖς διαλογικοῖς φησιν οὕτως· ὅτι ἡ ψυχὴ ἀθάνατος, ἐπειδὴ αὐτοφυῶς

2 ἀπεγράφετο P 4 ἐν τῇ Ἐπινομίδι] p. 980 D 9 ἐλογίσθη (in mrg. ἐνομίσθη) K 10 ἀμώνιον H 11 ἐπίλογον Kb (cf. Ammon. in l. De interpr. p. 8,21 sq.) 12 πρὸς εὐκαίριον] πρὸς εὐκαιρίαν coni. Rose (Arist. frg. p. 427,8 not.); an πρὸς εὔκαιρον? (cf. Hesychii ind. 168, p. 17 Rose) 13 ἐπιλόγων b 18 πάντες b 19 τῇ φιλοσοφίᾳ b 20 πάντας b 22 πάντας Pb post φιλοσοφίαν add. ἐπιτηδείως b 23 τοὺς (post πρὸς) om. HPb 25 ἀναγκαστικοῖς — διαλογικοῖς inserui ex Brandisii coniectura, qui coniecit ἀναγκαστικοῖς ἐν δὲ τοῖς ἐξωτερικοῖς 26 δὲ] corrigas γὰρ κἀν] corrigas ἐν μὲν 27 πειθανῶν H εἰκότως Kb; sed εἰκότων eicias 28 Περὶ ψυχῆς] A 4 p. 408b 18 sq. 29 ὑπὸ τοῦ . . ἀμαυροῦσθαι b 30 παρακμάζει] corrigas συνακμάζει 32 post ἐστι add. καὶ ἄλλως ὅτι ἄφθαρτος P 32. 33 ἐν δὲ τοῖς διαλογικοῖς] Aristotelis frg. 39 (p. 46 Rose) 33 post ἀθάνατος add. ἐστι del. H

πάντες οἱ ἄνθρωποι καὶ σπένδομεν χοὰς τοῖς κατοιχομένοις καὶ ὄμνυμεν κατ' αὐτῶν, οὐδεὶς δὲ τῷ μηδαμῇ μηδαμῶς ὄντι σπένδει ποτὲ ἢ ὄμνυσι κατ' αὐτοῦ. ὁ δὲ Ἀλέξανδρος ἄλλην διαφορὰν λέγει τῶν ἀκροαματικῶν πρὸς τὰ διαλογικά, ὅτι ἐν μὲν τοῖς ἀκροαματικοῖς τὰ δοκοῦντα αὐτῷ λέγει
5 καὶ τὰ ἀληθῆ, ἐν δὲ τοῖς διαλογικοῖς τὰ ἄλλοις δοκοῦντα, τὰ ψευδῆ. ἀλλ', ὦ Ἀλέξανδρε, ἔστιν εἰπεῖν πρὸς αὐτόν, ὅτι οὐκ ἔστιν τοῦτο φιλοσόφου· τὸ γὰρ ψεῦδος μὲν ἑλέσθαι, ἀφανίσαι δὲ τὸ ἀληθές, οὐχὶ θεμιτόν·

ἐχθρὸς γάρ μοι κεῖνος ἀνὴρ ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν ἄλλο δ' ἐνίσπῃ.

10 τοῦτο δὲ εἶπεν ὁ Ἀλέξανδρος, ἐπειδὴ τὴν λογικὴν ψυχὴν βούλεται φθαρτὴν εἶναι, ὁ δὲ Ἀριστοτέλης ἐν τοῖς διαλογικοῖς μάλιστα δοκεῖ κηρύττειν τὴν ἀθανασίαν τῆς ψυχῆς· ἵνα οὖν μὴ σχῇ ἐλέγχοντα τὸν Ἀριστοτέλην, διὰ τοῦτο εἶπε τὴν τοιαύτην διαφοράν. ἐν οἷς ἡ πρᾶξις.

Ἡ διαίρεσις τῶν αὐτοπροσώπων κατὰ τὴν διαίρεσιν γίνεται τῆς φιλο-
15 σοφίας προστιθεμένου τοῦ λογικοῦ ἤτοι ὀργανικοῦ· τῆς γὰρ φιλοσοφίας εἰς δύο διαιρουμένης τὰ αὐτοπρόσωπα εἰς τρία διαιρεῖται· τούτων γὰρ τὰ μέν εἰσι θεωρητικὰ | τὰ δὲ πρακτικὰ τὰ δὲ λογικὰ ἤτοι ὀργανικά. καὶ ἕκαστον 225r τούτων εἰς τρία διαιρεῖται· τὰ γὰρ θεωρητικὰ εἰς τρία διαιροῦνται, εἰς φυσιολογικὸν μαθηματικὸν θεολογικόν, τὰ δὲ πρακτικὰ εἰς ἠθικὰ οἰκονομικὰ
20 πολιτικά, τὰ δὲ λογικὰ εἰς τὰ πρὸ τῆς μεθόδου εἰς αὐτὴν τὴν μέθοδον καὶ εἰς τὰ ὑποδυόμενα τὴν μέθοδον. τὰ οὖν φυσικὰ τοῦ Ἀριστοτέλους ἢ περὶ τῶν σωματικῶν ἐστιν ἢ περὶ τῶν ἀσωμάτων. καὶ εἰ μὲν περὶ ἀσωμάτων, ἢ περὶ τῶν χειρόνων τῶν σωμάτων ἢ περὶ τῶν κρειττόνων. καὶ εἰ μὲν περὶ τῶν κρειττόνων τῶν σωμάτων, ὡς ἡ Περὶ τῆς ψυχῆς αὐτοῦ πραγματεία (ἡ γὰρ
25 ψυχὴ κρείττων τοῦ σώματος πέφυκεν εἶναι), εἰ δὲ περὶ χειρόνων τοῦ σώματος, ὡς τὰ Περὶ τῶν χρωμάτων αὐτοῦ ζητήματα· τὰ γὰρ χρώματα χείρω τῶν σωμάτων καθέστηκε, καθότι ἐν αὐτοῖς ἔχει τὸ εἶναι. ἡ δὲ περὶ τὰ σώματα αὐτοῦ φυσιολογία ἢ περὶ τὰ ὑπὲρ τὴν σελήνην, ὡς τὰ οὐράνια σώματα καὶ ἡ περὶ τούτων ζήτησις, περὶ γαλαξίου περὶ ἄστρων
30 περὶ ἡλίου καὶ σελήνης, ἢ περὶ τῶν ὑπὸ σελήνην, καὶ τούτων ἢ περὶ τὰ καθόλου τῆς τῶν σωμάτων φύσεως, ὡς τὰ Περὶ γενέσεως καὶ φθορᾶς ζητήματα, ἢ περὶ τῶν μερικῶν. καὶ εἰ μὲν μερικῶν, ἢ ἐμψύχων ἢ ἀψύχων. καὶ εἰ μὲν ἐμψύχων, ἢ αἰσθητικῶν ἢ ἀναισθήτων. καὶ εἰ μὲν περὶ ἀναισθήτων ἐμψύχων, ὡς τὰ Περὶ φυτῶν αὐτοῦ ζητήματα, εἰ δὲ αἰσθητικῶν,
35 καὶ τούτων πάλιν ἢ περὶ τῶν καθόλου, ὡς αἱ Περὶ τῶν ζῴων αὐτοῦ ἱστορίαι, ἔνθα διαλέγεται περὶ τῶν ἐν τοῖς ζῴοις παθημάτων, περὶ γήρους καὶ

1 οἱ superscr. H ὤμνυμεν HP 4 τὰ διαλογικά b: τὴν διαλογικήν KHP 6 ὅτι eicias 7 οὐ b 8 ἐχθρὸς . .] Hom. I 312 9 χ' Hom.: κεν HKPb κεύθῃ scripsi: κεύθει KPHb ἐνίσπῃ scripsi: ἐνίσπει HP: ἐνέπτει K¹: ἐνίπτει K²b: δὲ εἴπῃ Hom. 10 ὁ om. HPb 12 ἀριστοτέλειν H¹ 13 τοῦτο] τοῦ H τὴν om. Hb ἐν οἷς ἡ πρᾶξις om. b 15 φιλοσ.] σοφίας P 16 τρία] δύο K 17 ante δὲ λογ. add. γὰρ θεωρητικὰ εἰς τρία διαιρο— del. P 18. 19 l. φυσιολογικὰ μαθηματικὰ θεολογικά 20 δὲ om. HPb 21 l. φυσιολογικὰ 25 πέφυκεν — σώματος in mrg. suppl. H 27 χεῖρον HP 32 εἰ] ἡ P 33. 34 αἰσθητῶν b 35 τοῦτο HPb 36 γήρως b

νεότητος, περὶ αὐξήσεως καὶ μειώσεως (ταῦτα γὰρ καθόλου εἰσὶ καὶ πᾶσι τοῖς ζῴοις ὑπάρχει), ἢ αὖ κατ' ἰδίαν, ὡς Περὶ τῆς καθ' ὕπνον μαντικῆς· αὕτη γὰρ μόνοις τοῖς ἀνθρώποις ὑπάρχει. εἰ δὲ πάλιν περὶ τῶν ὑπὸ σελήνην αὐτοῦ φυσιολογικῶν ζητημάτων, τὰ μὲν ὑπὲρ τὴν γῆν ἐστι τὰ δὲ
5 ἐν τῇ γῇ τὰ δὲ ὑπὸ τὴν γῆν· καὶ εἰ μὲν ὑπὲρ τὴν γῆν, ὡς τὰ Μετεωρολογικὰ αὐτοῦ, ἔνθα διαλέγεται περὶ τῆς καπνώδους ἀτμίδος καὶ αὐχμηρώδους, περὶ βροντῆς τε καὶ ἀστραπῆς καὶ νεφῶν καὶ περὶ τῶν διαττόντων κομητῶν, δαλῶν τε καὶ αἰγῶν καὶ τῶν ἄλλων εἰδῶν, εἰ δὲ ἐν τῇ γῇ, ὡς ἡ Περὶ θαλασσῶν καὶ ποταμῶν καὶ πηγῶν πραγματεία, εἰ δὲ περὶ τῶν ὑπὸ τὴν
10 γῆν, ὡς ἡ Περὶ τῶν σεισμῶν καὶ χασμάτων αὐτοῦ ζήτησις. καὶ ταῦτα μὲν περὶ τῆς φυσιολογικῆς τοῦ Ἀριστοτέλους. τὰ δὲ μαθηματικὰ αὐτοῦ ὡς τὰ Ὀπτικὰ καὶ Μηχανικὰ αὐτῷ βιβλία γεγραμμένα, θεολογικὰ δὲ ὡς τὰ Μετὰ τὰ φυσικὰ περὶ ἀρχῆς ζητήματα. αὕτη μὲν ἡ διαίρεσις τῶν θεωρητικῶν.
15 Τῶν δὲ πρακτικῶν τὰ μέν εἰσιν ἠθικὰ τὰ δὲ οἰκονομικὰ τὰ δὲ πολιτικά. ἠθικὰ μὲν ὡς τὰ Εὐδήμεια καὶ Νικομάχεια τά τε μικρὰ καὶ τὰ μεγάλα· τὰ μὲν γὰρ τῷ πατρὶ προσφωνεῖ Νικομάχῳ καὶ λέγονται Νικομάχεια μεγάλα, τὰ δὲ τῷ υἱῷ ὁμωνύμῳ τῷ πατρὶ καὶ λέγονται | Νικο- 225v μάχεια μικρά. πολιτικὰ δὲ ὡς τὸ Πολιτικὸν σύνταγμα, ἐν ᾧ διδάσκει πῶς
20 δεῖ πολιτεύεσθαι. κἂν τῷ δευτέρῳ λόγῳ τοῦ Πολιτικοῦ ἀντιλέγει τῇ Πολιτείᾳ Πλάτωνος ἅτε ὁμοστοίχῳ οὔσῃ τῇ πολιτείᾳ· ἐν γὰρ ταῖς Πολιτείαις οὐ διδάσκει πῶς δεῖ πολιτεύεσθαι, ἀλλὰ πῶς οἱ πρὸ αὐτοῦ ἐπολιτεύσαντο ἄνθρωποι. ἀλλὰ μὴν καὶ οἰκονομικά εἰσιν αὐτῷ γεγραμμένα βιβλία, ὡς τὸ Οἰκονομικὸν σύνταγμα καὶ Περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός, ἐν ᾧ
25 λέγει ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν εὖ ἔχοντα οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα καὶ ὡς εἴρηται ἡμῖν ἐν τοῖς τῆς Πορφυρίου Εἰσαγωγῆς προλεγομένοις. αὕτη καὶ ἡ τοῦ πρακτικοῦ διαίρεσις.

Τὸ δὲ λογικὸν καὶ αὐτὸ εἰς τρία διαιρεῖται, εἰς τὰ πρὸ τῆς ἀποδεί-
30 ξεως ἤγουν μεθόδου καὶ εἰς αὐτὴν τὴν ἀπόδειξιν καὶ εἰς τὰ ὑποδυόμενα τὴν ἀπόδειξιν. καὶ τὰ μὲν πρὸ τῆς μεθόδου καὶ τῆς ἀποδείξεώς εἰσιν αἵ τε Κατηγορίαι καὶ τὸ Περὶ ἑρμηνείας καὶ τὰ Πρότερα ἀναλυτικά, τὰ δὲ αὐτὴν τὴν μέθοδον τῆς ἀποδείξεως διδάσκοντά εἰσι τὰ Δεύτερα ἀναλυτικά, τὰ δὲ ὑποδυόμενα αὐτὴν τὴν ἀπόδειξίν εἰσι τὰ Τοπικά, αἱ Ῥητορικαὶ τέχναι, οἱ
35 Σοφιστικοὶ ἔλεγχοι καὶ τὸ Περὶ ποιητικῆς· πέντε γάρ εἰσιν εἴδη τῶν συλ-

---

2 ἰδείαν P 3 εἰ δὲ eras. K 6 ἀχμηρ. H 9 ἡ post πηγῶν coll. HKP: corr. b 11 φυσιολογικῆς ex φυσιολογίας corr. H 12 αὐτῷ b: αὐτοῦ HKP 13. 14 θεωριτικῶν H: μαθηματικῶν K 16 εὐδήμεια Simpl.: εὐδήμια HKPb νικομάχεια Simpl. El. in Porph. Is. (p. 33,1. 2) νικομάχια HKPb: (constanter) 17 νικομάχῳ] νικομαχίῳ KP 18 ὁμώνυμα H 19 καὶ πολιτικὰ δὲ K 21 τῇ πολ.] an τῷ Πολιτικῷ? 24 Περὶ συμβιώσεως ἀνδρὸς καὶ γ.] Arist. fr. 182 (p. 138 Rose) 25 συγκεκροτεῖσθαι H 26 δοῦλος H¹ 27 ἐξιόντας b ἐν τοῖς τῆς Πορφ. Εἰσαγ.] p. 33,3 29 δὲ om. b αὐτῶ P 33 δεύτερα b: δύο HKP 35 εἴδει H

λογισμῶν, ἀποδεικτικὸς διαλεκτικὸς ῥητορικὸς σοφιστικὸς ποιητικός. καὶ εἰκότως, ἐπειδὴ καὶ αἱ προτάσεις ὅθεν λαμβάνονται πέντε εἰσίν· ἢ γὰρ πάντῃ ἀληθεῖς εἰσιν αἱ προτάσεις καὶ ποιοῦσι τὸν ἀποδεικτικόν, ἢ πάντῃ ψευδεῖς καὶ ποιοῦσι τὸν ποιητικὸν τὸν μυθώδη, ἢ πῇ μὲν ἀληθεῖς πῇ δὲ
5 ψευδεῖς, καὶ τοῦτο τριχῶς· ἢ γὰρ μᾶλλον ἀληθεύει ἧττον δὲ ψεύδεται καὶ ποιεῖ τὸν διαλεκτικὸν συλλογισμόν, ἢ πλέον ἔχει τὸ ψεῦδος τοῦ ἀληθοῦς καὶ ποιεῖ τὸν σοφιστικόν, ἢ ἐπίσης ἔχει τὸ ἀληθὲς τῷ ψεύδει καὶ ποιεῖ τὸν ῥητορικόν. ὅθεν καὶ στάσεις παρὰ μόνοις τοῖς ῥήτορσι διὰ τὸ ἐξισάζειν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· ἣν γὰρ ἐκτελεῖ χρείαν ἡ στάθμη τῷ τέκτονι
10 διακρίνουσα τὰ εὐθέα ἀπὸ τῶν καμπύλων καὶ παρὰ τοῖς οἰκοδόμοις τὸ βαρύλλιον διακρῖνον τὰ ὀρθὰ ἀπὸ τῶν κεκλιμένων, οὕτω καὶ ἡ λογικὴ ὄργανον οὖσα τῆς φιλοσοφίας διακρίνει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν, ἵνα μὴ ψευδῆ δοξάσωμεν μηδὲ κακὰ διαπραξώμεθα. ταῦτα ἔχει καὶ ἡ παροῦσα πρᾶξις.

15 Ἐπειδὴ πολλὰ ὄντα τὰ Ἀριστοτελικὰ βιβλία ἔγνωμεν διὰ τῆς διαιρέσεως καὶ διὰ τοῦτο οὐκ ἴσμεν τί μὲν πρῶτον τί δὲ μετέπειτα τί δὲ ὑστάτιον μεταχειρισώμεθα, φέρε τρία τινὰ ζητήσωμεν, τίς ἡ ἀρχὴ τῶν Ἀριστοτελικῶν συγγραμμάτων, τί τὸ τέλος, τίς ἡ μεταξὺ ὁδός. ταῦτα δὲ ζητοῦμεν οὐ μόνον διὰ τὸ πλῆθος αὐτῶν ἀλλὰ καὶ διὰ τὴν διαφωνίαν τῶν ἀρχαίων·
20 οἱ μὲν γὰρ ἔλεγον ὅτι δεῖ ἀπὸ τῆς φυσικῆς ἄρξασθαι, οἱ δὲ ἀπὸ τῆς λογικῆς, ἄλλοι δὲ ἀπὸ τῆς ἠθικῆς, ἕτεροι δὲ ἀπὸ τῆς | μαθηματικῆς· Βοηθὸς 226r γὰρ ὁ Σιδώνιος ἀπὸ τῆς φυσικῆς λέγει, Ἀνδρόνικος δὲ ὁ Ῥόδιος ὁ Περιπατητικὸς ὁ ἑνδέκατος διάδοχος τῆς Ἀριστοτέλους σχολῆς ἀπὸ τῆς λογικῆς ἔλεγε, τῶν δὲ Πλατωνικῶν οἱ μὲν ἀπὸ τῆς ἠθικῆς οἱ δὲ ἀπὸ τῶν μαθη-
25 ματικῶν. καὶ πάντες τὰς οἰκείας δόξας κατεσκεύαζον· οἱ γὰρ λέγοντες ὅτι δεῖ ἀπὸ τῆς ἠθικῆς ἄρχεσθαι ἔλεγον ὅτι δεῖ πρότερον κοσμῆσαι τὰ ἠθικὰ προκαθάραντας τὴν ψυχὴν ἀπὸ τῶν μοχθηρῶν ἠθῶν, ἵνα καθαρὰ οὖσα καθαρᾷ προσομιλήσῃ τῇ φιλοσοφίᾳ· ‘μὴ καθαρὸν γὰρ καθαρῶν ἐφάπτεσθαι οὐχὶ θεμιτόν’ κατὰ τὴν Πλάτωνος φωνήν, ὡς καὶ οἱ ἰατρικοί φασι ‘τὰ
30 μὴ καθαρὰ τῶν σωμάτων ὁκόσα ἂν θρέψῃς, μᾶλλον ἂν βλάψοις ὕλην ὑποβάλλων τῇ κακοχυμίᾳ’, καὶ ὡς οὐκ ἔστιν ὄψει λημώσῃ ἢ φλεγμαινούσῃ ἀκριβολογήσασθαι τὰ ὁρατά, οὕτω καὶ ὁ τοῖς μοχθηροῖς δόγμασι προκατειλημμένος τὴν ψυχὴν ἐπιχειρῶν διδάσκειν μείζονας ἀρχὰς αὐτῇ ψευδοδοξίας

1 σοφιστικὸς in mrg. suppl. P: ante ῥητ. colloc. Hb 3 καὶ — ψευδεῖς (4) om. K 5. 6 scribas ἀληθεύουσι ἧττον δὲ ψεύδονται καὶ ποιοῦσι, nisi malis ἡ πρότασις subaudire 6 συλογισ. P ψεῦδος] ψεύδεσθαι K 7 post σοφιστικόν add. λόγον del. P ἐπίσον Hb: ἐπίσις P 8 καὶ (post ὅθεν) om. H στάσις KP 13 ψευδῆ om. P 13. 14 ταῦτα — πρᾶξις] ἐν οἷς ἡ πρᾶξις K: om. b 15 ὄντα om. K 17 μεταχειρισώμεθα scripsi: μεταχειρισόμεθα libri τρία] τρίτην b 19 ἀφωνίαν P 26 ἠθικὰ] ἤθη b 27 προκαθαίροντας b ἵνα — οὕτως μὲν οὗτοι (118,9) om. b 28 καθαρῶν] καθαρὸν P 29 κατὰ Πλάτωνος φωνήν] Phaedo. p. 67 B οἱ ἰατρ.] ἰατρικοὶ K: οἰατρικοὶ P; cf. Hippocr. Aphor. 2,10 (M. Gr. XXIII p. 713 Kühn.) 30 βλέψῃς H: βλάψῃς P 30. 31 ὑποβάλων H: ἐπιβάλλων corr. ex ὑποβάλλων K 31 λημμώσῃ K 32. 33 προκατειλημένος H 33 αὐτῇ ἀρχᾶς colloc. K ψευδοξίας KP

παρέχει, καὶ ἀπαίδευτος οὐχ ὁ μηδὲν εἰδὼς ἀλλ' ὁ τὸν ἐν αὑτῷ παῖδα μὴ καταστείλας· ἔστι γὰρ παῖς ἐν ἡμῖν καὶ γέρουσιν οὖσι, τοῦτ' ἔστιν ἡ ἄλογος ψυχή, ἣν δεῖ παιδεύειν· ὅθεν καὶ παιδεία εἴρηται ἡ ἀναγωγὴ ὡς τοῦ ἐν ἡμῖν παιδὸς οὖσα καταστολή, καὶ πεπαιδευμένος παρὰ Πλάτωνι οὐχ 5 ὁ πολλὰ εἰδὼς καὶ ῥέων χρήσεις ἀλλ' ὁ τὸν ἐν αὑτῷ παῖδα κατεσταλμένον ἔχων· διό φησιν αὐτὸς ὅτι 'φιλόσοφον ἐγὼ καλῶ τὸν εὖ ζῶντα, κἂν μήτε γράμματα μήτε νεῖν ἐπίσταται', τὰ περισπούδαστα τοῖς Ἀθηναίοις, γράμματα μὲν διὰ τὴν σοφίαν, νεῖν δὲ διὰ τὸ ναυμαχεῖν. οὕτως μὲν οὗτοι.

Οἱ δὲ ἀπὸ τῆς φυσικῆς λέγοντες ⟨δεῖν⟩ ἄρχεσθαι ἔλεγον ὅτι τὰ φυσικὰ 10 μαλακώτερά εἰσιν ὡς σύντροφα ἐκ παίδων ψηλαφώμενα ὑφ' ἡμῶν, οἷον σάρκες φλέβες νεῦρα, καὶ ὅτι οἱ ἰατροὶ ἀρχόμενοι τῆς θεραπείας ἀπὸ τῶν μαλακωτέρων ἄρχονται φαρμάκων, ὅτι μάλιστα δοκεῖ Ἀριστοτέλης εὐδοκιμεῖν ἐν ταῖς φυσικαῖς αὐτοῦ πραγματείαις. οὕτως καὶ οὗτοι. οἱ δὲ λέγοντες ὅτι δεῖ ἀπὸ τῶν μαθηματικῶν ἄρχεσθαί φασιν ὅτι δεῖ ταῦτα πρῶτον 15 ἀναγινώσκειν διὰ τὸ θάρρος τῶν ἀποδείξεων (ταῦτα γὰρ κυρίως μανθάνομεν, τὰ δὲ εἰκάζομεν ἤπερ μανθάνομεν), καὶ ὅτι ἐν τούτοις διδασκόμεθα πῶς δεῖ μανθάνειν, ὅτι γραμμικαῖς ἀνάγκαις, οὐκ ἀξιοπιστίᾳ προσώπων ἀναπαυούμενοι, καὶ διὰ Πλάτωνα ἐπιγράψαντα πρὸ τοῦ μουσείου 'ἀγεωμέτρητος μηδεὶς εἰσίτω.'

20 Οἱ δὲ λέγοντες ὅτι δεῖ ἀπὸ τῆς λογικῆς ἄρχεσθαι ἔφασκον ὅτι ὄργανον ἡ λογικὴ καὶ δεῖ πρῶτον εἰδέναι τὸ ὄργανον καὶ εἶθ' οὕτως ποῦ δεῖ χρήσασθαι τῷ ὀργάνῳ· οὕτω γὰρ καὶ ἐπὶ βαναύσων τεχνῶν ἔχει· ὁ γὰρ φοιτήσας εἰς τέκτονα πρῶτον μανθάνει τὰ ὄργανα, οἷον τρύπανον τέρετρον, καὶ εἶθ' οὕτως ἄρχεται αὐτῆς τῆς τεκτονικῆς. οὕτως μὲν οὖν καὶ οὗτοι. | 25 φέρε δὲ ἡμεῖς εἴπωμεν τἀληθὲς πόθεν δεῖ ἄρχεσθαι. ἔδει τοίνυν ἄρχεσθαι 226v ἡμᾶς ἀπὸ τῆς ἠθικῆς διὰ τοὺς λέγοντας δεῖν ἀπὸ τῆς ἠθικῆς ἄρχεσθαι· τούτων γὰρ δριμύτερον οὐδὲν ἔχομεν. ἀλλ' ἐπειδὴ διδασκόμεθα τὰ ἤθη οὐκ ἐκ συνηθείας καθάπερ τὰ πληγῇ νεμόμενα ζῷα, δεῖν ἄρχεσθαι ἀπὸ τῆς λογικῆς, μηδὲ οὕτως ἀμελήσαντας τῶν ἠθῶν ἀλλ' ἀμωσγέπως αὖ 30 κοσμήσαντας διὰ παραινέσεων ἐγγράφων ἢ ἀγράφων, οἷαί εἰσιν αἱ Ἰσοκράτους, ἵν' ἕτοιμον εὕροι ὁ λόγος τὸ ὅ τι ἀκριβῶς ἐπαγιώθη ἐν αὐτῷ· ἰστέον γὰρ ὅτι τῆς φιλοσοφίας εἰς τὸ θεωρητικὸν καὶ τὸ πρακτικὸν διαιρουμένης καὶ τοῦ μὲν θεωρητικοῦ περὶ τὸ ἐν λόγοις ἀληθὲς καὶ ψεῦδος καταγινομένου τοῦ δὲ πρακτικοῦ περὶ τὸ ἐν πράξει ἀγαθὸν καὶ κακόν, παρῆλθεν ὁ συλ-35 λογισμὸς ὄργανον κοσκίνου δίκην οἷον ἐκλογῆς καὶ ἀπεκλογῆς, ἵν' ἐν μὲν

---

3 παιδία P 6 φησιν αὐτὸς] Leg. p. 689 D 7 πλέειν νεῖν P an ἐπίστηται? 9 δεῖν b: om. HKP (cf. v. 26) 11 νεῦραι b 12 καὶ ὅτι b; ὅτι — πραγματείαις eicias, cf. p. 114,21 14 τῶν om. K 16 τὰ δὲ — μανθάνομεν om. KP an τὰ δὲ ⟨ἄλλα μᾶλλον⟩? 17 γραμματικῶν P ἀξιοπιστεία H 17. 18 ἀναπαυόμενον b (recte, nisi malis ἀναπαυομένους) 18 ἀγεωμ.] cf. Zelleri Ph. Gr. II³ p. 357 not. 3 21 καὶ δεῖ — δεῖ (p. 119,30) om. b 22 ἔχει] ἔφη K 23 πρῶτον] πρότερον H 24 οὖν om. HP 25 δὲ] καὶ H 27 ἐπεὶ HP 30 ἐγγράφων] ἐγράφων HP εἰσιν] φησιν P 30. 31 αἱ Ἰσοκράτους] cf. Ammon. in Porph. Is. p. 15,21 32 διαιρ.] θεωρουμένης HP 35 ἀπεκλογῆς scripsi: ἀπολογῆς libri (cf. p. 119,1)

θεωρίᾳ ἐκλέξηται τὸ ἀληθὲς ἐν δὲ πράξει τὸ ἀγαθόν, ἀπεκλέξηται δὲ καὶ τὸ ψεῦδος καὶ τὸ κακόν, ἵνα μήτε ψευδῆ δοξάσωμεν μήτε κακὰ διαπραξώμεθα. καὶ εἰ ἦν ἐν τοῖς Πλάτωνος χρόνοις ἡ διαλεκτική, οὐκ ἂν ἐπέγραψεν ὁ Πλάτων πρὸ τοῦ οἰκείου μουσείου ʽἀγεωμέτρητος μηδεὶς εἰσίτω᾽, ὁπότε
5 καὶ οὗτος ἐνεδείξατο τὴν δύναμιν αὐτῆς ἐν τῷ Σοφιστῇ λέγων οὕτως ʽγύμναζε σαυτὸν διὰ τῆς καλουμένης παρὰ πολλοῖς ἀδολεσχίας, ἕως ἔτι νέος εἶ, ἐπεὶ διαφεύξεταί σε τἀληθές᾽, ἀδολεσχίαν καλέσας τὴν ἀποστασίαν τῶν πραγμάτων ἤγουν τὴν λογικήν· καὶ γὰρ Ἀριστοτέλης ἐν τῇ λογικῇ ἀντὶ τῶν πραγμάτων εἰσφέρει ταῦτα τὰ στοιχεῖα, ἄλφα βῆτα γάμμα, καὶ διὰ
10 τούτων διδάσκει τὰς συμπλοκὰς τῶν συλλογισμῶν· διὸ συνεχῶς αὐτοῖς χρώμενος ἐν τῇ λογικῇ οἷον ἀδολεσχίαν τινὰ ποιεῖ ἑκάστοτε τὰ αὐτὰ λέγων. ταῦτα καὶ ἡμεῖς καὶ πόθεν δεῖ ἄρχεσθαι εἴπωμεν. ἐν οἷς ἡ πρᾶξις.

Ἐπειδὴ ἔδειξεν ἡμῖν ὁ λόγος ὅτι δεῖ ἀπὸ τῆς λογικῆς ἄρχεσθαι προκοσμήσαντας τὰ ἤθη, ἵνα καθαροὶ ὄντες καθαρᾷ προσομιλήσωμεν τῇ φιλο-
15 φίᾳ, ἔτι δὲ τῆς φιλοσοφίας διαιρουμένης εἴς τε τὸ θεωρητικὸν καὶ πρακτικὸν ἡ λογικὴ οἷα κόσκινόν τι οὖσα, ὡς προείπομεν, ἐκλέγεται ἀπὸ μὲν τοῦ θεωρητικοῦ τὸ ἀληθὲς ἀπὸ δὲ τοῦ πρακτικοῦ τὸ ἀγαθόν, ἀπεκλέγεται δὲ καὶ τὸ ψεῦδος τοῦ θεωρητικοῦ καὶ τὸ κακὸν πάλιν τοῦ πρακτικοῦ, ἵνα μήτε ψευδῆ δοξάσωμεν μήτε κακὰ διαπραξώμεθα, ἔχοντες τὴν λογικὴν δια-
20 κρίνουσαν, ἤγουν τὴν ἀπόδειξιν, ἥτις ἐστὶ τῷ ὄντι τὸ Ἑρμαϊκὸν μῶλυ, ἥτινι ὁπλισάμενοι οὐ θέλγονται ὑπὸ τῶν Σειρήνων τῶν ἑτεροδόξων αἱρέσεων τῆς φιλοσοφίας, ὥσπερ ὁ Ὀδυσσεύς, τῶν ἑταίρων αὐτοῦ συωθέντων ὑπὸ τοῦ τῆς Κίρκης φαρμάκου, ὁ δὲ τῇ ἀποδείξει μὴ ὁπλισάμενος γίνεται ὗς Βοιωτία· συνήγαγεν οὖν ὁ λόγος ὅτι δεῖ ἀπὸ τῆς λογικῆς ἄρχεσθαι τὰ ἤθη
25 πρότερον κοσμήσαντας.

Καὶ ἐπειδὴ | συνεχῶς περὶ τῆς ἀρχῆς ἐζητοῦμεν, ἡ δὲ ἀρχὴ πάντως 227r τέλους ἐστὶν ἀρχή, φέρε περὶ τοῦ τέλους ζητήσωμεν, ἐπειδὴ καὶ τέταρτον κεφάλαιον ἦν τῶν προτεθέντων ζητῆσαι τί τὸ τέλος, καὶ ὅτι γινώσκοντες τί τὸ τέλος προθυμότεροι γινόμεθα. οἱ δὲ μὴ γινώσκοντες τὸ τέλος τυφλοῖς
30 ἐοίκασι βαδίζουσι καὶ φερομένοις οἷ μὴ δεῖ. τέλος τοίνυν τῆς Ἀριστοτελικῆς φιλοσοφίας τὸ γνῶναι ὅτι πάντων μία ἐστὶν ἀρχή· ἀποδεκτέον γὰρ μᾶλλον ἐπὶ θεοῦ τὸ εἰρημένον ἤπερ ἐπὶ βασιλέως, ὡς παρὰ τῷ ποιητῇ

οὐκ ἀγαθὸν πολυκοιρανίη.

---

2. 3 διαπραξόμεθα H 3 διαλεκτική] corrigas λογική ἐπέγραφεν HP 4 ὁ om. H ἀγεωμέτριτος HP 5 οὗτος] οὕτως P αὐτῆς om. K ἐν τῷ Σοφιστῇ] potius Parm. p. 135 D 6 καλ.] λεγομένης H πολλῆς P 7 ἀποστάσαν HP 9 γάμα K 13. 14 προκοσμίσαντας H 17 ἀπολέγεται KP (cf. v. 1) 18 pr. καὶ om. H 20 ʽΕρμ. μῶλυ] cf. Hom. κ 305 21 ἥτινι] τινι P ὠπλισμένοι H: ὠπλισάμενοι (sic) P an θελγόμεθα? 22 ὀδισεὺς P ἑτέρων P 23 ὠπλισμένος H: ὠπλισάμενος P ὗς Βοιωτία] cf. Pind. Ol. VI 90 26 ζητοῦμεν K παντὸς K 27 ἐστὶν om. K 27. 28 τέτ. κεφ. correxi: τέσσαρα κεφάλαια libri 30 τοίνυν om. b 31 φιλ.] σοφίας P ὅτι supra scr. K τε γὰρ b 32 τῷ ποιητῇ] Hom. B 204

ὅτι δὲ μία πάντων ἀρχὴ δείκνυσιν ὁ Ἀριστοτέλης ἐν τῇ Μετὰ τὰ φυσικὰ
θεολογῶν οὕτως· ἡ ἀρχὴ ἢ μία ἢ πολλαί· καὶ εἰ μὲν μία, ἔχομεν τὸ ζη-
τούμενον, εἰ δὲ πολλαί, ἢ τεταγμέναι ἢ ἄτακτοι. ἀλλ' εἰ μὲν ἄτακτοι,
ἀτακτότερα τὰ ἐξ αὐτῶν καὶ οὐκέτι κόσμος ὁ κόσμος ἀλλ' ἀκοσμία, καὶ
5 ἔσται τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν μὴ ὄντος. εἰ δὲ τεταγμέναι, ἢ ὑφ'
ἑαυτῶν ἐτάχθησαν ἢ ἔξωθεν ὑπό τινος αἰτίας· ἀλλ' εἰ μὲν ὑφ' ἑαυτῶν,
ἔχουσί τι κοινὸν τὸ συνάπτον αὐτὰς κἀκεῖνο ἡ ἀρχή, εἰ δὲ ὑπ' ἔξωθέν
τινος αἰτίας, πάλιν ἢ μιᾶς ἢ πλειόνων. καὶ εἰ μὲν μιᾶς, ἐντεῦθεν μία
ἐστὶν ἡ ἀρχή, εἰ δὲ πλειόνων, ἢ τεταγμένων ἢ ἀτάκτων. οὐ παύσομαι
10 τὰ αὐτὰ πολλάκις ἀνακυκλῶν καὶ ἐπ' ἀπείρῳ, τοῦ ἀπείρου δὲ μὴ ὄντος,
μία ἄρα τοῦ παντὸς ἡ ἀρχή. ἢ καὶ ἄλλως· ὅτι ἡ ἀρχὴ ἢ μία ἢ
πολλαί. καὶ εἰ μὲν πολλαί, ἢ τὰ αὐτὰ παράγουσιν ἢ ἕτερα. καὶ εἰ μὲν τὰ
αὐτά, περίεργος ἡ μία τῆς ἄλλης πάντα παραγούσης καὶ περιττὴ ἡ μία, εἰ
δὲ ἕτερα, ἀτελὴς ἑκατέρα· λείπει γὰρ τῇδε τὰ παραγόμενα ὑπὸ τῆσδε.
15 οὐδὲν δὲ τὸ θεῖον ἀτελὲς οὐδέποτε· μία ἄρα τοῦ παντὸς ἀρχή. καὶ ταύτην
βούλεται ποιητικὴν εἶναι οὐρανίων καὶ τῶν ὑπὸ τὴν σελήνην· εἰ γὰρ καὶ
ἅμα θεὸς ἅμα κόσμος, ἀλλ' οὖν κατ' αἰτίαν προϋπάρχει ὁ θεὸς τοῦ κόσμου,
καὶ οὐκ ἐκ τοῦ αὐτομάτου ὁ κόσμος ἀλλὰ τὸν θεὸν ἔχει αἴτιον, ὥσπερ καὶ
ὁ ἥλιος τοῦ οἰκείου φωτὸς προϋπάρχει κατ' αἰτίαν. εἰ δέ τις ἐρεῖ ὅτι
20 πολλαὶ ἀρχαὶ κατὰ Ἀριστοτέλην (ὅσα γὰρ τὰ κύκλῳ κινούμενα, τοσαῦτα
καὶ ἀκίνητα· λέγει γὰρ ταῖς ἑπτὰ σφαίραις ἑπτὰ νοῦς ἐφεστάναι καὶ κινεῖν,
αὐτοὺς δὲ ἀκινήτους εἶναι), ἀλλὰ καὶ οὕτως μία ἀρχή· ἐξηρτημένοι γάρ εἰσι
πάντες οἱ ὑποβεβηκότες νόες τοῦ ἑνὸς τοῦ κινοῦντος τὴν ἀπλανῆ. εἰ δὲ
ἐρεῖς 'καὶ διὰ τί τὸν νοῦν λέγει τὴν πρωτίστην ἀρχὴν καὶ μὴ τὸ ἀγαθόν,
25 ὡς ὁ Πλάτων;', ἐπίστασο ὅτι καὶ μετὰ τὰ φυσιολογικὰ θεολογῶν εὐθὺς ἐν τῇ
Μετὰ τὰ φυσικὰ πραγματείᾳ εὐλόγως τὸν νοῦν φυσικωτέραν ἀρχὴν εἶπεν,
ἐπεὶ οἶδε καὶ αὐτὸς τὸ ἀγαθὸν τὴν μίαν τοῦ ὄντος ἀρχήν, ὡς δηλοῖ τὸ
προοίμιον τῆς Ἠθικῆς αὐτοῦ πραγματείας ἔχον οὕτως 'πᾶσα τέχνη καὶ
πᾶσα μέθοδος ἔτι δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ | τινος ἐφίεσθαι 227v
30 δοκεῖ.' διὸ καὶ καλῶς ἀπεφήναντο τὸ ἀγαθόν, οὗ πάντα ἐφίεται. ἰστέον
δὲ ὅτι ἀεὶ θεολογῶν ὁ Ἀριστοτέλης φυσιολογεῖ (εἰ γὰρ καὶ περὶ κινούμενα

---

1 ὅτι δὲ — σελήνην (16) om. b ἐν τῇ Μετὰ τὰ φυσικά] cf. Λ 10 p. 1075a 11 sq.; ex Elia fluxit Schol. in Prov. Salomonis (Arist. frg. 17 Rose) 2. 3 καὶ ἡ (sic) μὲν μία — ἡ (sic) δὲ πολλαὶ in mrg. suppl. P 4 ὁ κόσμος om. K 5 παρὰ] superscr. κατὰ P ἐκ τοῦ K τοῦ κατὰ φύσιν om. P ὄντα H ἢ ὑφ'] καὶ ὑφ' P 6 post ἔξωθεν add. καὶ οὐκέτι κόσμος ὁ κόσμος ἀλλ' ἀκοσμία καὶ ἔσται τὸ παρὰ φύσιν τοῦ . . . ἔξωθεν K 8 πάλιν om. KP καὶ εἰ — πλειόνων (9) om. K ἡ μὲν . . . ἡ δὲ P 10 ἐπαπαπείρῳ P 11 ἄλως H ἡ (post ὅτι) om. P 13 καὶ περιττὴ ἡ μία fort. eicias εἰ] ἡ H 14 ἀτελεῖς H[1] 15 ἡ ἀρχή K 16 οὐρανίων scripsi: οὐρανῶν libri τὴν om. K 17 ὁ om. KP 18 ὥσπερ — μία ἀρχή (22) om. b 21 λέγει] cf. Metaph. Λ 8 p. 1073a 14 sq. 22 καὶ ἐξηρτ. εἰσὶ b 24 αὐτὸ τὸ ἀγ. b 25 φυσιολογ.] φυσικὰ K 26 πράγματα K φυσικοτέραν H 27. 28 τὸ πρ. τῆς Ἠθικῆς] Eth. Nic. A 1 p. 1094a 1 28 ἔχων P 30 ἀπεφήνατο b 31 δὲ om. P ὁ om. HP

ἡ φυσιολογία περὶ δὲ ἀκίνητα ἡ θεολογία, ἀλλ' οὖν τὰ ἀκίνητα, φημί, τῶν διὰ κινήσεώς εἰσιν αἴτια), ὥσπερ ἀνάπαλιν ὁ Πλάτων ἀεὶ φυσιολογῶν θεολογεῖ, πανταχοῦ παρεγκυκλῶν τὸ δόγμα τῶν ἰδεῶν. ἐν οἷς καὶ τὸ τέταρτον κεφάλαιον.

5 Πέμπτον δὲ κεφάλαιον ἦν, ἐν ᾧ ἐζητοῦμεν τίνες αἱ μεταξὺ ὁδοί. δεῖ δὲ εἰδέναι ὅτι πέντε εἰσὶ βαθμοὶ τῆς φιλοσοφίας, λογικὴ ἠθικὴ φυσικὴ μαθηματικὴ θεολογία. ἄκρα μὲν ἐν τούτοις δύο, λογικὴ καὶ θεολογία, μέσα δὲ τὰ λοιπά. καὶ τούτων τὰ μὲν περιρραντηρίοις καὶ θειώσεσιν ἔοικε, τὰ δὲ προτελείοις καὶ αὐταῖς ταῖς μυήσεσι· περιρραντηρίοις μὲν γὰρ καὶ θειώ-10 σεσιν ἔοικεν ἡ ἠθικὴ ἀποκαθαίρουσα τὴν ψυχὴν τῶν μοχθηρῶν δογμάτων, ἵνα τεταγμένη οὖσα καθαρὰ ᾖ καὶ καθαρᾷ προσομιλήσῃ τῇ φιλοσοφίᾳ (ἡ γὰρ τάξις πρὸς τῷ ἑνί, ἡ δὲ ἀταξία πρὸς τῷ πλήθει), προτελείοις δὲ ἔοικεν ἡ φυσική· εἰ γὰρ καὶ ἀκίνητα ζητοῦμεν ἐν τῇ θεολογίᾳ κινούμενα δὲ ἐν τῇ φυσιολογίᾳ, ἀλλ' οὖν κινήσεως αἴτια τὰ θεῖα καὶ ἐκ τῶν κινουμένων εἰς 15 ἔννοιαν ἐρχόμεθα τῶν νοητῶν· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. αὐτοῖς δὲ τοῖς τελείοις ἔοικεν ἡ μαθηματικὴ ὥσπερ κλῖμάξ τις καὶ γέφυρα διαβιβάζουσα ἡμᾶς ἀπὸ τῶν πάντη ἐνύλων ἐπὶ τὰ πάντη ἄυλα. τοῦτο δὲ πάντως ὅλον τέμενος ἡ Ἀριστοτέλους φιλοσοφία, ἡ δὲ λογικὴ τριγχοῦ δίκην φρουρεῖ τὰ ἐν αὐτῇ θεωρήματα.

20 Ἐν τῇ παρούσῃ πράξει ζητήσωμεν τὸ ἕκτον καὶ ἕβδομον κεφάλαιον· ἥκομεν γὰρ ὑμᾶς τε καὶ ἡμᾶς ἐξετάσοντες. ζητείσθω δὲ ἐν τῷ ἕκτῳ κεφαλαίῳ ὁποῖον δεῖ εἶναι τὸν ἀκροατὴν τῷ τε βίῳ καὶ τῇ γνώσει, ἐν δὲ τῷ ἑβδόμῳ ὁποῖον δεῖ καὶ τὸν ἐξηγητήν. ἔστω τοίνυν ὁ μὲν ἀκροατὴς κατὰ ζωὴν τεταγμένος καὶ μικρὸς κόσμος, ἵνα διὰ μὲν τῆς ἐν αὐτῷ τάξεως 25 τὴν μίαν τοῦ παντὸς ἀρχὴν γνῷ (ἡ γὰρ τάξις πρὸς τῷ ἑνὶ ἡ δὲ ἀταξία πρὸς τῷ πλήθει), διὰ δὲ τοῦ ἐν αὐτῷ μικροῦ κόσμου τὸν ὅλον κόσμον ἐπιγνῷ. ἔσται δὲ μικρὸς κόσμος, εἰ ὥσπερ ἐν τῷ κόσμῳ τὰ κρείττονα τῶν χειρόνων ἄρχει· αἰσχρὸν γὰρ ἀνδρί τινι ἢ μορίῳ κρατεῖσθαι ὑπὸ τοῦ χείρονος, ὥς φησιν ὁ Πλάτων, διὸ κρατείτω μὲν ὁ λόγος τοῦ θυμοῦ ὁ 30 θυμὸς δὲ τῆς ἐπιθυμίας· κοσμεῖ γὰρ τὸν μὲν λόγον φρόνησις τὸν ⟨δὲ⟩ θυμὸν ἀνδρεία τὴν δὲ ἐπιθυμίαν ἡ σωφροσύνη· τούτου γε εὖ ἔχοντος καὶ ἰδιοπραγοῦντος ἐπιφαίνεται ἡ δικαιοσύνη, οὐκ ἐν τῷδε τῷ μορίῳ οὖσα τῆς ψυχῆς ἢ τῷδε ἀλλ' οἷον ἁρμονία τις οὖσα τούτων καὶ τὸ ἐπιγινόμενον εἶδος. τοιοῦτος μὲν ἔστω κατὰ ζωήν. κατὰ δὲ γνῶσιν ἔστω ἀκριβὴς μὴ ἐπανα-

1 περὶ δὲ] καὶ b 3 ἐν οἷς — κεφάλαιον (4) om. b 5 δὲ om. Hb καὶ τίνες b 8. 9 περιραντ. H 9 προτελείαις b γὰρ om. KP 10 ἀποκαθέρουσα P 11. 12 ἡ γὰρ τάξις — πλήθει eicias (cf. v. 25) 12 τελείοις K: προτελείᾳ b 15 νοητῶν ex νοημάτων corr. P 19 τριγχοῦ] τοίχου b (cf. Plat. Reip. VII, 14 p. 534 E) τὰ — θεωρήματα om. b 21 ἥκομεν — ἐξηγητήν (23) om. b ἐξετάσωντες H[1] 23 ἐστὶ τοίνυν P μὲν om. KP 24 τὴν ζωὴν b 25 ἡ γὰρ — φιλόσοφος (p. 122,32) om. b 26 δὲ supra scr. H 28 μωρίω HP 29 φησιν πλάτων H (spectat Reipubl. IV, 16 p. 441 C sq.) 30 pr. δὲ om. KP τῆς om. H alt. δὲ inserui 31 δὲ om. HP σοφροσ. P 32 τόδε P 34 τοιοῦτος scripsi: τοιοῦτον libri

παυόμενος | τῇ ἀξιοπιστίᾳ τῶν προσώπων· ὁ γὰρ τοιοῦτος μὴ πιστεύων 228ʳ
ὡς ἔτυχε τοῖς παλαιοῖς ἄλλῳ τρόπῳ πιστεύει· πιστεύει γὰρ Σωκράτει λέγοντι 'καὶ Σωκράτους μὲν ὀλίγον φροντιστέον τῆς ἀληθείας δὲ πολύ' καὶ Ἀριστοτέλει λέγοντι ἐν τῇ Ἠθικῇ 'φίλος μὲν ὁ ἀνήρ, φίλη δὲ καὶ ἡ ἀλή-
5 θεια· ἀμφοῖν δὲ φίλοιν ὄντοιν αἱρετέον μᾶλλον τὸ ἀληθές'. καὶ δι' ἄλλην δὲ αἰτίαν ἔστω ἀκριβής, ἐπειδὴ ἐκ τοῦ αὐτοῦ πάθους γίνεται μισολογία καὶ μισανθρωπία, ὥς φησιν ὁ Πλάτων ἐν τῷ Φαίδωνι, ἐκ τοῦ ῥᾳδίως πιστεύειν ἢ ἤθεσιν ἢ λόγοις· καὶ οἱ εἰσοικισάμενοι γάρ τινας ὡς χρηστὰ ἤθη ἔχοντας ἐπ' αὐτοφώρῳ καταλαβόντες ὅτι φαῦλοί εἰσι τοῦ λοιποῦ μισάνθρωποι γε-
10 γόνασι, καὶ οἱ πιστεύσαντες λόγοις τισὶν ὡς ἀρραγέσι τελευταῖον δὲ ὁρῶντες αὐτοὺς ὑπὸ τῶν διαλεκτικῶν ταραττομένους τοῦ λοιποῦ μισόλογοι ἐγένοντο. ἵνα οὖν μήτε μισόλογοι γενώμεθα μήτε μισάνθρωποι, δέον ἡμᾶς τοὺς ἀκροατὰς ἀκριβεῖς εἶναι καὶ μὴ ἀνέχεσθαι τῶν ἀποτάδην λόγων, ἀλλ' ἐκδιδόναι ἑαυτοὺς τοῖς κατὰ πεῦσιν καὶ ἀπόκρισιν λόγοις διὰ Σωκράτην λέγοντα πάλιν
15 ὅτι 'εἰ μὴ σὺ σεαυτοῦ λέγοντος ἀκούσῃς, ἄλλῳ λέγοντι μὴ πιστεύσῃς', τοῦτ' ἔστιν εἰ μὴ σὺ ὁ δεδωκὼς τὰς προτάσεις καὶ ἐξ ἀνάγκης τὸ συμπέρασμα δεδωκώς, ἄλλῳ μὴ πιστεύσῃς· ὅ γε τὸ σπέρμα δεδωκὼς τοῦ φῦναι τὸ κακὸν αἴτιός ἐστι. ἔστι δὲ εἰπεῖν πρὸς τοὺς ἔξωθεν ἐπιχειροῦντας λέγειν τὸ συμπέρασμα ἄλλου δεδωκότος τὰς προτάσεις 'πῶς ἂν σύ μοι λέξειας ἅ
20 με χρὴ λέγειν;', καὶ πρὸς τὸν δεδωκότα τὰς προτάσεις ἀγανακτοῦντα δὲ ἐπὶ τῷ συμπεράσματι ὅτι 'σοῦ ταῦτα, οὐκ ἐμοῦ κλύεις'. δεῖ αὐτὸν μὴ εἶναι δύσεριν καὶ φιλόνεικον· 'ὁ γὰρ τοῖς ἐναργέσι μαχόμενος', φησὶν ὁ Ἀριστοτέλης, 'αἰσθήσεως ἢ κολάσεως δεῖται· εἰ γὰρ εἰδὼς ἀντέλεγε τῇ ἀληθείᾳ, κολάσεως, εἰ δὲ ἀγνοῶν, αἰσθήσεως'. τοιοῦτος μὲν ὁ ἀκροατής.

25 Ὁ δὲ ἐξηγητὴς ἔστω ἅμα ἐξηγητὴς καὶ ἐπιστήμων. ἔστι δὲ ἐξηγητοῦ μὲν ἔργον ἡ ἀνάπτυξις τῶν ἀσαφῶν ἐν τῇ λέξει, ἐπιστήμονος δὲ ἡ κρίσις τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους, ἤτοι ἀνεμίων καὶ γονίμων. δεῖ αὐτὸν μὴ συμμεταβάλλεσθαι οἷς ἂν ἐξηγῆται δίκην τῶν ἐν σκηνῇ ὄντων καὶ διάφορα πρόσωπα ὑποδυομένων διὰ τὸ μιμεῖσθαι διάφορα ἤθη, καὶ Ἀριστοτελικὸν
30 μὲν γίνεσθαι τὰ τοῦ Ἀριστοτέλους ἐξηγούμενον καὶ λέγειν ὅτι οὐκ ἐγένετο φιλόσοφος τοιοῦτος, Πλατωνικὰ δὲ ἐξηγούμενον Πλατωνικὸν γίνεσθαι καὶ λέγειν ὅτι οὐκ ἐγένετο κατὰ Πλάτωνα φιλόσοφος. δεῖ αὐτὸν μὴ ἐκ παντὸς τρόπου βιάζεσθαι καὶ λέγειν ὅτι πάντως ἀληθεύει ὁ ἀρχαῖος ὃν ἐξηγεῖται, ἀλλὰ πανταχοῦ ἐπιλέγειν 'φίλος ὁ ἀνήρ, φίλη δὲ καὶ ἡ ἀλήθεια, ἀμφοῖν

---

2. 3 Σωκράτει λέγοντι] Phaedo. p. 91 C (De vita Arist. p. 432,11 Rose) 3 σωκρακράτους P ὀλίγα K 4 ἐν τῇ Ἠθικῇ] Eth. Nic. A 4 p. 1096ᵃ16 7 ἐν τῷ Φαίδωνι] p. 89 C 8 γάρ scripsi: δέ libri 9 αὐτωφώρῳ H 11 ταραττ. scripsi: πρατт. libri 12 an ὑμᾶς? 13 ἀνέχ.] δέχεσθαι KP τὸν ἀποτ. λόγον K ἀποστάδην H 14 διὰ Σωκρ. λέγοντα] Alc. I p. 114 E 15 ἀκούσεις K ἄλλως P 16 καὶ] ἢ KP 17 ὅ γε] ἥ γε P; an ὁ γὰρ 18 δὲ] an γὰρ? 21 κλύει K: κλύειν P δεῖ] δι' P 22 φιλόνικον P φησὶν ὁ Ἀρ.] Top. A 11 p. 105ᵃ4 sq. ὁ om. HP 23 εἰδὸς H 24 ἀγγνοῶν H 28 συμμεταλαμβάνεσθαι P 30 τοῦ om. HP 33 αὐτὸν] τὸν ἐξηγητὴν b 34 φίλος . . .] cf. v. 4 φίλη — προκειμένοιν (123,1) om. b

δὲ φίλοιν προκειμένοιν φιλαιτέρα ἡ ἀλήθεια'. δεῖ αὐτὸν μὴ συμπάσχειν |
αἱρέσει τινί, ὃ πέπονθεν Ἰάμβλιχος· οὗτος γὰρ προσπάσχων τῷ Πλάτωνι 228v
συνδίδωσι τῷ Ἀριστοτέλει ὅτι οὐκ ἀντιλέγει τῷ Πλάτωνι διὰ τὰς ἰδέας.
δεῖ αὐτὸν μὴ ἀντιπάσχειν αἱρέσει, ὥσπερ Ἀλέξανδρος· οὗτος γὰρ ἀντι-
5 πάσχων τῇ ἀθανασίᾳ τῆς ψυχῆς τῆς λογικῆς τὰς εἰρημένας ῥήσεις ἐν τῷ
τρίτῳ λόγῳ τῆς Περὶ ἀθανασίας τῆς ψυχῆς καὶ ἀποδεικνυούσας ὅτι ἔστιν
ἀθάνατος ἡ ψυχὴ πειρᾶται πᾶσαν στροφὴν περιστρέφειν. δεῖ αὐτὸν πάντα
εἰδέναι τὰ Ἀριστοτέλους, ἵνα σύμφωνον δείξας τὸν Ἀριστοτέλην ἑαυτῷ τὰ
Ἀριστοτέλους διὰ τῶν Ἀριστοτέλους ἐξηγήσηται. δεῖ αὐτὸν πάντα εἰδέναι
10 τὰ Πλάτωνος, ἵνα σύμφωνον ἑαυτῷ τὸν Πλάτωνα ἀποδείξῃ τὰ Ἀριστοτέλους
τῶν Πλάτωνος εἰσαγωγὴν ποιούμενος. ἐν οἷς ἡ πρᾶξις.

Ὄγδοον κεφάλαιον τῶν προτεθέντων τὸ ζητῆσαι τί τὸ εἶδος τῆς Ἀρι-
στοτέλους ἀπαγγελίας. οὐχ ἓν τοίνυν τοῦτο, ἀλλὰ διάφορον, εἰ μηδ' ἂν
εἴποι τις ἄλλῳ τρόπῳ ἓν τῷ πανταχοῦ πρόσφορον εἶναι αὐτὸ τοῖς ὑπο-
15 κειμένοις πράγμασιν· ὡς γὰρ πρόσφορον δοκεῖ ἓν εἶναι· παντοίων γὰρ
πραγμάτων ἁψάμενος ὁ Ἀριστοτέλης παναρμόνιον εἶδος λόγων ἐπετήδευσε,
συμμεταμορφῶν ἀεὶ τοὺς λόγους τοῖς πράγμασι. διὸ ἐν μὲν τοῖς μερικοῖς,
φημὶ δὲ ταῖς ἐπιστολαῖς, ἐστὶ σύντομος, κοινὸς ἅμα καὶ ἴδιος, κοινὸς μέν,
ἐπειδὴ οὐδὲν διαφέρει ἐπιστολιμαῖος χαρακτὴρ τῆς κοινῆς διαλέκτου ἢ τῷ
20 ἔγγραφον εἶναι καὶ πρὸς ἀπόντας, ἴδιος δέ, ἵνα μὴ εἰς ἰδιωτισμὸν ἐμπέ-
σωμεν. διὸ καὶ ὁ Ἑρμογένης ἐν τῇ Ῥητορικῇ τέχνῃ φησὶ 'τὰ κοινὰ καινῶς
καὶ τὰ καινὰ κοινῶς'· τὰ γὰρ κοινότερα ἐνθυμήματα δεῖ ξενοπρεπέσι λέξεσι
φράζειν, ἵνα μὴ καταφρονῶνται διὰ τὸ χαμαίζηλον τῆς λέξεως, τὰ δὲ καινὰ
πάλιν καὶ ξενοπρεπέστερα τῶν ἐνθυμημάτων δεῖ κοινοτέραις λέξεσι φράζειν,
25 ἵνα βαθέα ὄντα νοῆται. ἀλλὰ καὶ δριμύς ἐστιν· ὅτι γὰρ δριμύς, δηλοῖ
αὐτοῦ μία ἐπιστολή· μετὰ γὰρ θάνατον Σωκράτους ὑπεξελθὼν Ἀθηνῶν καὶ
διατρίβων ἐν Χαλκίδι ἀνεκαλεῖτο ὑπὸ Ἀθηναίων ἐπανελθεῖν, καὶ μὴ πεισθεὶς
ἀντέγραψεν οὕτως 'οὐ μὴ ἐάσω Ἀθηναίους δὶς ἁμαρτεῖν εἰς φιλοσοφίαν, παρ' οἷς

ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ'.

30 διὰ δὲ τοῦ 'σῦκον δ' ἐπὶ σύκῳ' ᾐνίξατο τοὺς συκοφάντας πολλοὺς ὄντας
Ἀθήνησι καὶ ἀεὶ δεχομένους αὐτοὺς καὶ μηδέποτε λήγοντας.

---

1 φιλαιτέρα] φιλέτερος HP: φιλτέρα δὲ b   Ἰάμβλ.] cf. Zelleri Ph. Gr. V³ p. 685
6 τῆς περὶ]: τῷ περὶ b (cf. 114,33 sq.)   ἔστιν] εἰ H: om. P   7 πᾶσαν στροφὴν
περιστρ. b: πᾶσαν τροφὴν περιτρέφειν HP: πάσῃ σπουδῇ περιτρέπειν K   δεῖ αὐτὸν — ἓν
εἶναι (15) om. b   11 πλάτωνα P   12 alt. τὸ om. K   13 τοῦτο τοίνυν coll. P
14 εἴπῃ P   αὐτὸ scripsi: αὐτῷ libri   15 post πράγμασιν add. ὡς γὰρ πρόσφορον εἶναι
αὐτῷ τοῖς ὑποκειμένοις πράγμασιν del. H   ἓν om. K   γὰρ om. b   16 ὁ om. K
19 τῷ scripsi: τὸ libri   20 καὶ om. K   ἀπόντας ex Olympiodoro correxi: ἅπαντας
libri   ἰδιωτισμοὺς b   21 ὁ Ἑρμογένης] haec adnominatio in Hermog. arte rhet. non
invenitur, sed caput Πῶς τὰ κοινὰ διανοήματα ἰδιώσομεν (II p. 449 Sp.); similiter dicitur Rhet.
Gr. I p. 328 Sp. τὰ μὲν καινὰ παλαιῶς, τὰ δὲ παλαιὰ καινῶς, cf. Plat. Phaedr. p. 267 B Isocr.
Paneg. p. 42 C   τέχνῃ om. P   κοινὰ] καινὰ P   22 τὰ γὰρ — νοῆται (25) om. b   23 χα-
μέζηλον P   25 βαθεῖα P   ὅτι γὰρ δρισμύς . .] cf. Arist. frg. 667 (p. 419 Rose)   post. alt.
δριμύς add. ἐστι b   26 Σωκρ.] corrigas Ἀλεξάνδρου   27 ἐκαλεῖτο K   28 ἐάσω
vit. Arist. p. 440,12 (Rose): πείσω HKPb   δισαματεῖν HP   29 ὄγχη . .] Hom. η 120. 121

Ἐν δὲ τοῖς μεταξύ, φημὶ δὲ ταῖς διτταῖς ἱστορίαις, ἀκριβὴς καὶ διηρθρωμένος, ὅπερ μάλιστα ἁρμόζει τῇ ἱστορίᾳ· οὐ γὰρ ἔστιν ὡς ἐπὶ τῶν ἄλλων ἔξωθεν ἐπιχειρῆσαι, οὕτω καὶ ἐπὶ τῆς ἱστορίας. ἐν δὲ τοῖς καθόλου ἐν μὲν τοῖς διαλογικοῖς, τοῖς καὶ ἐξωτερικοῖς, σαφὴς ὡς πρὸς τοὺς ἔξω φιλοσοφίας διαλεγό-
5 μενος, ὡς δὲ ἐν διαλεκτικοῖς ποικίλος ταῖς μιμήσεσιν, Ἀφροδίτης [ὄνομα] γέμων καὶ χαρίτων ἀνάμεστος. ἐν δὲ τοῖς καθόλου τοῖς αὐτοπροσώποις, | τοῖς καὶ ἀκροαματικοῖς, κατὰ μὲν τὴν λέξιν ἀσαφής· γίνεται δὲ ἡ ἀσάφεια διὰ 229r τοῦ ὀνοματοποιεῖν, ὡς ὅταν λέγῃ κατηγορίας οὐ τὰς ἐπὶ ἐγκλήμασι δίκας, ὡς ἔθος, ἀλλὰ τὰ γενικώτατα, ὡς ἔθος ἔχει ἀεὶ κατηγορεῖσθαι καὶ μηδέποτε ὑπο-
10 κεῖσθαι, καὶ κεφαλωτὸν καὶ πηδαλιωτὸν καὶ πτερωτόν, ὡς ἡνίκα λέγει * *, ἢ πάλιν τόπον, ὡς ἡνίκα λέγει οὐ τὸ πέρας τοῦ περιέχοντος καθ' ὃ περιέχεται τὸ περιεχόμενον, ὡς ὡρίσατο ἐν τοῖς Φυσικοῖς, ἀλλὰ τὸ ἐπιχείρημα τὸ πολλῶν ἐπιχειρημάτων περιεκτικόν, καὶ ἑρμηνείαν, ὡς ἡνίκα λέγει τὴν ἀκαλλώπιστον λέξιν ἐν τῷ Περὶ ἑρμηνείας. ἀλλὰ καὶ ἄλλως ἀσαφής ἐστιν· ἀπο-
15 ρῶν γὰρ οὐκ εὐθὺς τὴν λύσιν τίθησι παράλληλον, ἀλλ' ἐπισυνάπτει δευτέραν καὶ τρίτην ἀπορίαν καὶ οὕτω διὰ τῆς λύσεως τῆς τρίτης ἀπορίας λύει τὴν πρώτην ἀπορίαν. ἐν δὲ τῇ διανοίᾳ οὐκ ἐξίσταται τοῦ φαινομένου· διὸ δυσωπεῖ ἀεὶ καὶ καταναγκάζει τοὺς ἀκροατὰς ἐκ τῆς ἐναργείας τῶν φαινομένων. καὶ τὰ δειχθέντα αὐτῷ διὰ τοῦ λόγου ἐπισφραγίζει διὰ τῆς τῶν
20 παλαιῶν μαρτυρίας, ὅτι οὕτω δοκεῖ καὶ Ἡρακλείτῳ καὶ Ἐμπεδοκλεῖ. καὶ τὰ ὑπὲρ φύσιν ζητῶν πιστοῦται αὐτὰ ἐκ τῶν κατὰ φύσιν· διὸ ἀεὶ ὁ Ἀριστοτέλης θεολογῶν φυσιολογεῖ, ὥσπερ ἀνάπαλιν ὁ Πλάτων ἀεὶ φυσιολογῶν θεολογεῖ, παντελῶς παρεγκυκλῶν τὸ δόγμα τῶν ἰδεῶν. ἐν οἷς καὶ ἡ παροῦσα θεωρία.

25 Ἔνατον κεφάλαιον ἦν τῶν προτεθέντων τὸ ζητῆσαι διὰ τί τὴν ἀσάφειαν ἐπετήδευσεν ὁ Ἀριστοτέλης· οὐ γὰρ φύσει ἦν ἀσαφὴς καί τι δι' ἀσθένειαν ἀπαγγελτικὴν τοῦτο ἐποίει (πολλαχοῦ γὰρ σαφῶς ἀπαγγέλλει, οἷον ἐν τοῖς μερικοῖς πᾶσι καὶ ἐν τοῖς μεταξύ, καὶ τῶν καθόλου ἐν τοῖς διαλογικοῖς πᾶσι καὶ τῶν αὐτοπροσώπων ἔν τισιν, οἷον ἐν τοῖς Μετεώροις
30 καὶ τοῖς Τόποις καὶ τοῖς Σοφιστικοῖς ἐλέγχοις), ἀλλὰ φύσει ὢν σαφὴς ἐπετήδευσε τὴν ἀσάφειαν. ἐπιτηδεύει δὲ αὐτὴν διὰ τρεῖς αἰτίας· ἢ γὰρ κρύψεως χάριν ἢ δοκιμασίας ἢ γυμνασίας· ὅπερ γὰρ τοῖς ποιηταῖς

1 τοῖς scripsi: ταῖς libri (cf. p. 123,17) διτταῖς] cf. p. 113,31 ἀκριβὴς om. P 3 καὶ om. HPb (cf. v. 16) 5. 6 ἀφρ. ὄνομα γέμων HKP: Ἀφρ. ὄνομα τέμνων b: ὄνομα, quod primitus supra ἀφροδ. additum fuisse videtur, inclusi: Ἀφρ. ἐννόμου γέμων coni. Bernays (Dial. d. Arist. p. 137): Ἀφροδίτας ἄλοχα τέμνων scrips. Bergk (PL⁴ III p. 718): Ἀφροδίτης θ' ἅμα γέμων coni. Kaibel (Stil der Πολ. Ἀθ. des Arist. p. 116 not.) 7 γίνεται — ἀπορίαν (17) eicias (cf. v. 25) 8 λέγει H κατηγορίαν K ἐπ' ἐγκλήματι b 9 ἔχοντα b 9. 10 ὑποκείσθω K 10. 11 λέγῃ (utrobique) b 10 post λέγει lacunam statuit Brand., excidisse videntur verba Aristotelica (Cat. p. 7a5) ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν κ. τ. λ. ἢ πάλιν — λέγει (11) om. K (supra lineam τόπον m.2 suppl.) 11 τόπους b οὐ τὸ] οὔτι K 12 ὡρίσατο ἐν τοῖς Φυσικοῖς] Δ 4 p. 212a5 sq. τὸ πολλ. b: τῶν πολλ. HKP 13 λέγῃ b 14 ἑρμηνίας H 18 ἐνεργείας HP 23 ἐν — ἐλ. (30) om. b 25 ἔννατον KP 26 φύσι H καί τι — ἐποίει (27) om. K (fort. recte) καί τι] καίτοι P 28. 29 διαλογ.] λογικοῖς KP 31 ἐπιτηδεύει] ἐπετήδευσε b

οἱ μῦθοι καὶ τοῖς ἱερεῦσι τὰ παραπετάσματα, τοῦτο τῷ Ἀριστοτέλει ἡ ἀσάφεια μονονουχὶ ἐπάγοντι τὸ Ὀρφικὸν ἐκεῖνο

ἀείδω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βεβήλοις,

καὶ τὸ ὅμοιον τούτῳ

5 κακοφραδέων δὲ βεβήλων
οὔατα λαχνήεντα περισκεπέτωσαν ἀράχναι,

καὶ τὸ Καλλιμάχειον ἐκεῖνο

τὸν κάλαθον κατιόντα χαμαὶ δέρκεσθε γυναῖκες,
μηδ' ἀπὸ τοῦ τέγεος μηδ' ὑψόθεν αὐγάσσησθε,

10 [καὶ Ἀριστοτέλης ἐγκαλούμενος ὑπὸ Ἀλεξάνδρου ἐπὶ τῇ ἐκδόσει τῶν αὐτοῦ συγγραμμάτων 'καὶ ἐκδέδοται' φησὶ 'καὶ οὐκ ἐκδέδοται', αἰνιττόμενος τὴν ἀσάφειαν, ὡς καί τις τῶν Πυθαγορείων ἐκδοὺς τὸ μονόβιβλον τὸ Περὶ τῶν ἀλόγων γραμμάτων ναυαγίῳ περιέπεσεν ὡς τὰ ἀπόρρητα ἐξορχησάμενος] καὶ ὅ φησιν ὁ Πλάτων διὰ τὴν ἀσάφειαν, 'ἵν' εἴ ἡ δέλτος τι πάθῃ ἢ ἐν 15 γῇ ἢ ἐν θαλάσσῃ, ὁ ἀναγνοὺς μὴ γνῷ', οὕτω μὲν | κρύψεως χάριν. ἢ δοκι- 229v μάσεως τῶν ἐπιτηδείων καὶ ἀνεπιτηδείων, ἵνα οἱ μὲν ἀνεπιτήδειοι πρὸς φιλοσοφίαν κατανωτίσωνται, (πρὸς οὓς ἔστιν εἰπεῖν

πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὣς ἐν ὁμίλῳ;),

οἱ δ' ἐπιτήδειοι πρὸς φιλοσοφίαν ἑτοιμότεροι γένωνται, μανθάνοντες ὡς 20 πλείονος ἐπιμελείας δέονται τὰ μαθήματα, πρὸς οὓς ἔστιν εἰπεῖν τὸ Πλατωνικὸν ἐν τῇ Ἐπινομίδι εἰρημένον οὕτως· 'εἴτε χαλεπὰ εἴτε ῥᾴδια, ταύτῃ ἰτέον, ταῦτα ⟨τὰ⟩ μαθήματα, αὕτη ἡ ὁδός· ἀμελεῖν δὲ οὐ δεῖ'. οὕτω γοῦν καὶ οἱ ἀετοὶ κρίνουσι τὴν γνησιότητα καὶ τὴν νοθείαν τῶν νεοττίων· ἱστῶντες γὰρ τὰ νεόττια ἀντικρὺ τοῦ ἡλίου, ὅσα μὲν ἀσκαρδαμυκτὶ δύνανται ἀντω- 25 πῆσαι πρὸς τὰς αὐγὰς τοῦ ἡλίου, ἐπανάγοντες εἰς τὴν καλιὰν ὡς γνήσια ἐκτρέφουσιν, ὅσα δὲ μὴ δυνηθῶσιν ἀντωπῆσαι πρὸς τὰς αὐγὰς τοῦ ἡλίου, ὡς νόθα ἀποβάλλονται· ὡς γὰρ δῖος καὶ βασιλικὸς ὁ ἀετὸς τὴν βασιλικωτέραν τῶν αἰσθήσεων ἠκριβωμένην ἔχει, φημὶ δὲ τὴν ὄψιν. ὅτι δὲ βασιλικὸς ὁ ἀετός, δηλοῖ τὸ μὴ θέλειν αὐτὸν θνησιμαῖον ἐσθίειν ποτέ. οὕτω 30 καὶ οἱ Κελτοὶ τῷ Ῥήνῳ ποταμῷ κρίνουσι τὰ γνήσια τέκνα καὶ τὴν νοθείαν τῶν βρεφῶν· ἐμβάλλοντες γὰρ εἰς ἀσπίδα τὰ βρέφη ἀφιᾶσιν ἐν τοῖς ὕδασι,

---

1 τῶ om. K 3 ἀείδω ξυνετοῖσι coni. Brand. ex Lobeckii Aglaoph. I p. 452 sq.: ἀεὶ δ' ἀξυνέτησι H: ἀεὶ δ' ἀξυνέτοισι KP; cf. Mullach I p. 166 βεβήλοις] βέβηλοι legendum docet Lobeck l. l. p. 451 4 τούτῳ b: τοῦτο HKP 5 κακοφραδέων . . .] hoc fragmentis Orphicis addendum 7 καλλιμάχιον codd. (hymn. Cer. 3. 4) 8 δέρκεσθε] θασεῖσθε Call. γυναῖκες] βέβαλοι Call. 9 τῶ Call. αὐγάσσησθε Call.: αὐγάσασθε HKPb 10 καὶ Ἀριστ.—ἐξορχησάμενος (13) inclusi ἐγγαλ. H αὐτοῦ libri 12 πειθαγορίων H 13 γραμμ.] πραγμάτων b 14 καὶ ὅ—ἀνεπιτηδείων (16) om. b ὁ Πλάτων] ep. II p. 312 D εἰ ἡ] ἦν H: ἢ P 17 κατανοτίσονται P¹: κατανωτίσονται P² 18 πῇ] ποῦ Kb (cf. Hom. Θ 94) 19 οἱ δ' ἐπιτήδειοι—δεῖ (22) om. b γένονται H 21 ἐπινομίδη HP (cf. Epin. p. 992 A) ταύτῃ Plat.: ταῦτα HKP 22 τὰ ex Plat. inserui ἡ om. HP 24 μὲν] μὴ b δύναται H 25 ἐπανάγοντες—ἡλίου (26) om. b καλλιὰν H 27 διὸς HPb 28 ἠκριβομένην P 30 οἱ om. P γνίσια H

καὶ ὅσα μὲν αὐτῶν περισωθῶσιν ἐκ τοῦ ὕδατος, γνήσια νομίζοντες ἐκτρέφουσιν, ὅσα δὲ κατακλυσθῶσιν ἐκ τοῦ ῥεύματος τοῦ ποταμοῦ, ὡς νόθα ἡγοῦνται ἀπόλλυσθαι. οἱ δὲ Πυθαγόρειοι καὶ τοὺς ἐπιτηδείους καὶ τοὺς ἀνεπιτηδείους πρὸς τὴν αὐτῶν φιλοσοφίαν δι' ὀνειράτων προεγίνωσκον· ἀν-
5 έκρινον γὰρ αὐτοὺς μετὰ τὸ πολλὰ εὔξασθαι ποῖα εἶδον ὀνείρατα, καὶ ὅσους μὲν ἐνόμισαν ἐπιτηδείους εἶναι, εἰσεδέχοντο ἐν τῇ σχολῇ ἤγουν ἐν τῷ ὁμακοΐῳ, τοὺς δὲ ἀνεπιτηδείους ἀπεβάλλοντο μετὰ πάσης τῆς περιουσίας, καὶ τοῦ λοιποῦ κενοτάφιον ποιήσαντες ὡς περὶ ἀποιχομένων ἤγουν τεθνεώτων διελέγοντο. ὅθεν καί τις τοῦτο παθὼν ἐξ αὐτῶν Χειλέων ὁ Λακε-
10 δαιμόνιος πῦρ ὑφῆψε τῇ σχολῇ καὶ πολλοὺς ἔφθειρεν. ὁ δὲ Πλάτων διὰ τῆς μέθης ἔκρινε τὴν γνησιότητα τῶν ἐπιτηδείων καὶ μή, ἄμεινον ποιῶν τοῦ Πυθαγόρου, διότι τοῖς ὀνείρασιν ἔστι πολλὰ προσθεῖναι καὶ ἀφελεῖν, μεθυσθέντες δὲ πάντα ἀτρεκῶς ἐξαγγέλλομεν, ἃ πρώην πολλοῖς ἐκρύπτομεν περιβολαίοις. οὕτω μὲν καὶ δοκιμασίας χάριν ἢ γυμνασίας· οὕτω γοῦν ὁ
15 Πλάτων τὴν χαλεπότητα τῶν δογμάτων ἐπετηδεύσε γυμνασίας χάριν. οὕτω καὶ ὁ Ἀπόλλων τὸ λοξὸν τῶν μαντευμάτων ἐπετήδευσε· πείρας γὰρ χάριν τῷ Κροίσῳ δέδωκεν ἀσαφῆ χρησμὸν

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει·

ἄδηλον γὰρ ἢ τὴν ἰδίαν ἢ τὴν τῶν ὑπεναντίων· διὸ ἀπατηθεὶς ἐπεστράτευσε
20 καὶ κατόπιν ἔπραξε. καὶ τοῖς Ἀθηναίοις χρησμὸς ἐδόθη

τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ | εὐρύοπα Ζεύς· 230r

ἐδήλου γὰρ ὡς διὰ τριήρων δεῖ αὐτοὺς ναυμαχῆσαι· τοῦτο ἐδήλου τὸ ξύλινον τεῖχος. τοῦτο δὲ ὑπέλαβε Θεμιστοκλῆς ὡς δεινότατος ξυνιέναι. καὶ τοῖς Σαλαμινίοις ἐδόθη χρησμὸς λέγων

25 ὦ θεία Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν·

ἄδηλον δὲ ποίων γυναικῶν, τῶν ἰδίων ἢ τῶν ὑπεναντίων. καὶ συνελόντι φάναι, ὃ τοῖς ποιηταῖς οἱ μῦθοι καὶ τοῖς ἱερεῦσι τὰ παραπετάσματα, τοῦτο τῷ Ἀριστοτέλει ἡ κατὰ λέξιν ἀσάφεια, κρύψεως χάριν. πάλιν ὃ τοῖς ἀετοῖς ὁ ἥλιος καὶ τοῖς Κελτοῖς ὁ Ῥῆνος, τοῖς Πυθαγορείοις τὰ ὀνείρατα, τῷ Πλά-

---

2 κατακλεισθῶσι H 4 ἀνεπιδήτους P αὐτῶν libri προεγινώσκων H 5 αὐτὰ b ὅσα b 6 ἐπιτήδεια b ἤγουν] ἤτοι b ἐν om. Hb 6 τῷ μακοίῳ P 8 ἤγουν] ἢ b 9 ἐξ] καὶ P ἐξ αὐτῶν in lac. V litt. om. K Χειλέων] scribas Κύλων (Diod. X 11 Iambl. v. Pyth. 248 Porph. v. Pyth. 54 Diog. L. II 46 VIII 49) vel Γύλων (Them. or. 23 p. 285 Olymp. in Plat. Phaed. p. 8) 9. 10 λακιδαιμ. HP 10 ἀφῆψε K: ὑφῆψαι P ὁ δὲ Πλάτων] huius narratiunculae ansam fort. praebuit Symp. p. 217 D οἶνος . . .ἀληθής. 11 τῶν om. P ἄμεινον — γυμνασίας χάριν (15) om. b 12 προσθῆναι P 13 ἐξαγγέλομεν H 15 τὴν χαλεπότητα K²: τῇ χαλεπότητι HK¹P 16 post ἐπετήδευσε add. γυμνάσιον P γὰρ om. K 17 χρησμὸν] cf. Diod. Exc. VII 28 18 Κροῖσος — ἔπραξε (20) om. b ἅλυν] ἄλλην P 19 ἐναντ. P 20 χρησμὸς] cf. Herod. VII 141 21 τριτογενεῖ Herod.: τριττογενῆ HKPb διδοῖ Herod.: δάοι HKP: δῴοι b 22 ἐδήλου — ξυνιέναι (23) om. b 24 χρησμὸς] Herod. VIII 142 25 ἀπολεῖς δὲ σὺ K²: πόλις δὲ HK¹: πόλις P: ἀπολεῖς ἤδε b 26 τῶν (alt.) om. H καὶ συνελόντι — συγγράματος (127,4) om. b 28 λέξιν] τάξιν KP

τωνι ἡ χαλεπότης τῶν δογμάτων, ἡ μέθη, τοῦτο τῷ Ἀριστοτέλει ἡ κατὰ λέξιν ἀσάφεια, δοκιμασίας χάριν .* * *

Δέκατον ἦν κεφάλαιον τῶν προτεθέντων τὸ ζητῆσαι πόσα καὶ τίνα κεφάλαια δεῖ προλαμβάνειν ἐπὶ παντὸς Ἀριστοτελικοῦ συγγράμματος. ἓξ 5 τοίνυν κεφάλαια δεῖ προλαμβάνειν, τὸν σκοπὸν τὸ χρήσιμον καὶ τὰ ἑξῆς. ζητητέον δὲ τὸν σκοπὸν καὶ ὅτε κηρύττεται ὑπὸ τῆς ἐπιγραφῆς, ἐπειδὴ πάντα πρὸς τὸν σκοπὸν ἀφορᾷ, ὥς φησι καὶ ὁ Πλάτων 'ὦ παῖ, μία ἐστὶν ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι, τὸ εἰδέναι περὶ ὅτου ἐστὶν ἡ σκέψις, ἢ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη'. κηρύττεται δὲ ὁ σκοπὸς ὑπὸ τῆς ἐπιγραφῆς, 10 ὡς ἐν τῷ Περὶ ψυχῆς κἀν τῷ Περὶ οὐρανοῦ κἀν τῷ Περὶ γενέσεως καὶ φθορᾶς. μάλιστα δὲ ζητητέον τὸν σκοπόν, ὅτε μὴ ὑπὸ τῆς ἐπιγραφῆς κηρύττεται, ὅτε πάνυ ἀσαφής ἐστιν ἡ ἐπιγραφὴ καὶ ἀπεξενωμένη, ὡς αἱ Κατηγορίαι καὶ τὸ Περὶ ἑρμηνείας. τὸ δὲ χρήσιμον ζητητέον διὰ τὸ συντονωτέρους γενέσθαι τοὺς ἀκροατὰς οἷον δέλεαρ ὁρῶντας προσγινόμενον τὸ 15 ἐξ αὐτοῦ κέρδος πρὸς ἐρωτικὴν διάθεσιν. μάλιστα δὲ τὸ χρήσιμον ζητητέον διὰ τὰ δοκοῦντα μάτην γεγράφθαι βιβλία, ὡς οἱ Τόποι τὰ αὐτὰ ἀνασκευάζοντες καὶ κατασκευάζοντες, ἢ ἐπὶ κακῷ, ὡς οἱ Σοφιστικοὶ ἔλεγχοι τρόπους ἀπάτης διδάσκοντες. ὑπὲρ ὧν ἔστιν εἰπεῖν ὅτι καὶ οἱ Τόποι ἐπὶ καλῷ ἐγράφησαν· γυμνασίας γὰρ χάριν, ἵνα θλιβομένη ἡ ψυχὴ ἐκ τῶν ἐφ' 20 ἑκάτερα ἐπιχειρημάτων ἀπογεννήσῃ τὸ τῆς ἀληθείας φῶς, δίκην τῶν πυρεκβόλων λίθων τῶν παρατριβομένων ἀλλήλοις καὶ πῦρ ἀφιέντων ἢ φῶς. ἀλλ' οὐδὲ οἱ Σοφιστικοὶ ἔλεγχοι ἐπὶ κακῷ, εἰ καὶ τρόπους ἀπάτης διδάσκουσιν· οὐ γὰρ ἵν' ἀπατήσωμεν ἀλλ' ἵνα μὴ ἀπατηθῶμεν. οὕτω γὰρ οἱ ἰατροὶ διδάσκουσι τὰ δηλητήρια οὐ διὰ χρῆσιν ἀλλὰ διὰ φυγήν. τὴν 25 δὲ αἰτίαν τῆς ἐπιγραφῆς ζητητέον, καὶ ὅτε κηρύττει τὸν σκοπόν, μάλιστα δὲ ζητητέον τὴν ἐπιγραφήν, ὅτε ἀσαφής ἐστιν, ὅτε ὀνοματοποιεῖ ὁ Ἀριστοτέλης, ὡς ἐν Κατηγορίαις καὶ ἐν τῷ Περὶ ἑρμηνείας· καὶ γὰρ ὅταν λέγῃ Κατηγορίας, οὐ τὰς ἐπ' ἐγκλήμασι δίκας, ὡς ἔθος, φησίν, ἀλλὰ τὰ γενικώτατα | ὡς ἔθος ἔχοντα ἀεὶ κατηγορεῖσθαι καὶ μηδέποτε ὑποκεῖσθαι, 230v 30 καὶ πάλιν περὶ τόπων, οὐ τὸ πέρας τοῦ περιέχοντος καθ' ὃ περιέχεται τὸ περιεχόμενον, ὡς λέγομεν περιέχεσθαι τὸν οἶνον ὑπὸ τῆς τοῦ κεραμίου ἔνδοθεν ἐπιφανείας, ἀλλὰ κανόνα τὸν πολλῶν κανόνων περιεκτικόν. καὶ πάλιν τὸ Περὶ ἑρμηνείας λέγων οὐ τὴν κατὰ λέξιν ἑρμηνείαν λέγει, ἀλλὰ τὰς τῆς ψυχῆς ἐννοίας.

---

1. 2 ἡ χαλεπότης τῶν δογμάτων hoc loco eicias et post δοκιμασίας χάριν inseras τέλος ὃ τῷ Πλάτωνι ἡ χαλεπότης τῶν δογμάτων καὶ τῷ Ἀπόλλωνι τὸ λοξὸν τῶν μαντευμάτων, τοῦτο τῷ Ἀριστοτέλει ἡ κατὰ λέξιν ἀσάφεια, γυμνασίας χάριν. 5 καὶ τὰ ἑξῆς HK: καὶ τὴν ἐπιγραφὴν τὸ γνήσιον τὴν τάξιν παὶ τὰ ἑξῆς P: τὴν αἰτίαν τῆς ἐπιγραφῆς τὴν τάξιν τῆς ἀναγνώσεως τὴν εἰς τὰ κεφάλαια διαίρεσιν καὶ εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον b 6 ὑπὸ] διὰ K 7 ὁ Πλάτων] Phaedr. p. 237 B (cf. p. 41,4) 8 βουλεύσασθαι b 11 ὑπογραφῆς H 12 σαφής K 18 διδ. ἀπ. coll. Hb 19 θληβ. H 20 δίκην — φῶς (21) om. b 23 ἀπατηθ.] ἀπατήσωμεν P 24 οἱ om. KP 26 δὲ ζητητ.] δὲ ἐξηγητέον KP 27 λέγει H[1] 28 φημί P 30 τόπων] τούτων KP 32 τὸν b: τῶν HKP 34 ἐννοίαις P

Ἐφ᾽ οἷς ζητητέον καὶ τὸ γνήσιον διὰ τὰς γινομένας νοθείας· νοθεύονται γὰρ τὰ βιβλία πενταχῶς· ἢ γὰρ δι᾽ εὐγνωμοσύνην μαθητῶν τὰ οἰκεῖα συγγράμματα τοῖς οἰκείοις διδασκάλοις ἀνατιθέντων, ὡς τὰ Πυθαγόρου καὶ Σωκράτους ἐπιγραφόμενα βιβλία μὴ ὄντα Σωκράτους ἢ Πυθαγόρου ἀλλὰ
5 Σωκρατικῶν καὶ Πυθαγορικῶν. ἢ διὰ φιλοτιμίαν βασιλικήν· Ἰοβάτους γὰρ τοῦ Λιβύων βασιλέως συναγαγόντος τὰ Πυθαγόρου καὶ Πτολεμαίου τὰ Ἀριστοτέλους, τινὲς καπηλείας χάριν τὰ τυχόντα συγγράμματα λαμβάνοντες ἐκέδρουν καὶ ἔσηπον διὰ παραθέσεως νέων πυρῶν, ἵνα σχοῖεν δῆθεν τὴν ἐκ τοῦ χρόνου ἀξιοπιστίαν. ἢ δι᾽ ὁμωνυμίαν συγγραφέων ἢ συγγραμμάτων
10 ἢ ὑπομνημάτων· καὶ συγγραφέων μέν, ὅτι οὐ μόνος Ἀριστοτέλης ὁ Σταγειρίτης οὕτως ἐκαλεῖτο ἀλλὰ καὶ ἄλλοι Ἀριστοτέλεις ἐγένοντο ἐπὶ αὐτοῦ, ὡς ὁ παιδοτρίβης καὶ ἐπίκλην Μῦθος, καὶ μετὰ ταῦτα, ὡς ὁ διδάσκαλος Ἀλέξανδρος· ἔδει γὰρ αὐτὸν οἷον δεύτερον ὄντα Ἀριστοτέλην. πάντων οὖν τούτων συγγραψαμένων * * νομίζονται τοῦ Σταγειρίτου εἶναι. * * * ἀλλὰ
15 καὶ δι᾽ ὁμωνυμίαν ὑπομνημάτων γίνεται ἀπάτη, τοῦ Ἀλεξάνδρου μὴ μόνον τὰ Ἀριστοτέλους ὑπομνηματίσαντος βιβλία τοῦ Σταγειρίτου ἀλλὰ καὶ τῶν ἄλλων, καὶ νομίζονται πάντα τὰ τοιαῦτα ὑπομνήματα εἰς τὰ τοῦ Σταγειρίτου γεγράφθαι διὰ τὸ ἐπίσημον τοῦ ἀνδρός. [ἢ διὰ τὸ ἐκλογὰς εἶναι ἐνομίσθησαν τοῦ αὐτοῦ εἶναι τοῦ ποιήσαντος τὰς ἐκλογὰς καὶ οὐχὶ τῶν
20 πρωτοτύπων συγγραφέων. ἢ δι᾽ ὀφρὺν κτήσεως ξενοπρεπῶν βιβλίων τινὲς ἄσημοι ὄντες συγγραφεῖς διὰ τὸ δόξαι ξενοπρεπεῖς εἶναι καὶ τοιαῦτα ἔχειν βιβλία ἐπέγραφον ὀνόματα συγγραφέως ἐνδόξου.] οὕτω μὲν τὸ γνήσιον. τὴν δὲ τάξιν ζητητέον οὐ πρὸς τὰ ἀνομοιοειδῆ, ἥτις εἴρηται ἡμῖν, ὅτε ἐλέγομεν ὅτι δεῖ τὴν λογικὴν προηγεῖσθαι καὶ μετὰ ταύτην τὴν ἠθικὴν καὶ οὕτως
25 ἐφεξῆς, ὡς εἴρηται, ἀλλὰ πρὸς τὰ ὁμοιοειδῆ τάξιν ζητητέον, λογικοῦ ὄντος τοῦ βιβλίου, ποίαν τάξιν ἔχει πρὸς τὰ λογικά, ἢ πρὸς τὰ φυσικὰ τὸ φυσικόν. τὴν δὲ εἰς τὰ μόρια διαίρεσιν ζητητέον ὡς ἀνατομῆς τάξιν ἔχουσαν· ὥσπερ γὰρ ἡ ἀνατομὴ τῶν ἐν βάθει μορίων ἀνάπτυξιν ποιουμένη τὴν ἑκάστου χρείαν παρίστησιν, οὕτω καὶ ἡ εἰς τὰ μόρια διαίρεσις τῶν Ἀριστοτέλους

---

1 ἐφ᾽ scripsi: ἐν libri τὴν γινομένην νοθείαν b 3. 6 τὰ τοῦ πυθ. K 4 ἐπιγραφώμενα P 9 συναγαγόντως H: συνάγοντος Pb 8 πυρρῶν b: μυρρῶν coni. Mullach (fr. ph. I 411 not. 15) 9 ἀξιοπιστείαν H ὁμωνυμίας Kb μόνος ex μόνον corr. K 10. 11 ὁ σταγ. ἀρ. ἐκαλ. (οὕτως om.) b 12 ἐπίκλην Μῦθος Olymp.: idem vel ἐπικληθεὶς μῦθος coni. Brand. ex Diog. L. V 35 (πέμπτος ὁ ἐπικληθεὶς Μῦθος): ἐπιλήμμυθος HK: ἐπιλήμυθος P: ἐπιλύμηθος b 13 ἀριστοτέλους K: ἀριστοτέλης P; post ἀριστ. addas ἀριθμεῖν; cf. Zeller IV³ p. 779 adn. 14 συγγραψάντων K ante νομίζονται inseras τὰ συγγράμματα εἶναι om. KP 14. 15 ante ἀλλὰ καὶ lacunam signavi; cf. v. 9 et Olympiodori expositionem δι᾽ ὁμωνυμίαν δὲ συγγραμμάτων ἐνοθεύοντο τὰ βιβλία, διότι μὴ μόνος Ἀριστοτέλης ἔγραψε Κατηγορίας, ἀλλὰ καὶ Θεόφραστος καὶ Εὔδημος, οἱ τούτου μαθηταί. πολλάκις οὖν τις περιτυχὼν ταῖς Κατηγορίαις, Θεοφράστου εἰ τύχοι, ἐνόμισεν αὐτὰς εἶναι Ἀριστοτέλους. 16 ὑπομνηματήσαντος P 18 ἐπίσιμον H ἢ διὰ — ἐνδόξου (22) inclusi 19 τοῦ (prius) om. Hb 20 συγραφέων P 21 συγραφῆς H 22 συγγραφέως P 23 ἐλέγομεν] p. 118, 25 sqq. 28 ὥσπερ] ὡς Kb 29 ἡ om. P

συγγραμμάτων ἀρίστη. τὸ δὲ τίς ὁ τρόπος τῆς διδασκαλίας | οὐ ζητοῦμεν, 231r
ὡς καὶ αὐτοῦ ἀνωτέρω εἰρημένου, ὅτε ἐζητοῦμεν τί τὸ εἶδος τῆς φράσεως
τοῦ Ἀριστοτέλους. ταῦτα ἔχει καὶ ἡ παροῦσα πρᾶξις.

Ἐπειδὴ κατὰ τὸν Παιανιέα πᾶς λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι
5 νομίζεται καὶ κενόν, φέρε ἔργῳ προλάβωμεν τοῦ βιβλίου τῶν Κατηγοριῶν
τὰ εἰωθότα ζητεῖσθαι ἐπὶ ἑκάστου Ἀριστοτελικοῦ βιβλίου, τὸν σκοπόν, τὸ
χρήσιμον καὶ τὰ ἑξῆς. οὐχ εἷς τοίνυν ἔδοξεν εἶναι ὁ σκοπὸς τῶν Κατη-
γοριῶν, ἀλλὰ πλείους· ὅσα γὰρ τὰ ὄντα, τοσοῦτοι φέρονται καὶ σκοποί.
τριττὰ δὲ τὰ ὄντα, φωναί, νοήματα καὶ πράγματα. οἱ μὲν οὖν περὶ φωνῶν
10 εἰρήκασι τὸν σκοπόν, ὡς Ἀλέξανδρος καὶ Εὐστάθιος, οἱ δὲ περὶ νοημάτων,
ὡς Πορφύριος, οἱ δὲ περὶ πραγμάτων, ὡς Ἑρμῖνος· πάντες μὲν γὰρ συν-
εφώνησαν περὶ τῶν δέκα κατηγοριῶν εἶναι τὸν σκοπόν, ἀλλ' οἱ μὲν ὡς
ἐκφωνουμένων μόνον, οἱ δὲ ὡς ὑφεστωσῶν, οἱ δὲ ὡς νοουμένων. καὶ οὐκ
ἔστιν εἰπεῖν ὅτι ὀνόματι μὲν τρεῖς οἱ σκοποί, ἔργῳ δὲ εἷς· οὐδὲ γὰρ ἀκο-
15 λουθεῖ ταῦτα ἀλλήλοις· οὐ γὰρ ὅπου φωναί, καὶ νοήματα πάντως, διὰ τὰς
ἀσήμους φωνάς, οὐδὲ ὅπου νοήματα, ἐκεῖ καὶ πράγματα, διὰ τὸν τραγέ-
λαφον καὶ ἱπποκένταυρον νοήματα ὄντα ἀνύπαρκτα. ἀλλὰ καὶ κατὰ τὰς
αἰτίας διαφέρουσι· νοῦ μὲν γὰρ τὰ νοήματα, θεοῦ δὲ τὸ παράγειν τὰ
πράγματα, ψυχῆς δὲ τὰς φωνάς. οὐχ εἷς ἄρα κατ' αὐτοὺς ὁ σκοπὸς ἀλλὰ
20 πλείους, καὶ πάντοτε τούτοις ἕλκουσι καὶ ἀνθέλκουσι τὸν Ἀριστοτέλην πρὸς
κατασκευὴν τῆς ἰδίας δόξης· οἱ μὲν γὰρ λέγοντες ὅτι περὶ φωνῶν μόνον,
ἐκ τῆς ἐπιγραφῆς κατασκευάζουσιν, ὅτι Κατηγορίαι ἐπιγέγραπται τὸ βιβλίον,
κατηγορία δέ ἐστι τὸ κατά τινος ἀγορεύεσθαι ἤγουν λέγεσθαι, τὸ δὲ λέγε-
σθαι φωνή ἐστι· περὶ φωνῶν ἄρα ὁ σκοπὸς τῶν Κατηγοριῶν. καὶ ὅτι
25 κατακέχρηται τῷ λέγεται 'ὁμώνυμα λέγεται' 'συνώνυμα δὲ λέγεται' ⟨λέγων⟩,
τὸ δὲ λέγεται φωνή· περὶ φωνῶν ἄρα ὁ σκοπὸς τῶν Κατηγοριῶν. καὶ πάλιν
ἐκ τοῦ διελεῖν αὐτὸν τὰ λεγόμενα εἰς δύο· φησὶ γὰρ ὅτι 'τῶν λεγομένων τὰ
μὲν κατὰ συμπλοκὴν λέγεται τὰ δὲ ἄνευ συμπλοκῆς', καὶ τὰ μὲν ἄνευ συμ-
πλοκῆς εἰς δέκα διεῖλε κατηγορίας· αἱ οὖν κατηγορίαι περὶ φωνῶν εἰσιν ὡς
30 ἐκ τῶν λεγομένων ἔχουσαι τὸ εἶναι· τὸ γὰρ λέγεται φωνῆς πρόσρημα. οἱ
δὲ λέγοντες ὅτι περὶ πραγμάτων ὁ σκοπὸς τῶν Κατηγοριῶν κατασκευάζουσιν
οὕτως· ὅτι τοῖς ἑαυτῶν ἑάλωτε πτεροῖς κατὰ τὴν παροιμίαν· ἃ γὰρ λέγετε
κατασκευάζοντες ὅτι περὶ φωνῶν, τὰ αὐτά φαμεν πρὸς κατασκευὴν ὅτι περὶ
πραγμάτων· φατὲ ὅτι Κατηγορίαι ἐπιγέγραπται, τὸ δὲ κατηγορεῖσθαι καὶ

---

2 ἐζητοῦμεν] p. 123,12 4 κατὰ τὸν Παιανιέα] spectat Demosth. XI 23 μέτεον P
6 εἰωθῶτα P 8 τοσοῦτοι — ὄντα (9) in mrg. suppl. P 10. 11 Ἀλέξανδρος
et Πορφύριος inter permutari debent; cf. Olymp. καὶ ἡ μὲν (αἵρεσις) ἔλεγεν περὶ φωνῶν
μόνων διαλέγεσθαι τὸν Ἀριστοτέλην, εἰς ἣν ἦν ὁ Πορφύριος, ἡ δὲ περὶ μόνων πραγμάτων, εἰς
ἣν ἦν ὁ Ἑρμῖνος, ἡ δὲ περὶ μόνων νομημάτων, εἰς ἣν ἦν Ἀλέξανδρος. idem apparet ex
Simpl. f. 3r et Porph. in Cat. comm. p. 57 11 γὰρ om. b 15 φωναί scripsi: φωνή
libri post νοήματα add. ἐκεῖ πράγματα del. P 19 κατὰ τοὺς P[1] 20 πάντοσε b
25 ὁμών. (ὁμόν. P) δὲ λέγ. συνων. (συνόν. P) λέγ. HP: ὁμών. δὲ λέγ. συνών. δὲ λέγ. K (cf.
Arist. Cat. p. 1 a 1. 6) λέγων addidi (cf. p. 130,3) 27 ὅτι om. KP τῶν μὲν
λεγ. HPb (cf. Arist. Cat. p. 1 a 16) 32 τοῖς ἑαυτῶν ἑάλ. πτ.] cf. Macar. VIII 57 (II
p. 222 Leutsch) ἑάλωτε scripsi: ἑάλωσθε libri λέγεται P[1]

λέγεσθαι κατά τινος φωνῆς ἴδιον σημαντικῆς πράγματος· περὶ πραγμάτων ἄρα ὁ σκοπός. εἰ δὲ λέγετε ὅτι κατακέχρηται τῷ λέγεται, καὶ τῷ τί ἐστιν 'οὐσία ἐστί' λέγων καὶ 'δεύτεραι οὐσίαι εἰσί' λέγων· | περὶ πραγμάτων 231v ἄρα ὁ σκοπός. εἰ δὲ πάλιν λέγετε ὅτι διαιρεῖ τὰ λεγόμενα εἰς τὰ συμ-
5 πεπλεγμένα καὶ εἰς τὰ ἄνευ συμπλοκῆς καὶ ἐξ αὐτῶν κατάγει τὰς κατηγορίας, τοῦτο ἡμῖν συνᾴδει· τὰ λεγόμενα γὰρ διεῖλεν, οὐ τὰ λέγοντα· τὰ δὲ λεγόμενα πράγματά εἰσι· περὶ πραγμάτων ἄρα ὁ σκοπὸς τῶν Κατηγοριῶν. οἱ δὲ λέγοντες ὅτι περὶ νοημάτων φασὶ πρὸς τοὺς πρώτους ὅτι νικᾶσθε ἡμῖν ἀμφότεροι, καὶ οἱ λέγοντες περὶ πραγμάτων μόνων εἶναι τὸν σκοπὸν
10 καὶ οἱ λέγοντες περὶ φωνῶν, ἵνα τὰ μέσα τούτων ἀναφανῇ τὰ νοήματα, ὡς καὶ ἐξαγγέλλοντα καὶ ἐξαγγελλόμενα· ἐξαγγέλλουσι γὰρ μόναι αἱ φωναί, ἐξαγγέλλονται δὲ μόνα τὰ πράγματα, τὰ δὲ νοήματα καὶ ἐξαγγέλλουσι καὶ ἐξαγγέλλονται.

Τούτων οὕτω μαχομένων ὀψέ ποτε ἐπιγενόμενος ὁ Ἰάμβλιχος ἔλυσε
15 τοὺς ἄνδρας τῆς τε πρὸς ἀλλήλους στάσεως καὶ τῆς πρὸς τὸν Ἀριστοτέλην, λέγων οὕτως· μάχεσθε, ὦ ἄνδρες, μὴ μαχόμενοι καὶ ἀληθεύετε μὴ ἀληθεύοντες καὶ ψεύδεσθε μὴ ψευδόμενοι· ὅμοιον γὰρ πάσχετε, ὥσπερ ἂν εἴ τινες ἄνδρες ἐθέλοιεν ὁρίσασθαι τὸν ἄνθρωπον καὶ ὁ μὲν εἴποι αὐτὸν ζῷον μόνον ὁ δὲ λογικὸν ὁ δὲ θνητὸν ὁ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικόν, μηδεὶς
20 δὲ τὸ ὅλον ἑνῶσαι δυνηθῇ ὅτι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. οὕτως οὖν καὶ ὑμεῖς ὁ μὲν περὶ φωνῶν λέγει μόνον ὁ δὲ περὶ πραγμάτων ὁ δὲ περὶ νοημάτων, ἐνὸν πάντα μῖξαι καὶ εἰπεῖν ὅτι καὶ περὶ φωνῶν καὶ περὶ νοημάτων καὶ περὶ πραγμάτων· ἐρωτάσθωσαν γὰρ οἱ λέγοντες περὶ φωνῶν μόνον ὅτι 'ποίων φωνῶν; ἆρα τῶν ἀσήμων; οὐ δήπου (γραμματικῶν γὰρ
25 αὗται), ἀλλὰ τῶν σημαινουσῶν πράγματα· οὐκ ἄρα περὶ φωνῶν μόνον ἀλλὰ περὶ τῶν σημαινουσῶν πράγματα'. οἱ δὲ περὶ πραγμάτων μόνον λέγοντες ἐρωτάσθωσαν καὶ αὐτοί· 'πῶς διδάσκει ὁ φιλόσοφος τὰ πράγματα; δακτύλῳ χρώμενος; οὐ δήπου· μερικὸν γὰρ δήπου τοῦτο καὶ ἀφιλόσοφον· φιλοκαθόλου γὰρ οἱ φιλόσοφοι, τὰ δὲ καθόλου οὐκ ἐνδέχεται χωρὶς λόγου διδάξαι
30 οὐδὲ τῷ δακτύλῳ· * * ἄρα † χρήματα πράγματα διδάσκει ἐξ ἀνάγκης'.

---

1 σημαντικοῦ H 2 λέγεται (pr. l.) HP καὶ τὸ τί ἐστιν Pb; scribas ⟨κατακέχρηται⟩ καὶ τῷ ἔστιν (cf. Olymp. ὁ δὲ Ἑρμῖνος . . πιστοῦται τὸν λόγον αὐτοῦ ἐκ τοῦ τὸν Ἀριστοτέλην πανταχοῦ τῷ ἔστι προσρήματι κεχρῆσθαι) 3 οὐσία ἐστί] Arist. Cat. p. 2a11 δεύτ. οὐσίαι εἰσί] δεύτ. δὲ οὐσίαι λέγονται Arist. Cat. p. 2a14 (cf. p. 2a18. 2b30), unde fort. καὶ δεύτ.—λέγων eicias 4 λέγεται HP τὰ (ante συμπ.) om. HPb 4. 5 συμπεπελεγμένα P 5 ἄνω HP 11 καὶ (prius) om. K 11. 12 ἐξαγγέλλουσι] ἐξαγέλουσι H 12 μόνα] μόνως HPb 14 ἐπιγινόμενος P 15 τῆς τε πρὸς iter. H τε om. K 16 ἀληθεύεται P¹ 17 ψεύδεσθαι (pr. l.) P ὥσπερ ἂν Urb. 35: ὡς ἂν b: om. HKP 20 an δυνηθείη? 21. 24 μόνων K 24 ποίων φ.; ἆρα τῶν ἀσ. b: ἆρα ποίων φ.; τῶν ἀσ. HKP 25. 26 ἀλλὰ καὶ περὶ πραγμάτων (τῶν σημαινουσῶν om.) b 26 πράγματα scripsi: πρᾶγμα libri 28 τούτου HP ἀφιλοσ.] οὐ φιλοσ. K 29 ὁ φιλόσοφος b 30 οὐδὲ] ὁ δὲ KP ἄρα χρ. πρ.] ἄρα νοήματα b; conicias ⟨φωναῖς⟩ ἄρα κεχρημένος τὰ πράγματα, Olymp. exhibet οὐ δήπου γὰρ δακτύλῳ δείκνυσι ταῦτα φιλοσοφῶν· οὐκοῦν καὶ περὶ φωνῶν ἐστιν αὐτῷ ὁ λόγος. ἀλλ' ἐπειδὴ σημαίνουσι τὰ πράγματα αἱ φωναὶ διὰ μέσων νοημάτων, καὶ περὶ νοημάτων ἐστὶν ἄρα αὐτῷ φροντίς.

οἱ δὲ περὶ νοημάτων λέγοντες εἶναι τὸν σκοπὸν ἐρωτάσθωσαν· ʽπερὶ ποίων νοημάτων; τῶν διακένων καὶ μὴ ἐποχουμένων τοῖς πράγμασιν, ἢ τῶν ἐποχουμένων τοῖς πράγμασιν; οὐ δήπου περὶ τῶν μὴ ἐποχουμένων, ἐπεὶ οὐκέτι ἡ φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ἀλλὰ τῶν μὴ 5 ὄντων, ἀλλὰ περὶ τῶν ἐποχουμένων· οὐκ ἄρα περὶ νοημάτων μόνον ἀλλὰ καὶ περὶ πραγμάτων'. εἰ δὲ περὶ πραγμάτων, ἐξ ἀνάγκης καὶ περὶ φωνῶν διαλέγεται· εἰ ἄρα περὶ νοημάτων καὶ πραγμάτων, ἐξ ἀνάγκης καὶ περὶ φωνῶν διαλέγεται· οὐκέτι οὖν περὶ φωνῶν μόνον ἢ περὶ πραγμάτων ἢ περὶ νοημάτων, ἀλλὰ περὶ φωνῶν καὶ περὶ πραγμάτων διὰ μέσων 10 νοημάτων· ἑκάστῃ γὰρ μονάδι ἡ λοιπὴ δυὰς ἕπεται. ἀλλ' ὅσον ἐκ τούτων τρεῖς δόξουσιν | εἶναι οἱ σκοποί, ὅπερ οὐδ' αὐτῷ Ἰαμβλίχῳ δοκεῖ· ἐν γὰρ 232r τοῖς σκοποῖς τῶν Πλάτωνος διαλόγων παντὸς βιβλίου ἕνα βούλεται εἶναι τὸν σκοπόν. οὕτως οὖν εἴπωμεν· ὁ σκοπὸς τοῦ βιβλίου τῶν Κατηγοριῶν περὶ φωνῶν ἐστι σημαινουσῶν πράγματα διὰ μέσου νοημάτων.

15 Ἀλλ' ἐπειδὴ τὸ ʽΣωκράτης περιπατεῖ' καὶ ἁπλῶς πᾶσα πρότασις φωνή ἐστι σημαντικὴ πράγματος διὰ μέσου νοήματος, περὶ δὲ τῶν προτάσεων ἐν τῷ Περὶ ἑρμηνείας διαλαμβάνει, εἴπωμεν ἄλλως τὸν σκοπόν· ὁ σκοπὸς τῶν Κατηγοριῶν περὶ ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων. ἀλλ' ἐπειδὴ καὶ τὸ ὄνομα καθ' αὑτὸ καὶ τὸ 20 ῥῆμα φωναί εἰσιν ἁπλαῖ ἁπλᾶ σημαίνουσαι πράγματα διὰ μέσου ἁπλῶν νοημάτων, περὶ δὲ ὀνόματος καὶ ῥήματος ἐνταῦθα οὐ ζητεῖ ἀλλ' ἐν τῷ Περὶ ἑρμηνείας, εἴπωμεν ἄλλως τὸν σκοπόν· ὁ σκοπὸς τοῦ βιβλίου τῶν Κατηγοριῶν περὶ τῆς πρώτης θέσεως τῶν ἁπλῶν φωνῶν τῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων· πάλαι γὰρ συνελθόντες οἱ ὀνομα- 25 τοθέται ὠνόμασαν τὸ μὲν ἄνθρωπον τὸ δὲ τυχὸν ἵππον τὸ δὲ τρέχει τὸ δὲ νικᾷ, μὴ προσδιορισάμενοι ποῖα σημαίνει χρόνον καὶ ποῖα οὔ. καλοῦνται ταῦτα τῆς πρώτης θέσεως τῷ ἁπλῶς οὕτως ὀνομάσαι τὰ πράγματα. ὕστερον δὲ ἐπιγενόμενοι ἕτεροι ὅσα μὲν εὗρον προσσημαίνοντα χρόνον, ῥῆμα ἐκάλεσαν, ὅσα δὲ οὐ προσσημαίνοντα χρόνον, ὄνομα. αἱ Κατηγορίαι οὖν τὰ 30 περὶ τῆς πρώτης θέσεως ζητοῦσιν, ὡς εἴρηται, καὶ οὐ περὶ τῶν τῆς δευτέρας θέσεως, τοῦτ' ἔστιν ὀνομάτων καὶ ῥημάτων. ἀλλ' ἐπειδὴ καὶ τὰ ὀνόματα τῆς πρώτης θέσεως ἄπειρά εἰσι τὰ κατὰ μέρος, αἱ δὲ κατηγορίαι ὡρισμέναι εἰσί (δέκα γὰρ τὸν ἀριθμόν), εἴπωμεν οὕτως· ὅτι ὁ σκοπὸς τοῦ

1 ἐρωτάσθω H 3 ἢ τῶν — πράγμασιν in mrg. suppl. P 4 ἐπεὶ] ἐπὶ P an ἔσται? 4. 5 τῶν μὴ ὄντων ἀλλὰ om. P 5 περὶ (post ἄρα) om. KP 6 περὶ (post καὶ) om. K εἰ] ὁ HP 7. 8 εἰ ἄρα περὶ νοημ. — διαλέγεται om. b 7 εἰ] ὁ H: εἰ ὁ P 8 διαλεγόμενος P οὐκ ἔστι H 9 ante διὰ add. καὶ Hb 10 τῶν νοημ. Hb 11 δοξάζουσιν H[1] οἱ om. P αὐτὸ KP 12 διὰ λέγων (sic) P τὸν om. b 13 οὖν scripsi: ὡς libri εἴπομεν HKb 14. 24 μέσων b 15 τὸ] τῷ K 17 ὁ om. K 18 φωνῶν — ἁπλῶν (19) in mrg. P 21 δὲ b: om. HKP 25 τὸν μὲν . . τὸν δὲ KP εἰ τύχοι b 26 προσδιορησ. H 27 τῷ] τὸ P 28 προσημαίνοντα HP 29 προσσημαίνοντα b: προσημαίνει HP: προσσημαίνει K 30 εἴρηται] v. 22. 23 καὶ om. P

βιβλίου τῶν Κατηγοριῶν διαλαμβάνει περὶ τῆς πρώτης θέσεως τῶν ἁπλῶν φωνῶν τῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων, καὶ τούτων οὐκ εἰδικωτάτων οὐκ ἀτόμων οὐ μερικῶν οὐχ ὑπαλλήλων, ἀλλὰ γενικωτάτων. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

5 Δεύτερον οὖν κεφάλαιον τὸ χρήσιμον. οὐ χρήσιμος ἡ παροῦσα πραγματεία, τολμῶ λέγειν, πρὸς φιλοσοφίαν, ἀλλὰ χρήσιμος ὡς αὐτὴ ἡ φιλοσοφία· καὶ ἡ φιλοσοφία γάρ γνῶσίς ἐστι πάντων τῶν ὄντων καὶ τὸ παρὸν βιβλίον πάντα τὰ ὄντα περιέχει· ὑπὸ γὰρ τὰς δέκα κατηγορίας πάντα τὰ ὄντα ἀνάγεται. καὶ δι' ἀποφάσεως τὸ χρήσιμον ῥητέον τοῦ παρόντος 10 βιβλίου οὕτως· εἰ μὴ ἦν ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν, ἡ δευτέρα οὐκ ἂν ἦν· εἰ μὴ ἦν ἡ δευτέρα θέσις, ὀνόματα καὶ ῥήματα οὐκ ἂν ἦσαν· τούτων δὲ μὴ ὄντων πρότασις οὐκ ἦν· προτάσεως δὲ μὴ οὔσης συλλογισμὸς οὐκ ἦν· συλλογισμοῦ μὴ ὄντος ἀπόδειξις οὐκ ἦν· | ἀποδείξεως μὴ 232v οὔσης ἀπέλειπον ἂν τὰ ὄργανα τὰ διακριτικά, ἐν μὲν θεωρίᾳ διάκρισις τῶν 15 ἀληθῶν καὶ τῶν ψευδῶν καὶ ἡ ἐκλογὴ μὲν τῶν ἀληθῶν ἀπεκλογὴ δὲ τῶν ψευδῶν, ἐν δὲ πράξει διάκρισις ἀγαθοῦ ἀπὸ κακοῦ καὶ ἡ ἐκλογὴ μὲν τῶν ἀγαθῶν ἀπεκλογὴ δὲ τῶν κακῶν· εἰ μὴ ἦν τὸ θεωρητικὸν καὶ τὸ πρακτικόν, ἡ φιλοσοφία οὐκ ἦν· εἰ μὴ ἡ φιλοσοφία ἦν, τὸ εὐδαιμονεῖν οὐκ ἦν. καὶ ἔχεις διὰ τοῦ δι' ἀποφάσεως χρησίμου καὶ τὴν τάξιν, ὅτι δεῖ προ-20 ηγεῖσθαι τὸ παρὸν βιβλίον παντὸς ἄλλου λογικοῦ βιβλίου, ἐπειδὴ καὶ ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν πάντων προηγεῖται.

Ἐφ' οἷς εἴπωμεν καὶ τὴν αἰτίαν τῆς ἐπιγραφῆς. ἓξ τοίνυν ἐπιγραφαὶ φέρονται τοῦ παρόντος βιβλίου· οἱ μὲν γὰρ ἐπέγραψαν Κατηγορίαι, ὡς αὐτὸς ὁ Ἀριστοτέλης, οἱ δὲ Περὶ τῶν κατηγοριῶν, ὥς τινες ἑταῖροι τοῦ 25 Ἀριστοτέλους, οἱ δὲ Περὶ ⟨τῶν⟩ δέκα γενῶν * * τοῦ ὄντος, ὡς Πλωτῖνος ἀντιλέγων ταῖς κατηγορίαις, οἱ δὲ Πρὸ τῶν τόπων, ὡς Ἀρχύτας ὁ Ταραντῖνος, οἱ δὲ Περὶ τῶν καθόλου λόγων, ὡς Ἄδραστος ὁ Ἀφροδισιεὺς ὁ Περιπατητικός. νικᾷ δὲ πάσας ἡ τοῦ Ἀριστοτέλους· ὁ γὰρ ἐπιγράφων ὅτι Κατηγορίαι ἐνδείκνυται ὅτι οἱ λόγοι δι' οἰκείαν ἰσχὺν ἴσχυσαν γενέσθαι ὅπερ τὰ πρά-30 γματα. οὕτω καὶ Ἀριστείδης χάριν μαρτυρῶν τῶν Ὑπὲρ τῶν τεττάρων ἐπέγραψε τοὺς λόγους οὕτω· Κίμων, Μιλτιάδης, Περικλῆς, Θεμιστοκλῆς. καὶ ὁ Πλάτων δὲ ἐπιγράφει οὕτως· Γοργίας, Φαίδων, Φαῖδρος. οἱ δὲ ἐπιγράφοντες Περὶ τῶν κατηγοριῶν ἢ * * Περὶ τῶν γενῶν τοῦ ὄντος ἢ Περὶ τῶν

---

4 ἐν—πρ. om. b 5 οὖν] ἦν Hb οὐ] ποῦ b 6 ἀλλὰ Urb. 35: πλὴν οὐ HKPb αὕτη HK 9 διὰ προσφάσεως H 10 πρώτη om. K 12 πρώτασις H πρωτάσεως H[1] 13 συλογισμοῦ P 14 ἀπέλιπον Kb μὲν οὖν K 15 ἀληθῶν] ἀγαθῶν P (corr. ead. m.) 16 ἀπὸ] καὶ b ἡ om. b 19 διὰ τοῦ om. b 23 ὑπέγραψαν KP 24 ὁ αὐτὸς ἀρ. K οἱ δὲ—ἀριστοτέλους (25) iter. P ὡς H[1]P (poster. loco): ὧν KP (priore l.) b ἑταῖροι Urb. 35 b: ἕτεροι HKb 25 τῶν inserui post γενῶν lacunam signavi, quae suppleri potest ex Urb. 35 περὶ τῶν δέκα γενῶν, ὡς ἄλλοι ἑταῖροι αὐτοῦ πάλιν· ἔγραψαν γὰρ καὶ οὗτοι κατὰ ζῆλον τοῦ διδασκάλου τοιαῦτα βιβλία. περὶ τῶν γενῶν τοῦ ὄντος, ὡς πλωτῖνος, (cf. v. 33) Πλωτῖνος] Enn. VI, 1 (p. 566 sq.) 27 ἀφροδισεὺς HKP 29 περιγενέσθαι H[1] 30 Ἀριστείδης] III p. 433 Dindorf τῶν ὑπὲρ Urb. 35: τὰ ὑπὲρ HKPb 32 δὲ om. b 33 inseras Περὶ τῶν δέκα γενῶν ἢ (cf. v. 25)

καθόλου λόγων ἐνδείκνυνται ὅτι οἱ λόγοι δι' οἰκείαν ἀσθένειαν κατόπιν ἐγένοντο τῶν πραγμάτων καὶ οὐκ ἴσχυσαν γενέσθαι ὡς αὐτὰ τὰ πράγματα. νικᾷ δὲ καὶ τὴν Πρὸ τῶν τόπων ἐπιγραφήν· εἰ γὰρ καὶ ἐξὸν τὴν τάξιν ἐπιγραφὴν ποιῆσαι, ὡς ἐν τῇ Μετὰ τὰ φυσικά, ἀλλ' ἐκεῖ εὐλόγως· καὶ 5 μόναις γὰρ ἕπεται ταῖς Φυσικαῖς καὶ μόνα, τὸ δὲ παρὸν βιβλίον οὐ μόνων προηγεῖται τῶν Τόπων ἀλλὰ καὶ ἄλλων. οἶδε δὲ πάσας τὰς ἐπιγραφὰς ὁ Ἀριστοτέλης ἐπιγράφειν, Κατηγορίαι, Τόποι, ἀλλὰ καὶ τὴν Περὶ οὐρανοῦ καὶ κόσμου. αὕτη καὶ ἡ αἰτία τῆς ἐπιγραφῆς.

Ἐφ' οἷς εἴπωμεν τὸ γνήσιον. γνήσιον τοίνυν ἐκ τοῦ παλαιοῦ τὸ 10 παρὸν βιβλίον ἀπὸ τῆς φράσεως καὶ τῆς δεινότητος τῶν ἐνθυμημάτων καὶ ἐκ τοῦ ὀνομαστὶ μεμνῆσθαι αὐτὸν τοῦ παρόντος βιβλίου ἐν ἄλλοις αὑτοῦ βιβλίοις καὶ λέγειν ὅτι 'ὡς εἴρηται ἐν Κατηγορίαις', καὶ ἐκ τοῦ κατὰ ζῆλον αὐτοῦ γράψαι τοὺς ἑταίρους αὐτοῦ ὁμώνυμα βιβλία καὶ χρήσασθαι τῇ 'περί' προθέσει, καὶ ἐκ τοῦ εὐθύνας δεδωκέναι αὐτὸ τοῖς Ἀττικοῖς ἐξηγηταῖς· 15 τεσσαράκοντα γὰρ βιβλίων εὑρεθέντων ἐν παλαιαῖς βιβλιοθήκαις τῶν Ἀναλυτικῶν καὶ δύο τῶν Κατηγοριῶν τέσσαρα μόνα τῶν Ἀναλυτικῶν ἐκκρίνουσι | καὶ τῶν Κατηγοριῶν ἕν, καὶ εἰ μὴ γνήσιον ἦν τὸ παρὸν σύγγραμμα, 233r ἀκέφαλος ἦν πᾶσα ἡ λογικὴ πραγματεία· Συριανὸς μὲν γὰρ ὁ φιλόσοφος ἐπέγραψε τῷ Φαίδωνι νοθευομένῳ ὑπό τινος Παναιτίου·

20 εἴ με Πλάτων οὐ γράψε, δύω ἐγένοντο Πλάτωνες·
Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω.
ἀλλὰ νόθον μ' ἐτέλεσσε Παναίτιος, ὅς ῥ' ἐτάλασσε
καὶ ψυχὴν θνητὴν καί με νόθον τελέσαι.

ἐγὼ δέ, φησὶν ὁ ἡμέτερος διδάσκαλος, ἐπιγράφω ταῖς Κατηγορίαις

25 εἰ μὴ Ἀριστοτέλους γενόμην, ἢ δίπλοος οὗτος,
ἢ σοφίην ἀκάρηνον ἐδείματο νόσφιν ἐμεῖο.

οὕτως καὶ τὸ γνήσιον.

Ἐφ' οἷς εἴπωμεν τὴν εἰς τὰ μόρια διαίρεσιν. εἰς τρία τοίνυν διαιρεῖται τὸ παρὸν βιβλίον, ⟨εἰς τὰ πρὸ τῶν κατηγοριῶν⟩, εἰς τὰς κατηγορίας,

---

2 οὐχὶ b 3 εἰ γὰρ — ποιῆσαι (4) in mrg. suppl. P ἐξ ὧν H¹: ἐξὼν P 5 γὰρ μόναις coll. b μόνα] μόνον HP 6 ὁ om. Kb 9 γνήσιον (alt.) superscr. HP 11 αὑτοῦ b: αὐτοῦ HKP 12 ὅτι om. KP ὡς εἴρηται ἐν Κατ.] videas Bonitzii ind. p. 102a 13 ἑτέρους P βιβλία om. KP χρῆσθαι KP 13. 14 τῇ περί προθέσει] cf. p. 132,24 14 αὐτῷ P 15 τεσαρ. P γὰρ superscr. K 16 μόνον Hb 16. 17 ἐκκίνουσι P: ἐγκρ. b 17 ἓν τῶν κατ. Hb μὴ ex μὲν corr. K σύγρ. P 19 ἐπέγγραψαι H Φαίδωνι corr. Brandis ex Asclep. in Metaph. p. 90,23 (Hayduck) cf. Zeller IIa 441: φαίδρῳ libri νοθευσαμένῳ KP 20 εἴ κτλ.] cf. Anthol. Pal. IX 358 με K²b: μὲν HK¹P οὐ — τελέσαι (23) om. b οὐ γράψεν K²: ὑπέγραψε HP: ἐπέγραψε P δύω Anth.: δύο HKP γένοντο K² 21 σωκρατικὸν HK¹P ὀάρων K²: γὰρ ὧν HK¹P 22 μ' ἐτέλεσε H: με τέλεσε P ὅς ῥ' ἐτάλασσε] ὅς ῥ' ἐτάλασε K: ὃς ἐτέλεσε H: οὗ (sic) ἐτέλεσε P: ὅς ῥ' ἐτέλεσσε Anth. 23 καί με] κἀμὲ Anth. τελέσει HK¹: τέλεσε P: τελέσει Anth. 24 ἡμέτερος ex ὑμέτερος corr. P: ὑμέτερος H 25 Ἀριστοτέλους γενόμην b: ἀριστοτέλης ἐγενόμην HKP οὗτος b: οὕτως HKP 29 εἰς τὰ πρὸ τῶν κατηγοριῶν ex Olymp. inserui

τοῦτ' ἔστιν εἰς αὐτοὺς τοὺς ἀγῶνας, καὶ εἰς τὰ χρήσιμα πρὸς τὰς κατηγο-
ρίας· τὸ πρῶτον γὰρ καὶ τὸ τελευταῖον τμῆμα χρήσιμα διδάσκει πρὸς τὰς
κατηγορίας, πλὴν οὐ τὰ αὐτά· ἐν μὲν γὰρ τῷ πρώτῳ τμήματι ἐκεῖνα τὰ
χρήσιμα διδάσκει, ὧν οὐδεμίαν ἔχομεν πρόσκλησιν ἐκ τῆς συνθείας, περὶ
5 ὁμωνύμων, περὶ ὑποκειμένου, περὶ κατηγορουμένου· ἐν δὲ τῷ τελευταίῳ
τμήματι ἐκεῖνα τῶν χρησίμων διδάσκει, ἃ καὶ ἐκ τῆς συνηθείας γινώσκομεν,
περὶ προτέρου, περὶ τοῦ ἅμα, περὶ τοῦ ἔχειν, περὶ κινήσεως. οὐκ ἠβου-
λήθη δὲ πάντα τὰ χρήσιμα ἐν ἑνὶ μέρει εἰπεῖν, ἵνα μὴ τὰ προτέλεια μεί-
ζονα ποιήσῃ τῶν ἀγώνων. καὶ ἡμεῖς οὖν ἵνα μὴ τὰ προοίμια μείζονα
10 ποιήσωμεν, τῶν μὲν προοιμίων ἅλις, ἐπ' αὐτοὺς δὲ τοὺς ἀγῶνας λοιπὸν
χωρήσωμεν καὶ τὴν ἐξήγησιν τῆς λέξεως. ἐν οἷς καὶ τὰ προλεγόμενα τῶν
Κατηγοριῶν.

---

7 τοῦ ἅμα b: ἅμα HKP 10 μὲν] νῦν K: μὲν γὰρ P λοιπὸν om. P
11 οἷς] τούτοις b 12 Κατηγ.] expl. b

Ἀρχὴ σὺν θεῷ τοῦ κειμένου.

p. 1a1 ⟨Ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν⟩.

Ἐπειδὴ σκοπὸς αἱ κατηγορίαι, τὸ δὲ ὁμώνυμον κατηγορεῖται τῶν κατ-
ηγοριῶν, πᾶσα δὲ κατηγορία τῶν ὑπ' αὐτὴν εἰδῶν συνωνύμως κατηγορεῖται
5 ὡς γένος εἴδους, διὰ τοῦτο ὁ Ἀριστοτέλης προτάττει τὴν διδασκαλίαν τῶν
ὁμωνύμων καὶ συνωνύμων, κἂν τούτοις προτάττει τὰ ὁμώνυμα τῶν συνω-
νύμων, ἐπειδὴ καὶ τὸ ἓν τῶν δύο προηγεῖται· ἐπὶ γὰρ τῶν ὁμωνύμων ἑνὸς
μόνου χρεία· ὀνόματος γὰρ μόνου κοινωνίαν ποιεῖ τὰ ὁμώνυμα, τὰ δὲ συν-
ώνυμα κοινωνίαν ὀνόματος καὶ κοινωνίαν πράγματος. ἀλλ' ἐπειδὴ Ἀριστο-
10 τέλης τί ἐστι μόνον λέγει ἕκαστον, τί ὁμώνυμα καὶ τί συνώνυμα, εἴπωμεν
πρὸ τοῦ τί ἐστι τὸ εἰ ἔστιν. εἰκότως δὲ ζητοῦμεν τὸ εἰ ἔστιν, ἐπειδή τινες
ἐπιχειροῦσιν ἀνελεῖν τὰ ὁμώνυμα, δεικνύντες ὅτι οὐκ εἰσὶ ταῦτα. φέρε οὖν
ἡμεῖς δείξωμεν ὅτι εἰσὶ τὰ ὁμώνυμα. δείκνυμεν δὲ οὕτως, λῆμμα ὁμολο-
γούμενον τοῦτο προλαμβάνοντες ὅτι τῶν στοιχείων | πεπερασμένων καὶ αἱ 233v
15 συμπλοκαὶ πεπερασμέναι εἰσί· τὰ δὲ στοιχεῖα πεπερασμένα εἰσίν (εἴκοσι
γὰρ καὶ τέσσαρά εἰσι τὸν ἀριθμόν)· τῶν δὲ στοιχείων συμπλοκαί εἰσιν αἱ
συλλαβαί, πεπερασμέναι ἄρα εἰσὶ καὶ αἱ συλλαβαί· τῶν δὲ συλλαβῶν συμ-
πλοκαί εἰσι τὰ ὀνόματα, πεπερασμένα ἄρα εἰσὶ τὰ ὀνόματα. τὰ δὲ πρά-
γματα ἄπειρά εἰσι τῷ πολλάκις καὶ ἀεὶ γίνεσθαι. οὐδέποτε δὲ τὸ πεπε-
20 ρασμένον τῷ ἀπείρῳ ἐξισοῦται, εἰ μὴ πολλάκις ἀνακυκληθῇ· εἰσὶν ἄρα τὰ
ὁμώνυμα· οὐδὲν γάρ ἐστιν ὁμώνυμον εἰ μὴ ἀνακύκλησις τοῦ αὐτοῦ ὀνόματος
πολλάκις γινομένη. οὕτω τοῦ Ἀριστοτέλους δείξαντος ὅτι εἰσὶ τὰ ὁμώνυμα
⟨ἐν⟩ τοῖς Σοφιστικοῖς ἐλέγχοις καὶ ὅτι ἐξ ἀνάγκης εἰσί, πειρῶνται ἀνελεῖν ταῦτα
λόγῳ τοιούτῳ χρώμενοι· φασὶν ὅτι τὸ ὁμώνυμον πρᾶγμα καὶ τὸ ὄνομα
25 ἐπιδέχεται τοῦ ὁμωνύμου καὶ τὸν ὁρισμὸν αὐτοῦ, τὰ δὲ τὸ αὐτὸ ὄνομα
καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδεχόμενα συνώνυμά εἰσι· τὰ ὁμώνυμα ἄρα συν-
ώνυμα. καὶ τί τῶν ἄλλων ἔσται τῶν ὁμωνύμων συνωνύμων ὄντων; πρὸς
οὓς λέγομεν λύσεις δύο, μίαν μὲν τοιαύτην· ὅτι οὐδὲν ἄτοπον τὸ αὐτὸ

1 post κειμένου add. περὶ ὁμωνύμων K 2 lemma inserui 7 γὰρ superscr. H 10 ἕκ. λέγει coll. P 12 οὖν om. H 17 πεπερ. ἄρα — συλλαβαί om. KP 18 ἄρα om. K 19 γίνεσθαι — πρᾶξις (136,20) folii inferiore parte abscisa paucis relictis litteris interierunt P 23 ἐν addidi τοῖς σοφ. ἐλ.] c. 4 p. 165b30 sq. 27 ἔσται om. K

πρᾶγμα καὶ ὁμώνυμον εἶναι καὶ συνώνυμον κατ' ἄλλο καὶ ἄλλο ὄνομα· καθὸ μὲν γὰρ Αἴας καὶ Αἴας, ὁμώνυμά εἰσιν, ὑπογραφὰς δὲ διαφόρους ἔχει ἕκαστος αὐτῶν, καθὸ μέντοι τὸ Αἴας καὶ Αἴας ἄνθρωποι, συνώνυμά εἰσιν. οὐδὲν οὖν ἄτοπον καὶ ὁμώνυμον εἶναι καὶ συνώνυμον τὸ αὐτό, κατ' ἄλλο
5 δὲ καὶ ἄλλο. ἢ καὶ ἄλλως· ὅτι κατὰ τὸ αὐτὸ ὄνομα καὶ ὁμώνυμον καὶ συνώνυμον δύναται εἶναι· ὑποκείσθωσαν γὰρ δύο τινὲς Εὔβουλοι λεγόμενοι· ἐνταῦθα ὡς μὲν Εὔβουλος καὶ Εὔβουλος ἑκάτεροι ὁμώνυμοι, εἰ δὲ ἐκ τύχης τινὸς εἶεν καὶ συνετοί, συνώνυμοί εἰσιν· εὑρίσκονται γὰρ καὶ Εὔβουλοι λεγόμενοι καὶ εὔβουλοι ὄντες, ὡς καὶ τὸν ὁρισμὸν τοῦ εὐβούλου δεχόμενοι.
10 αὕτη πρώτη λύσις διπλῆ. δευτέρα δὲ λύσις, ὅτι παραλογίζονται οἱ λέγοντες δεικνύναι τὰ ὁμώνυμα συνώνυμα· οὐδὲ γὰρ ἔδειξαν ὃ ἐπηγγείλαντο, ἐπειδὴ ἡ συνώνυμος κατηγορία καὶ κοινῇ μετέχεται ὑπὸ τοῦ μετέχοντος καὶ ἰδίᾳ, κἂν μὴ ᾖ τὸ λεῖπον· οἷον ἀνθρώπου μὴ ὄντος δύναται ζῷον καὶ λέγεσθαι καὶ εἶναι ὁ ἵππος, καὶ τὸ ἀνάπαλιν ὁ ἄνθρωπος καὶ ζῷον λέγεται καὶ ζῷόν
15 ἐστι, κἂν μὴ ᾖ ὁ ἵππος· ἐπὶ δὲ τῶν ὁμωνύμων οὐκ ἔρρωται οὗτος ὁ κανών· οὐδὲ γὰρ εἷς Αἴας ἐν ὅλῳ τῷ κόσμῳ δύναται εἶναι ὁμώνυμος ἄλλου μὴ ὄντος Αἴαντος. τί οὖν συνήγαγεν ὁ λόγος; ὅτι δύναται τὸ αὐτὸ καὶ ὁμώνυμον εἶναι καὶ συνώνυμον κατ' ἄλλο καὶ ἄλλο, ὁμώνυμα μὲν κατ' αὐτὸ τὸ ὄνομα κατ' ἄλλην δὲ καὶ ἄλλην σημασίαν συνώνυμα, ὡς ἐπὶ τοῦ
20 Εὔβουλος. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

p. 1a1 Ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν.

Μετὰ τὸ εἰ ἔστι τῶν ὁμωνύμων ἔλθωμεν καὶ ἐπὶ τὸ τί ἐστι, ταὐτὸν εἰπεῖν καὶ ἐπὶ τὴν | ὑπογραφήν. ὁρίζεται τοίνυν τὰ ὁμώνυμα ὁ Ἀριστο- 234r τέλης οὕτως· ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινὸν ὁ δὲ κατὰ
25 τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, ὡς τὸ Αἴας καὶ Αἴας· οἱ γὰρ δύο Αἴαντες ὄνομα μόνον ἔχουσι κοινὸν ὑπογραφὰς δὲ διαφόρους. σαφηνίσωμεν οὖν ἑκάστην λέξιν οὖσαν ἐν τῇ ὑπογραφῇ.

p. 1a1 Ὁμώνυμα.

Ἰδοὺ εὐθέως ἐκ θυρῶν ὁ Ἰαμβλίχειος σκοπὸς ἀναφαίνεται, ὅτι καὶ
30 περὶ φωνῶν καὶ περὶ νοημάτων καὶ περὶ πραγμάτων ὁ σκοπὸς ταῖς Κατηγορίαις· τὰ γὰρ ὁμώνυμα οὐδὲ ἐν πράγμασι μόνοις ἢ πράγματά εἰσι θεωροῦνται, ἐπεὶ ἔσται ἡ ὁμωνυμία ταυτότης πραγμάτων, ὅπερ ἄτοπον. ἀλλ' ἐν πράγμασιν ἡ ὁμωνυμία πεπονθόσι τὴν ὁμωνυμίαν. εἰ οὖν ἐξ ἀνάγκης

---

2 ὁμώνυμά εἰσιν post αὐτῶν (3) transponas 3 ἕκαστον K 9 εὔβουλοι H 11 δεικνύειν (pr. l.) H 13 καὶ λέγεσθαι superscr. H 15 οὕτως H 17 αἴαντος om. K 18 μὲν post αὐτὸ (19) coll. H 19 δὲ post ἄλλην Vat. 1018: post συν coll. K: om. H 21 μόνον om. H 22 τῶν ὁμωνύμων] τὸ ὁμώνυμον b 23 τὴν ὑπογραφήν scripsi: τῆς ὑπογραφῆς HKP 29 ἰαμβλίχειος Urb. 35: ἰαμβλίχιος HKP 30 καὶ περὶ πραγμάτων om. P 32 ἐπεὶ] ἐπὶ P ἔσται — οὐχ ὅτι (p. 138,4) paucis litteris relictis desunt P (cf. p. 135,18 not.)

καὶ ἐν φωναῖς καὶ ἐν πράγμασι τὰ ὁμώνυμα, καὶ ἐν νοήμασιν ἐξ ἀνάγκης· ὅπου γὰρ φωναί, καὶ πράγματα πάντως, μέσα δὲ τούτων εἰσὶ τὰ νοήματα.

p. 1a 1 Λέγεται.

Μὴ ἐπειδὴ ἐχρήσατο τῷ λέγεσθαι, πάντως περὶ φωνῶν τὸν σκοπὸν 5 νοήσωμεν· καὶ ἐπὶ φωνῶν γὰρ καὶ ἐπὶ νοημάτων καὶ ἐπὶ πραγμάτων τίθεται τὸ λέγεται· ὡς γὰρ τοῦ λέγειν τὰ τρία δυναμένου σημαίνειν, καὶ τὸν βαρβαρίζοντα κακῶς λέγειν φαμέν, ὅτι περὶ φωνάς ἐστι τὸ σφάλμα, καὶ τὸν ἀδιανόητα φθεγγόμενον ὡς περὶ τὰ νοήματα ἁμαρτάνοντα καὶ τὸν ψευδόμενον ὡς περὶ πράγματα σφαλλόμενον. [ἀδιανόητοι λέγονται οἱ ταῖς ἀσή-10 μοις λέξεσι χρώμενοι, οἷον τῷ βλίτυρι σκινδαψός· οὐδὲν γὰρ τούτων σημαίνει τι· ἢ σημαίνουσι μὲν αἱ λέξεις καθ' ἑαυτάς, εἰς ἀλλήλας δέ εἰσιν ἀνακόλουθοι· λέγων γὰρ οὕτως 'ὁ ἄνθρωπος ζῷον, ἀλλὰ καὶ ὁ λίθος σῶμα, ἡ ψυχὴ ἄρα ἀθάνατος', ταῦτα ἀδιανόητα ὡς ἀνακόλουθα.]

p. 1a 1 Ὁμώνυμα λέγεται.

15 Ἀποροῦσιν ὅτι διὰ τί πληθυντικὸν ἑνικῷ ἀποδέδωκεν· ὀφείλων γὰρ εἰπεῖν 'λέγονται', λέγεται εἶπε. πρὸς ὅ φαμεν ὅτι τοῦτο πεποίηκεν ὁ Ἀριστοτέλης οὐ κατὰ Ἀττικὴν σύνταξιν ἢ συνήθειαν (οὐδὲ γὰρ ἐφρόντιζε τούτου ὥσπερ καὶ οἱ ἄλλοι φιλόσοφοι, μόνον μὴ κατόπιν τῆς ἀληθείας γένωνται), ἀλλὰ τοῦτο πεποίηκεν ὁ Ἀριστοτέλης καὶ πληθυντικὸν ἑνικῷ 20 συνέταξεν, ἐπειδὴ καὶ τὰ ὁμώνυμα πολλὰ πράγματα ὄντα ἑνὶ ὀνόματι ὀνομάζονται.

p. 1a 1 Ὧν ὄνομα.

Ἀποροῦσί τινες λέγοντες ὅτι καὶ ἐν ῥήμασίν ἐστιν ὁμωνυμία· τὸ γὰρ ἐρῶ ῥῆμα σημαίνει καὶ τὸ ἐπιθυμῶ καὶ τὸ λέξω· πῶς οὖν εἶπεν ὄνομα 25 μόνον κοινόν, εἰ καὶ ἐν ῥήμασίν ἐστιν ὁμωνυμία; τί οὖν φαμεν; ὅτι τὸ ὄνομα διττόν, τὸ μὲν κατὰ παντὸς μέρους λόγου φερόμενον, καθ' ὅ φαμεν τὸν Πλάτωνα καλοῖς ὀνόμασι χρήσασθαι, οὐχ ὅτι ῥήμασιν οὐκ ἐχρήσατο, τὸ δὲ ἀντιδιαστελλόμενον τοῖς ἄλλαις μέρεσι τοῦ λόγου τὸ κυρίως ὄνομα τὸ πτωτικόν. ἐνταῦθα οὖν ὄνομα ἀκουστέον τὸ κατὰ ῥημάτων φερόμενον 30 καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου.

---

8 φθεγκομ. H ὡς περὶ] ὥσπερ H 9 πράγματος H ἀδιανόητοι — ἀνακόλουθα (13) inclusi post ἀδιαν. superscr. δὲ K 10 τῷ scripsi: τὸ libri 15 ὅτι om. K 20. 21 ὀνομάζεται K 22 post ὧν add. εἰπὼν ἀντὶ τοῦ ὧντινων πραγμάτων H 23 ἀποροῦσι — λόγου (30) post ἐξηπλωμένον (138,10) coll. K δέ τινες K 24 λέξω Amm.: λέγω HK

p. 1a1 Μόνον.

Τό μόνον δύο σημαίνει· ἢ γὰρ τὸ μοναδικόν, καθ' ὅ φαμεν ἕνα μόνον θεόν, ἢ τὸ πρὸς ἀντιδιαστολὴν τοῦ ὁμοζύγου λεγόμενον, ὡς πολλάκις λέγεται ὅτι ἀπελείφθη τις ἐν πολέμῳ δόρυ μόνον ἔχων, οὐχ ὅτι χεῖρας ἢ
5 πόδας οὐκ εἶχεν, ἀλλ' ὅτι τὰ ὁμόζυγα τούτου οὐκ εἶχεν οἷον ἀσπίδα καὶ κνημῖδας, καὶ πάλιν ἀπελείφθη τις ἐν ἀρίστῳ ἄρτον μόνον ἔχων πρὸς ἀντιδιαστολὴν τῶν ὁμοζύγων ἐδεσμάτων. εἴρηται οὖν ἐνταῦθα μόνον τὸ πρὸς ἀντιδιαστολὴν τοῦ ὁμοζύγου· τὸ γὰρ ὄνομα ὁμόζυγον τοῦ ὁρισμοῦ, | διὸ καὶ 234v ἀνθορίζονται· ὄνομα γάρ ἐστιν ὁρισμὸς συνεσταλμένος, ὁρισμὸς δέ ἐστιν
10 ὄνομα ἐξηπλωμένον.

p. 1a1 Κοινόν.

Τὸ κοινὸν τετραχῶς· ἢ γὰρ τὸ ἀδιαίρετον ὡς ὁ αὐλὸς κοινὸς ἢ οἰκέτης, ἢ τὸ διαιρούμενον ὡς ἀγρὸς ἢ οἰκία, ἢ τὸ τοῦ προκαταλαμβάνοντος ἴδιον, ὡς ὁ τοῦ θεάτρου τόπος κοινὸς ὢν τοῦ προκαταλαμβάνοντος γίνεται
15 ἴδιος, ἢ τὸ ἐπίσης μετεχόμενον ὡς ἡ τοῦ κήρυκος φωνή (αὕτη γὰρ ἐπίσης ὑπὸ πάντων μετέχεται) [καὶ ἡ ὕλη]. κοινὸν οὖν ἐνταῦθα δεῖ λαβεῖν τὸ ἐπίσης μετεχόμενον· τῆς γὰρ Αἴας φωνῆς ἐπίσης μετέχουσιν οἱ δύο Αἴαντες.

p. 1a1 Ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

20 Κατὰ τοὔνομα τὸ εἰρημένον· τὰ γὰρ ἄρθρα ἀναφορικά εἰσιν. ἀποροῦσι δέ τινες πῶς φιλοσύντομος ὢν ὁ Ἀριστοτέλης περιττὰ νῦν λέγει· ἤρκει γὰρ εἰπεῖν ὅτι ὁμώνυμά εἰσιν ὧν ὄνομα κοινόν· εἰ γὰρ ἕν τι τούτων δοθῇ, τὸ ἄλλο ἕπεται ἐξ ἀνάγκης * * ὁ γὰρ ὁρισμὸς αὐτῶν διάφορος. καὶ εἰ εἴποις ὅτι ὁμώνυμά εἰσιν ὧν μόνος ὁ ὁρισμὸς διάφορος, τὸ ἄλλο εἵπετο
25 ἐξ ἀνάγκης· τὸ γὰρ ὄνομα αὐτῶν μόνον εἶχεν εἶναι κοινόν. περιττῶς οὖν εἶπεν ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. πρὸς ὅ φαμεν ὅτι οὐ μάτην τοῦτο εἶπεν, ἀλλ' ἵνα δείξῃ ποῖος ὁρισμὸς διάφορος· οὐδὲ γὰρ ὁ ὡς ἀνθρώπων ὁρισμὸς διάφορος (ὁ αὐτὸς γὰρ λόγος τῶν δύο Αἰάντων ὡς ἀνθρώπων), οὐδὲ κατὰ τὸ Αἴας καὶ Αἴας διαφέρουσιν (ὁ αὐτὸς γὰρ

---

1 μόνον κοινόν K 3 ἢ τὸ] τὸ δὲ H 4 ἀπελύφθη H 7 ἐντεῦθεν H[1] τὸ om. P 13 ὁ ἀγρὸς K[1] 14 ὁ om. H post προκαταλ. iter. ἴδιον — προκαταλαμβάνοντος P 16 καὶ ἡ ὕλη recte om. Urb. 35 20 εἰρ.] διηρημένον HP 22 ἕν τι K[2]: ἀντὶ HK[1]P 23 post ἀνάγκης defectum signavi, inseras εἰ γὰρ εἴποις ὅτι ὁμώνυμά εἰσιν ὧν ὄνομα μόνον κοινόν, τὸ ἄλλο εἵπετο ἐξ ἀνάγκης· 24 εἴποις ex εἴπῃς corr. K 25 αὐτῶν om. KP περιττὸς K 26 post τοὔνομα iter. μόνον εἶχεν εἶναι κοινόν del. P 27 post διάφορος add. ὁ αὐτὸς del. P (cf. v. 28) οὐδὲ — διάφορος (28) om. K 28 pr. ὁ superscr. H καὶ λόγος H 29 ὡς om. KP καὶ αἴας superscr. P

λόγος τῆς Αἴας φωνῆς, ὅτι δισύλλαβος βαρύτονος καθαρὸν τὸ ᾱ ἔχουσα), ἀλλ' ὁρισμὸν διάφορον ἔχουσι τὰ ὁμώνυμα κατὰ τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς αὐτῆς· ἡ γὰρ Αἴας φωνὴ σημαίνει ἐπὶ μὲν τοῦ ἑνὸς Αἴαντος ὅτι ἐστὶ τοῦ Τελαμῶνος καὶ ἐκ τῆς Σαλαμῖνος, ἐπὶ δὲ τοῦ ἄλλου ὅτι ἐστὶ τοῦ 5 'Οιλέως καὶ Λοκρός· τούτων γὰρ τῶν ἰδιωμάτων τῶν ἐφ' ἑκατέρῳ θεωρουμένων ὑπογραφὴ διάφορός ἐστι.

p. 1a2 Τῆς οὐσίας.

Οὐσίαν ἐνταῦθα κοινότερον ἀκουστέον τὴν καὶ κατὰ τῆς ὑπάρξεως φερομένην· διττὴ γὰρ ἡ οὐσία, ἡ μὲν ἀντιδιαστελλομένη ταῖς ἐννέα κατη- 10 γορίαις ἡ κυρίως οὐσία, ἡ δὲ κατὰ συμβεβηκότων φερομένη, ἣν καὶ νῦν ἀκουστέον.

p. 1a2 Ἕτερος.

Διὰ τί, φασί, δύο οὐσῶν ἀντιθέσεων, κοινοῦ — ἰδίου, ταὐτοῦ — θατέρου, μὴ εὐθὺς μνησθεὶς τοῦ κοινοῦ καὶ τοῦ ἀντικειμένου ἐμνήσθη, φημὶ 15 δὴ τοῦ ἰδίου, | καὶ ἑτέρου μνησθεὶς τοῦ ταὐτοῦ οὐκ ἐμνήσθη; καὶ λέγομεν 235r ὅτι βουλόμενος τεχνῶσαι ἡμᾶς καὶ πλειόνων ἀντιθέσεων ἐντὸς ποιῆσαι, ἑνὸς σκέλους ἀφ' ἑκατέρας ἀντιθέσεως ἐμνήσθη, κελεύων καὶ τοῦ ἄλλου ὑπακούειν· μνησθεὶς γὰρ κοινοῦ εἰς ἔννοιάν σε τίθησι τοῦ ἰδίου, καὶ μνησθεὶς ἑτέρου κελεύει σε νοεῖν τὸ ταὐτόν. ἐν οἷς καὶ ἡ παροῦσα πρᾶξις.

20 Ὁρισάμενος ὁ Ἀριστοτέλης τὰ ὁμώνυμα ὧν ὄνομα μόνον κοινὸν ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, παραδείγματι κέχρηται πρὸς παράστασιν τῶν ὁμωνύμων τῷ τε ἀληθινῷ ἀνθρώπῳ καὶ τῷ γεγραμμένῳ· τούτων γὰρ ἑκάτερος ζῷον λέγεται (ὅτι δὲ ὁ γεγραμμένος ζῷον λέγεται, δῆλον ἐντεῦθεν, ὅτι ὁ δημιουργὸς αὐτοῦ ζωγράφος εἴρηται), ὁ δὲ ὁρισμὸς 25 αὐτῶν διάφορος· ὁ γὰρ ἀληθὴς ἄνθρωπος οὐσία ἔμψυχος αἰσθητική, ὁ δὲ γεγραμμένος οὐκ οὐσία ἀλλὰ συμβεβηκός, οὐκ ἔμψυχος ἀλλ' ἄψυχος, οὐκ αἰσθητικὸς ἀλλ' ἀναίσθητος, ἀλλὰ ζῷον λέγεται ὡς εἰκὼν οὐσίας ἐμψύχου αἰσθητικῆς.

Ἵνα δὲ γνῶμεν ὑπὸ ποῖον τῶν ὁμωνύμων ἀνάγεται τὸ παράδειγμα, 30 φέρε εἴπωμεν τὴν διαίρεσιν τῶν ὁμωνύμων. τούτων τὰ μέν εἰσιν ἀπὸ τύχης, ὡς ὅταν τινὲς ἐν διαφόροις τόποις ὄντες τῷ αὐτῷ ὀνόματι ὀνομάζωνται, μηδεμίαν ἔννοιαν ἐσχηκότος τοῦ ὀνομάσαντος τῶν ἐν ἄλλῳ τόπῳ οὕτως ὀνομαζομένων, ὥσπερ Ἀλέξανδρος ὁ Πάρις καὶ ὁ Μακεδών, τὰ δὲ

3 τοῦ om. HP 5 ἑκάτερα K 8 τὴν humore del. H 15 δὴ om. K
16 ἐντὸς Urb. 35 Par. 2051: ἔννοιαν HKP (cf. Amm. in Cat. p. 1,3) 19 ἡ om. H post πρᾶξις inseras lemma Οἷον—γεγραμμένον 20 post ὁμών. add. μόνον κοινὸν del. P
22 τε om. K 23 τούτου KP ὅτι—λέγεται in mrg. suppl. P 24 αὐτῶν K: om. P εἰρ.] λέγεται K 25 αὐτῶν scripsi: αὐτοῦ HKP 27 αἰσθητικῶς K[1]
29 ὁμων.] ὑποδειγμάτων K παράδ.] ὑπόδειγμα K 31. 32 ὀνομάζονται HP
32 ἐσχηκότως P τῶν . . ὀνομαζομένων (33) scripsi: τὸν ὀνομαζόμενον HKP

ἀπὸ διανοίας, ὡς ὅταν βουλευσάμενός τις ὀνομάσῃ ὄνομα. καὶ τὰ μὲν ἀπὸ τύχης ἀδιαίρετα· αἱ γὰρ διαιρέσεις ὑπὸ τεχνῶν καὶ ἐπιστημῶν προβάλλονται, ὥς φησι καὶ ὁ Πλάτων, ὅτι ἐμπειρία μὲν ἡμῶν τὸν αἰῶνα ποιεῖ πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην. τὰ δὲ ἀπὸ διανοίας ἃ μὲν
5 κατὰ χρονικὴν ἔννοιαν ἃ δὲ οὐ κατὰ χρονικὴν ἔννοιαν, καὶ τῶν κατὰ χρονικὴν ἔννοιαν τὰ μὲν κατὰ μνήμην, ὡς εἴ τις τοῦ πατρὸς μνημονεύων τὸν υἱὸν τὸν ἴδιον τῷ ἐκείνου ὀνομάσῃ ὀνόματι, τὰ δὲ κατ' ἐλπίδα, ὡς εἴ τις τὸν υἱὸν αὐτοῦ ὀνομάσῃ Πλάτωνα ἐλπίσας αὐτὸν γενήσεσθαι τοιοῦτον (οἶδε γὰρ καὶ ἀξιοπίστων ἀνδρῶν ὀνόματα ἐρεθίζειν ἡμᾶς πρὸς μίμησιν
10 ἐκείνων ὧν εἰσι καὶ τὰ ὀνόματα), τὰ δὲ κατὰ τὸ συναμφότερον καὶ κατὰ μνήμην καὶ κατ' ἐλπίδα. οὕτω μὲν τῶν κατὰ χρονικὴν ἔννοιαν. τῶν δὲ οὐ κατὰ χρονικὴν ἔννοιαν τὰ μὲν κατὰ μέθεξιν, ὡς ἀπὸ τῆς μουσικῆς μουσικὴ γυνή, τὰ δὲ κατὰ μεταφοράν. διαφέρει δὲ μεταφορὰ ἀναλογίας· μεταφορὰ γάρ ἐστι σύντομος ἀναλογία, ἀναλογία δέ ἐστιν ὡς ὅταν εἴπω ὅτι οἷον
15 λόγον ἔχει τόδε πρὸς τόδε, τοῦτον ἔχει τόδε πρὸς τόδε. ἡ δὲ μεταφορὰ οὐ λόγῳ κέχρηται ἀλλ' ὀνόματι· ὀφείλων γὰρ εἰπεῖν τις 'ὁποῖον λόγον ἔχει ὁ ποιμὴν πρὸς τὰ πρόβατα, | τοῦτον ὁ βασιλεὺς πρὸς τὸν λαόν' καὶ 235v χρήσασθαι οὕτω τῇ ἀναλογίᾳ, μὴ εἴποι οὕτως ἀλλὰ ποιμένα καλέσαι λαῶν τὸν βασιλέα μεταφορικῶς. οὕτω μὲν τὰ κατὰ μεταφοράν. πάλιν τὰ μὲν
20 ἀφ' ἑνὸς τὰ δὲ πρὸς ἕν· καὶ τὰ μὲν ἀφ' ἑνὸς ἢ ὡς ἀπὸ ποιητικοῦ, ὡς ἀπὸ ἰατρικῆς ἰατρικὸν σμιλίον καὶ βιβλίον, ἢ ὡς ἀπὸ παραδειγματικοῦ, ὡς ἀπὸ ἀληθινοῦ ἀνθρώπου ὁ γεγραμμένος· εἰκὼν γὰρ ὁ γεγραμμένος τοῦ ἀληθινοῦ ἀνθρώπου. τὰ δὲ πρὸς ἓν οἷον τὰ πρὸς ἓν τέλος ἀφορῶντα, ὑγιεινὸν οὖρον ὑγιεινὸν σιτίον. τὸ παράδειγμα οὖν ἐλήφθη ἀπὸ τῶν ἀφ'
25 ἑνὸς καὶ τούτων ἀπὸ τοῦ παραδειγματικοῦ. καὶ ταῦτα μὲν περὶ τούτων.

Δεῖ δὲ τὰ ὁμώνυμα μὴ κατὰ μόνην τὴν προφορὰν κοινωνεῖν, ἀλλὰ καὶ κατ' ἄλλα περιστατικά, οἷον τόνον πτῶσιν πνεῦμα γένος ἀριθμὸν γραφὴν μέρος λόγου συνήθειαν· τὸ γὰρ ἄργος παροξυτόνως καὶ τὸ ἀργὸς ὀξυτόνως οὐχ ὁμώνυμα· τῷ γὰρ τόνῳ διαφέρει· καὶ ὅτε μὲν παροξύνεται,
30 δηλοῖ τὸν Ἄργον τὸν φύλακα τῆς Ἰοῦς, ὃν ἀποκτείνας ὁ Ἑρμῆς Ἀργειφόντης ἐκλήθη (δηλοῖ δὲ καὶ ἄλλα ὀνόματα κύρια), ὅτε δὲ ὀξυτόνως, δηλοῖ τὸν μηδὲν ἐργαζόμενον καὶ τὸν ταχὺν καὶ τὸν λευκόν. πάλιν τὸ ἐλάτης οὐκ ἔστιν ὁμώνυμον· διάφορος γὰρ ἡ πτῶσις· ὅτε γὰρ τὸν ἐλάτην δηλοῖ, ἤγουν τὸν ἐλαύνοντα, εὐθεῖά ἐστιν, ὅτε δὲ τὸ δένδρον, θηλυκῆς ἐστι
35 πτώσεως γενικῆς, οἷον ἡ ἐλάτη τῆς ἐλάτης. ἀλλ' οὐδὲ τὸ 'οιος' ὁμώνυμον δύναται εἶναι· σημαίνει γὰρ καὶ τὸ μόνος καὶ τὸ ὁποῖος, ἀλλ' ὅπου

---

2 διαίρετα (sic) P 3 ὁ Πλάτων] Gorg. p. 448 C 5 καὶ τῶν — ἔννοιαν (6) om. P 7 καὶ τὸν υἱὸν K ὀνομάσῃ scripsi: ὀνομάσει HK: ὀνομάζει P 8 ὀνομάσῃ Vat. 1018: ὀνομάσει HKP γενέσθαι HP 9 καὶ om. K 10 ante ἐκείνων add. τῶν ἀνδρῶν K τὰ (ante ὀνόμ.) om. HP 13 δὲ] γὰρ K 14 ὅτι om. K 15 πρὸς τόδε τόδε pr. l. coll. K 17 τοῦτον scripsi: τοῦτο libri 18 εἴπῃ K καλέσαι scripsi: καλέσει HP: καλέσῃ K 30 post ἄργον add. καὶ P τῆς ἰοῦς om. HP 30. 31 ἀργηφόντης HP 31 scribas ὀξυτονεῖται (cf. v. 29) 34 ἤγουν om. P

μὲν δασύνεται, τὸ ὁποῖος σημαίνει, ὅπου δὲ ψιλοῦται, τὸ μόνος· ἐπειδὴ γὰρ διαφέρει κατὰ τὸ πνεῦμα, οὐ δύναται εἶναι ὁμώνυμον. ὥσπερ οὐδὲ τὸ καινόν· ἡ γὰρ γραφὴ διάφορος· ὅτε γὰρ δηλοῖ τὸ μάταιον καὶ τὸ κοῦφον, διὰ τοῦ ε̄ ψιλοῦ γράφεται, ὅτε δὲ τὸ νέον, διὰ διφθόγγου. οὐδὲ τὸ εἶπον
5 πάλιν δύναται ὁμώνυμον εἶναι· ὁ γὰρ ἀριθμὸς διάφορος· τὸ γὰρ 'εἶπον ἐκεῖνοι' πληθυντικοῦ ἐστιν ἀριθμοῦ, τὸ δὲ 'εἶπον ἐγώ' ἑνικοῦ. ἀλλ' οὐδὲ τὸ φάρος ὁμώνυμον δύναται εἶναι· δηλοῖ γὰρ θηλυκῶς μὲν ἐκφωνούμενον τὴν πόλιν, ἀρσενικῶς δὲ τὸ κτίσμα, οὐδετέρως δὲ τὸ ἱμάτιον· ἐπειδὴ οὖν τὸ γένος διάφορον, ὁμώνυμον εἶναι οὐ δύναται. οὐδὲ πάλιν τὸ ἔχεις ὁμώ-
10 νυμον, διάφορον ὂν μέρος λόγου· δηλοῖ γὰρ τὰς ἐχίδνας, οἷον οἱ ἔχεις τῶν ἐχεων, δηλοῖ δὲ καὶ τὴν καθεκτικὴν ἐνέργειαν, ἔχω ἔχεις. ἀλλ' οὐδὲ τὸ ἅρμα ὁμώνυμον· δηλοῖ γὰρ τὸ ζεῦγος τῶν ἵππων καὶ τὰ ὅπλα, παρὰ μὲν Ῥωμαίοις τὰ ὅπλα, παρὰ δὲ Ἕλλησι τὸ ζεῦγος. ἐπειδὴ οὖν παρὰ τὴν διάφορον συνήθειαν διάφορα σημαίνει, ὁμώνυμον εἶναι οὐ δύναται. ταῦτα
15 δὲ περὶ διαιρέσεων καὶ συστάσεων τῶν ὁμωνύμων. ἐν οἷς καὶ ἡ παροῦσα πρᾶξις. |

p. 1a6 Συνώνυμα δὲ λέγεται ὧν τὸ ὄνομα κοινὸν καὶ ὁ λόγος τῆς οὐσίας ὁ αὐτός. 236r

Μετὰ τὰ ὁμώνυμα ἔρχεται ὁ Ἀριστοτέλης ἐπὶ τὰ συνώνυμα· δέεται
20 γὰρ καὶ τούτων εἰς τὰς δέκα κατηγορίας, εἴ γε ἑκάστη κατηγορία τῶν οἰκείων εἰδῶν συνωνύμως κατηγορεῖται. ἀλλ' ἐπειδὴ κἀνταῦθα τί ἐστι τὰ συνώνυμα λέγει, προηγεῖται δὲ τὸ εἰ ἔστι τοῦ τί ἐστι, δείξωμεν ὅτι εἰσὶ τὰ συνώνυμα. εἰσὶ τοίνυν τὰ συνώνυμα διὰ τριῶν αἰτιῶν· πρῶτον μὲν αὐτὰ τὰ ὁμώνυμα συνώνυμα ἐδείχθη, δεύτερον ὅτι τεσσάρων τινῶν παρακειμένων
25 ἀλλήλοις, ὁμωνύμων συνωνύμων πολυωνύμων ἑτερωνύμων, ἔστι δι' ἑνὸς λόγου δεῖξαι ὅτι εἰσὶ τὰ τέσσαρα καὶ τί ἐστιν αὐτῶν ἕκαστον. δείκνυμεν δὲ ταῦτα ἐκ διαιρέσεως οὕτως· ἀεὶ δύο πραγμάτων λαμβανομένων, ἐχόντων ὄνομα καὶ ὁρισμόν, συμβαίνει ταῦτα ἢ κατ' ἄμφω κοινωνεῖν, καὶ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸν ὁρισμόν, καὶ γίνεται τὰ συνώνυμα, ἢ οὐδὲ κατὰ τὸ
30 ὄνομα οὐδὲ κατὰ τὸν ὁρισμὸν κοινωνοῦσι καὶ γίνεται τὰ ἑτερώνυμα, ἢ πῇ μὲν κοινωνοῦσι πῇ δὲ διαφέρουσι· καὶ ἢ κατὰ τὸ ὄνομα μὲν κοινωνοῦσι τῷ δὲ πράγματι διαφέρουσι καὶ γίνονται τὰ ὁμώνυμα, ἢ τῷ μὲν πράγματι κοινωνοῦσι διαφέρουσι δὲ τῷ ὀνόματι καὶ γίνεται τὰ πολυώνυμα, οἷον ξίφος ἄορ μάχαιρα φάσγανον σπάθη. ἔδειξεν οὖν ὁ λόγος ὅτι καὶ εἰσὶ καὶ τί
35 ἐστιν ἕκαστον αὐτῶν. τοῦτο δεύτερον. τρίτον εἰ ψευδὴς δείκνυται ὁ λόγος

---

1 τὸ om. KP 3 καινόν K: καινόν (ε supra) H: κενόν P καὶ τὸ] καὶ H: ἢ P 7 τὸ om. HP ὁμώνυμος H 8 πόλιν] πάλην HP 10 οἱ om. P 11 δὲ om. K 17 ante συνών. add. tit. περὶ συνωνύμων P δὲ om. HP τό τε Arist. ὁ κατὰ τοὔνομα λόγος Arist. 22 δείξομεν H[2] ante ὅτι add. ὡς K 24 ἐδείχθη] p. 135,27 sq. 27 δὲ om. KP 33 γίνονται P πολλυώνυμα H 34 an εἰσὶ ⟨τὰ τέσσαρα⟩? (cf. v. 26)

ὁ ἀναιρῶν τὰ συνώνυμα ὁ λέγων ὅτι τὰ συνώνυμα ἐν ταῖς δέκα κατηγορίαις θεωρεῖται, εἴ γε ἑκάστη τοῦ οἰκείου εἴδους συνωνύμως κατηγορεῖται, τὸ δὲ ὑπὸ δύο κατηγορίας ἀναγόμενον, οὔτι λέγω ὑπὸ τὰς δέκα, ὁμώνυμον, τὰ ἄρα συνώνυμα οὐκ εἰσίν, εἰ ὁμώνυμα δείκνυται. λύομεν δὲ
5 τοῦτο οὕτως· ὅτι παραλογίζεσθε· τὸ γὰρ ἀναγόμενον ὑπὸ τὰς δέκα κατηγορίας διχῶς λέγεται ἀνάγεσθαι· ἢ γὰρ ὡς εἶδος αὐτῶν ἢ ὡς ὕλη χρώμενον αὐταῖς ταῖς κατηγορίαις. ὡς μὲν εἶδος οὕτως· τὸ λευκὸν ὑπὸ διαφόρους κατηγορίας ὡς εἶδος ἀνάγεται· εἰ γὰρ τὸ λελευκωμένον λάβῃ τις, ὑπὸ τὴν οὐσίαν ἀνάγεται, εἰ δὲ τὸ χρῶμα, ὑπὸ τὴν ποιότητα. οὕτω μὲν οὖν ὡς
10 εἶδος. εἰ δὲ ὡς ὕλῃ χρώμενον ταῖς δέκα κατηγορίαις, ὡς τὰ πρός τι· ταῦτα γὰρ οἰκείαν ὕλην μὴ ἔχοντα ἐν ταῖς δέκα θεωροῦνται κατηγορίαις. οὕτως οὖν καὶ τὰ συνώνυμα οὐχ ὡς εἶδος ἀνάγονται ὑπὸ τὰς δέκα κατηγορίας, ἀλλ' ὡς ὕλῃ χρώμενα ταῖς δέκα ὡς τὰ πρός τι. καὶ τὰ συνώνυμα δὲ τῶν πρός τί εἰσι· τὸ γὰρ συνώνυμον συνωνύμῳ ἐστὶ συνώνυμον. ταῦτα
15 μὲν περὶ τῶν συνωνύμων.

Ἐφ' οἷς διαλαμβάνει καὶ περὶ τῶν παρωνύμων. τρίτα δὲ ἔταξε ταῦτα διὰ τρεῖς αἰτίας· ἢ ὅτι προηγεῖται τὸ ἓν τῶν δύο καὶ τὰ δύο τῶν τεσσάρων, | καὶ ἐπὶ μὲν ὁμωνύμων ἑνὸς χρεία (ὀνόματος γὰρ κοινοῦ), ἐπὶ δὲ 236v τῶν συνωνύμων δύο, ὀνόματος καὶ ὁρισμοῦ, ἐπὶ δὲ τῶν παρωνύμων τεσσά-
20 ρων χρεία, κοινωνίας ὀνόματος καὶ διαφορᾶς, κοινωνίας πράγματος καὶ διαφορᾶς. αὕτη πρώτη αἰτία. δευτέρα αἰτία, ὅτι τῶν μὲν ὁμωνύμων καὶ συνωνύμων ἐν ὅλαις χρήζει ταῖς κατηγορίαις, τῶν δὲ παρωνύμων ἐν μόνῃ τῇ ποιότητι. αὕτη καὶ δευτέρα αἰτία. τρίτη δὲ αἰτία, ὅτι προηγοῦνται ἀεὶ τὰ γνήσια τῶν νόθων, καὶ ἐπὶ μὲν τῶν ὁμωνύμων καὶ συνωνύμων
25 γνήσιαι καὶ αἱ κοινωνίαι καὶ αἱ διαφοραί, ἐπὶ δὲ τῶν παρωνύμων νόθοι. ταῦτα περὶ τῆς τάξεως αὐτῶν. ἀλλ' ἐπειδὴ καὶ τούτων τὸ τί ἐστι μόνον λέγει, οὐ μὴν καὶ τὸ εἰ ἔστι, δείξωμεν ὅτι εἰσὶ τὰ παρώνυμα. ἔστι τοίνυν τὰ παρώνυμα, πρῶτον μὲν ὅτι τὰ ὧν εἰσι μέσα ἐδείχθη ὅτι εἰσί, τὰ συνώνυμα καὶ ἑτερώνυμα, δεύτερον εἰ ψεύδεται ὁ λόγος ὁ λέγων αὐτὰ μὴ εἶναι
30 καὶ λέγων οὕτως· ὅτι εἰ εἰσὶ τὰ παρώνυμα, ἔδει αὐτὰ ἐντὸς πεσεῖν τῆς ἀνωτέρω λεχθείσης διαιρέσεως (τὴν γὰρ διαιρετικὴν μέθοδον οὐδὲν καυχήσεται φυγόν), οὐ περιέλαβε δὲ αὐτὰ ἡ διαίρεσις, δῆλον ὅτι οὐκ εἰσί τὰ παρώνυμα. λέγομεν πρὸς ταῦτα οὕτως· ὅτι οὐκ ἠδύνατο ἐντὸς πεσεῖν τῆς διαιρέσεως τὰ παρώνυμα, διότι ἡ διαίρεσις κατὰ γνησίας κοινωνίας * * καὶ
35 τὰς διαφοράς. ταῦτα καὶ περὶ τούτων.

Δεῖ δὲ εἰδέναι ὅτι τεσσάρων χρεία, ἵνα γένωνται τὰ παρώνυμα, κοινωνίας ὀνόματος καὶ διαφορᾶς ὀνόματος, κοινωνίας πράγματος καὶ διαφορᾶς

---

2 εἴ γε] εἴτε H 3 ἀναγόμενον scripsi: συναγόμενον HKP οὔτι scripsi: ὅτι οὐ HP: οὗ K 8 λευκώμενον (sic) P 13 ὕλην P χρώμενα Urb. 35: χρῶνται HKP 18 γὰρ] καὶ K 21 δευτέρα αἰτία om. K 22 χρίζει H 27 μὴν] μὲν P 30 εἰ superscr. K 31 λεχθείσης] p. 141,27 τὴν γὰρ διαιρ.] cf. p. 73,12 32 an δῆλον ⟨οὖν⟩? 33 λέγωμεν H 34 post κοινωνίας lacunam signavi, inseras καὶ διαφορὰς ἐγένετο, τὰ δὲ παρώνυμα νόθους ἔχει τάς τε κοινωνίας

πράγματος. ὅθεν τὸ Ἕλενος καὶ Ἑλένη οὐκ ἔστι παρώνυμον· ἔχει γὰρ κοινωνίαν ὀνόματος, ἐπειδὴ αἱ πρῶται συλλαβαὶ πᾶσαι ἀμφοτέρων τῶν ὀνομάτων αἱ αὐταί εἰσιν, ἀλλὰ καὶ διαφορὰν ὀνόματος ἔχουσι κατὰ τὴν τελευταίαν συλλαβήν. ἀλλ' ἐπειδὴ ὡς Ἕλενος καὶ Ἑλένη οὐδεμίαν κοινωνίαν
5 ἔχουσιν (ἕκαστος γὰρ οἰκείαν ὑπογραφὴν ἔχει), διὰ τοῦτο οὐκ ἔστι παρώνυμα. οὐδὲ παρθενικὴ καὶ παρθένος παρώνυμα διὰ τὸ μὴ ἔχειν διαφορὰν πράγματος· τὸ αὐτὸ γὰρ αἱ δύο λέξεις δηλοῦσι, καὶ ἔστι πολυώνυμον. οὐδὲ τὸ ἀρετὴ καὶ σπουδαῖος διὰ τὸ μὴ εἶναι κοινωνίαν τοῦ ὀνόματος, κατὰ δὲ τὸ πρᾶγμα καὶ κοινωνίαν καὶ διαφορὰν ὡς μετέχοντος καὶ μετεχομένου.
10 οὐδὲ μουσικὴ γυνὴ καὶ μουσικὴ ἐπιστήμη παρώνυμα διὰ τὸ μὴ ἔχειν διαφορὰν ὀνόματος.

Τούτων οὕτω προληφθέντων ἴδωμεν πῶς ὁρίζεται τὰ παρώνυμα. ὁρίζεται δὲ αὐτὰ οὕτω λέγων παρώνυμά εἰσιν ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει, διὰ τού-
15 των τὰ τέσσαρα δηλώσας· διὰ μὲν γὰρ τοῦ εἰπεῖν ὅσα ἀπό τινος τὴν κοινωνίαν τοῦ πράγματος καὶ τὴν διαφοράν (τὰ γὰρ ἀπό τινος κοινωνεῖ αὐτοῦ | πάντως καθὸ ἐξ αὐτοῦ, διαφέρει δέ, ἐπειδὴ ⟨οὐ⟩ πάντη ταὐτὸν τὸ 237r μετέχον τῷ μετεχομένῳ). διὰ δὲ τοῦ εἰπεῖν διαφέροντα τῇ πτώσει τὴν διαφορὰν τοῦ ὀνόματος ἐδήλωσε (πτῶσις δὲ παρὰ Ἀριστοτέλει τὸ πέρας
20 τῆς λέξεως), διὰ δὲ τοῦ εἰπεῖν τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει τὴν κοινωνίαν τοῦ ὀνόματος.

Δεῖ δὲ τούτων προληφθέντων εἰδέναι ὅτι οὐκ ἀποδεκτέον τὸν ποιητὴν τὰ ὁμώνυμα συνώνυμα λέγοντα, ὡς ἐπὶ τοῦ

ἶσον θυμὸν ἔχοντες·

25 ὁμωνύμους γὰρ ὄντας συνωνύμους ἐκάλεσε διὰ τὸ ἴσον τοῦ θυμοῦ. οὐδὲ τοὺς λέγοντας τὰ πολυώνυμα συνώνυμα ἀποδεκτέον, ὡς τὸ ξίφος μάχαιρα σπάθη ἄορ. οὐδὲ γραμματικοὺς ἀποδεκτέον ἀντιδιαστέλλοντας τὰ παρώνυμα τοῖς ὀνοματικοῖς καὶ ῥηματικοῖς. εἰσὶ δὲ ὀνοματικὰ τὸ Τρύφων ἀπὸ τοῦ τρυφὴ καὶ τὸ Θέων ἀπὸ τοῦ θεός, ῥηματικὰ δὲ τὸ Φιλήμων νοήμων ἀπὸ
30 τοῦ φιλῶ καὶ νοῶ. δέον πάντα παρώνυμα καλέσαι, τὰ μὲν ὀνοματικὰ καλοῦσι τὰ δὲ ῥηματικά. ἐφ' οἷς τούτων ζητηθέντων ⟨περὶ⟩ τῆς διαφορᾶς τῶν παρωνύμων, ζητήσωμεν καὶ τῶν ἀφ' ἑνὸς καὶ τῶν πρὸς ἓν τὴν διαφοράν. διαφέρουσι δὲ ταῦτα ἀλλήλων, ὅτι ἐπὶ μὲν τῶν παρωνύμων τεσσάρων χρεία, ὡς εἴρηται, ἐπὶ δὲ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἓν δύο μόνων χρεία,
35 κοινωνίας πράγματος καὶ διαφορᾶς ὀνόματος, ὡς ἐπὶ τοῦ ἰατρικὸν βιβλίον, ἰατρικὸν σμιλίον (οὐκ ἔχουσι γὰρ ὄνομα κοινόν), καὶ ὑγιεινὸν οὖρον καὶ ὑγι-

1 post ὅθεν add. καὶ P   2 πᾶσαι συλλ. coll. HP   3. 4 τελευτέαν H
8 τοῦ ὀνόματος — κοινωνίαν (9) in mrg. suppl. H   13 δὲ om. HP   εἰσιν] δὲ λέγεται Arist.   15 γὰρ om. K   15. 16 τὴν κοινων. — ἀπό τινος in mrg. suppl. H
17 pr. αὐτοῦ] αὐτῷ HP   post δὲ add. καὶ K   οὐ inserui   19 δὲ] an γὰρ?
22 ποιητὴν] Hom. P 720   24 ἴσου P   26 ante μάχ. add. ἢ HP   28 καὶ ῥηματικοῖς in mrg. suppl. P   ὀνοματικὰ scripsi: παρώνυμα HKP   29 τρυφή et θεός scripsi: τρυφῶν et θεῶν HKP (cf. Theod. Alex. p. 273,3 Hilgard; Et. M. p. 464,20)
31 περὶ inserui   34 εἴρηται] p. 142,36   μόνον H

εινὸν σιτίον· ταῦτα γὰρ ὄνομα οὐκ ἔχει κοινὸν ἀλλὰ πρᾶγμα. ταῦτα μὲν ἐπὶ τοσοῦτον. χωρήσωμεν δὲ καὶ ἐπὶ τὴν κατὰ λέξιν ἐξήγησιν.

p. 1a6 Συνώνυμα λέγεται ὧν τὸ ὄνομα κοινὸν καὶ ὁ λόγος τῆς οὐσίας ὁ αὐτός, οἷον ζῷον ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς.

5 Τῷ αὐτῷ κέχρηται παραδείγματι ᾧ καὶ ἐπὶ ὁμωνύμων· κἀκεῖ γὰρ ἔλεγεν οἷον ζῷον ὅ τε ἄνθρωπος καὶ ὁ γεγραμμένος, ἐνταῦθα δὲ οἷον ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς. τοῦτο δὲ πεποίηκεν, ἵνα δείξῃ ὅτι ἐνδέχεται τὸ αὐτὸ καὶ ὁμώνυμον εἶναι καὶ συνώνυμον· ἢ γὰρ τὸ αὐτὸ τῷ αὐτῷ κατὰ τὸ αὐτὸ ὁμώνυμόν ἐστι καὶ συνώνυμον, ὡς οἱ δύο Εὔβουλοι, ἢ τὸ αὐτὸ 10 ἄλλῳ καὶ ἄλλῳ κατ' ἄλλο καὶ ἄλλο ὁμώνυμόν ἐστι καὶ συνώνυμον, ὡς ὁ Σωκράτης τῇ μὲν οἰκείᾳ εἰκόνι ὁμώνυμος τῷ δὲ Πλάτωνι συνώνυμος ὡς ἄνθρωπος, ἢ τὸ αὐτὸ τῷ αὐτῷ κατ' ἄλλο καὶ ἄλλο καὶ ὁμώνυμόν ἐστι καὶ συνώνυμον, ὡς οἱ δύο Αἴαντες (κατὰ γὰρ τὸ Αἴας ὁμώνυμοι, κατὰ δὲ τὸ ἄνθρωπος συνώνυμοι), ἢ τὸ αὐτὸ ἄλλῳ καὶ ἄλλῳ κατὰ τὸ αὐτό, ὡς τὸ 15 παράδειγμα Ἀριστοτέλους· τὸ γὰρ ζῷον τὸ αὐτὸ ἄλλῳ καὶ ἄλλῳ καὶ ὁμώνυμον καὶ συνώνυμον, τῷ μὲν γεγραμμένῳ ζῴῳ ὁμώνυμον, τῷ δὲ ἵππῳ καὶ τῷ βοὶ ὡς ζῴοις συνώνυμον.

p. 1a10 Ἐὰν γὰρ ἀποδιδῷ τις τὸν ἑκάστου λόγον * * ζῴῳ ἐπὶ ἑκατέρου, τὸν αὐτὸν ἀποδώσει λόγον.

20 Ἄλλο ἐστὶν εἰπεῖν | ζῴῳ εἶναι καὶ ζῷον εἶναι καὶ ἀνθρώπῳ εἶναι 237v καὶ ἄνθρωπον εἶναι· ἐπὶ μὲν γὰρ τῶν ἁπλῶν ταὐτόν ἐστιν, οἷον θεῷ εἶναι καὶ θεὸν εἶναι. ἐπὶ δὲ τῶν συνθέτων οὐ ταὐτόν· ἐὰν γὰρ εἴπω 'ἄνθρωπον', τὸ συναμφότερον σημαίνω, τὸ σῶμα καὶ τὴν ψυχήν, ἐὰν δὲ εἴπω 'ἀνθρώπῳ εἶναι' τὸ ἁπλοῦν δηλῶ, οἷον τὴν ψυχήν· αὕτη γὰρ ἡ λογικὴ ψυχὴ εἰ-25 δοποιεῖ τὸν ἄνθρωπον· τὰ γὰρ πράγματα εἴδει κρίνεται, οὐ τῇ ὕλῃ. ἐπειδὴ οὖν τὸ ζῷον ἁπλοῦν ἐστιν ὡς εἶδος, ἀδιαφόρως ὀνομάζειν ἐξῆν. αὐτὸς δὲ ὡς ἄδειαν ἔχων τὸ ζῴῳ εἶναι ἔθηκεν. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

p. 1a16 Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ 30 ἄνευ συμπλοκῆς.

Μετὰ τὰ ὁμώνυμα καὶ συνώνυμα καὶ παρώνυμα, ὧν ἕκαστον ἐδήλου

---

2 χωροῦμεν HP 3 συν. δὲ Arist. τό τε Arist. ὁ κατὰ τοὔνομα λόγος Arist. 4 tert. ὁ om. P 6 τὸ γεγραμμένον Arist. 7 ὅ τε et ὁ om. KP δείξει H1 11 εἰκόννι P ὡς] ὁ P 12 καὶ (ante ὁμών.) om. H 14 ἄλλο (alt. l.) K 16 post μὲν add. γὰρ H 18 ἑκάστου] ἑκατέρου Arist. ante ζώω ἐπὶ ἑκατ. lac. signavi: τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζῴῳ εἶναι Arist. 19 λόγον ἀποδ. coll. Arist. 20 καὶ ἀνθρώπω εἶναι om. P 21 οἷον scripsi: ἐν HKP 24 δηλοῖ K οἷον om. K 27 ἄδιαν P τὸ scripsi: τῶ HKP 28 πρᾶξις om. H

τὸν Ἰαμβλίχειον σκοπὸν περὶ φωνῶν ἁπλῶν ὄντα σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων, ἔρχεται ὁ Ἀριστοτέλης καὶ ἐπὶ αὐτὰς τὰς κατηγορίας. ἀλλὰ πρὸ τῆς τούτων διδασκαλίας διαιρεῖ τὰ λεγόμενα καὶ τὰ ὄντα, τὰ μὲν λεγόμενα εἰς τὰ μετὰ συμπλοκῆς καὶ ἄνευ συμπλοκῆς,
5 τὰ δὲ ὄντα εἰς καθόλου οὐσίαν, καθόλου συμβεβηκός, μερικὴν οὐσίαν, μερικὸν συμβεβηκός. τοῦτο δὲ ποιεῖ, ἵνα δείξῃ ποῖα μὲν λεγόμενά εἰσιν αἱ κατηγορίαι, ὅτι ἄνευ συμπλοκῆς, ποῖα δὲ ὄντα, ὅτι καθόλου οὐσία ⟨καὶ⟩ καθόλου συμβεβηκός, ἀλλ' οὐ μερικὴ οὐσία οὐδὲ μερικὸν συμβεβηκός. ἀμφότερα οὖν διαιρεῖ ὁ Ἀριστοτέλης, καὶ τὰ λεγόμενα καὶ τὰ ὄντα. πλὴν ἐν τούτοις
10 προτάττει τὴν διαίρεσιν τῶν λεγομένων ὡς σύντομον, ἵνα μὴ πρότερον περὶ τῆς ἄλλης διαλεγόμενος τῷ ἐπὶ πολὺν χρόνον περὶ αὐτὴν διατρίβειν μὴ μεμνημένος τῆς ἑτέρας δόξῃ περὶ ἐκείνης μόνης διαλαμβάνειν, ὁπότε καὶ τοῦτο ποιήσαντος αὐτοῦ ἐνόμισαν οἱ μὲν ὅτι περὶ ἑνὸς μόνου διαλαμβάνει· οἱ μὲν γὰρ περὶ φωνῶν μόνων οἱ δὲ περὶ πραγμάτων, ὡς ἀνωτέρω εἴρηται.
15 καὶ μιᾷ δὲ μόνῃ εἰ ἐχρήσατο διαιρέσει, ἢ τῶν λεγομένων μόνων ἢ τῶν ὄντων μόνων, εἶχε καὶ οὕτω τὸ ζητούμενον, διὰ μὲν τῶν λεγομένων τὰ πράγματα, εἰ λέγουσι μὲν αἱ φωναὶ λέγονται δὲ τὰ πράγματα, καὶ τὰ ὄντα μόνον εἰ διεῖλεν εἰς καθόλου οὐσίαν καὶ συμβεβηκός, μερικὴν οὐσίαν, μερικὸν συμβεβηκός, καὶ οὕτως εἶχε τὸ ζητούμενον· τὸ γὰρ καθόλου καὶ μερικὸν
20 τῶν φωνῶν ἡ δὲ οὐσία καὶ τὸ συμβεβηκὸς τῶν πραγμάτων· τρισὶ δὲ διαιρέσεσι χρωμένου τοῦ Ἀριστοτέλους διακεχριμέναις ἀλλήλων, μιᾷ μὲν τῇ λεγούσῃ τὰ μὲν καθόλου οὐσίαν καὶ καθόλου συμβεβηκὸς καὶ μερικὴν οὐσίαν καὶ μερικὸν συμβεβηκός, ἄλλῃ δὲ διαιρέσει τῇ διαιρούσῃ καὶ τὰ μετὰ συμπλοκῆς καὶ τὰ ἄνευ συμπλοκῆς εἰς τὰς δέκα κατηγορίας, τινὲς τὰς διαι-
25 ρέσεις ταύτας τρεῖς οὔσας μίαν συνεχῆ ἐνόμισαν | λέγοντες οὕτως· τῶν 238r λεγομένων τὰ μὲν μετὰ συμπλοκῆς τὰ δὲ ἄνευ συμπλοκῆς, καὶ τὰ ἄνευ συμπλοκῆς εἰς τὰς δέκα κατηγορίας, τὰ δὲ μετὰ συμπλοκῆς εἰς καθόλου οὐσίαν, καθόλου συμβεβηκός, μερικὴν οὐσίαν, μερικὸν συμβεβηκός. πρὸς οὓς λεκτέον ὅτι κακῶς ἀπατᾶσθε ἐκ τῆς προφορᾶς τῆς καθόλου οὐσίας καὶ
30 μερικῆς οὐσίας, καθόλου συμβεβηκότος καὶ μερικοῦ συμβεβηκότος καὶ συμπεπλεγμένα αὐτὰ ἐνομίσατε· τὸ γὰρ συμπεπλεγμένον καὶ τὸ ἁπλοῦν παρὰ Ἀριστοτέλει οὐ τῇ προφορᾷ κρίνεται ἀλλὰ τῷ σημαινομένῳ, καὶ ἁπλῶς παρ' αὐτῷ τὰ σύνθετα τῶν ὀνομάτων, Κόρακος πέτρα, Ἄρειος πάγος, Νεάπολις καὶ αὐτὸ τὸ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν,
35 ὁ ὁρισμός, ἁπλᾶ πάντα ταῦτα παρὰ τῷ Ἀριστοτέλει, ἐπειδὴ ἓν σημαίνουσι πρᾶγμα. σύνθετα δὲ παρ' αὐτῷ τὰ πολλὰ σημαίνοντα, οἷον τὰ ὁμώνυμα

1 ἰαμβλίχιον HKP (cf. p. 136,29) 2. 3 τὰς αὐτὰς coll. K 7 καὶ addidi 8 post pr. συμβ. addita ἀμφότερα οὖν διαιρεῖ ὁ ἀριστοτέλης del. P 11 μὴ om. K 14 ἀνωτέρω] p. 129,9 sq. 15 εἰ ante μόνη coll. K: om. P 16 καὶ οὕτω om. K: οὕτω om. P 21 διακεχριμμένais HP 22. 23 οὐσίαν iter. H 25 συνεχεῖ H[1] 26 δὲ superscr. P 29 ἀπατ.] ἀποκτᾶσθε P προσφορᾶς P 31 συμπεπελμένα P 32 παρὰ] κατὰ H[1] 35 ταῦτα—πρᾶγμα (36) om. P ταῦτα ante πάντα coll. H τῷ om. H 36 post δὲ IV litterae erasae P

πάντα, ὡς τὸ κύων (τοῦτο γὰρ πολλὰ σημαίνει), καὶ αὐτὸ τὸ ῆ μονοσύλλαβον συμπεπλεγμένον ὡς πολλὰ σημαῖνον· ἔστι γὰρ καὶ ἀριθμὸς καὶ ῥῆμα, ἀριθμὸς μὲν ὀκτώ, ῥῆμα δὲ ὡς παρὰ τῷ ποιητῇ

ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,

5 ἀντὶ τοῦ εἶπε, καὶ παρὰ Πλάτωνι 'ἦ δ' ὅς' ἀντὶ τοῦ 'εἶπεν οὗτος'. ἀλλ' ὁ μὲν Ὅμηρος μετὰ τοὺς λόγους τίθησιν αὐτὸ 'ἦ καὶ κυανέῃσιν' ἀντὶ τοῦ εἶπε καὶ ἔοικε τοῦτο τῷ 'ὣς ἔφατο', παρὰ δὲ Πλάτωνι ἀεὶ πρὸ τῶν λόγων τίθεται 'ἦ δ' ὅς' καὶ ἐπάγει τί εἶπε, καὶ ἔοικε τοῦτο τῷ

τὸν δ' ἀπαμειβόμενος.

10 ἀποροῦσι δὲ πάλιν διὰ τί ⟨τὰ⟩ μετὰ συμπλοκῆς τῶν ἄνευ συμπλοκῆς προέταξε. καὶ λέγομεν ἢ ὡς σαφέστερα καὶ γνωριμώτερα (σαφέστερα γὰρ τὰ σύνθετα τῶν ἁπλῶν), καὶ ὅτι τὰ συμπεπλεγμένα θέσιν δηλοῦσι (προηγεῖται δὲ ἀεὶ ἡ θέσις τῆς ἄρσεως), ἢ ἵνα τὸ πέρας τῶν φθασάντων ἀρχὴ τῶν μελλόντων γένηται καὶ λήξῃ μὲν τὸ πρῶτον τμῆμα εἰς ἀπαρίθμησιν
15 ψιλὴν τῶν κατηγοριῶν, ἄρξηται δὲ τὸ δεύτερον ἀπ' αὐτῆς τῆς διδασκαλίας τῶν κατηγοριῶν.

p. 1a19 Οἷον ἄνθρωπος, βοῦς, τρέχει, νικᾷ.

Καλῶς ἐχρήσατο τοῖς παραδείγμασι μεταξὺ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος ἕτερον θεὶς ὄνομα, ἵνα μηδὲ ἄκοντες περὶ τὴν ἀνάγνωσιν σφαλῶμεν
20 καὶ κατὰ συμπλοκὴν αὐτὰ ἀναγνῶμεν. μετὰ συμπλοκῆς γὰρ ἦν τὸ 'ἄνθρωπος τρέχει' ὅλον τοῦτο, ἀλλὰ καὶ χωρὶς συμπλοκῆς δυνατὸν αὐτὰ ἀναγνῶναι, 'ἄνθρωπος' ἰδίᾳ καὶ 'τρέχει' ἰδίᾳ. ἀλλ' εἰ οὕτως αὐτὰ ἔθηκεν 'ἄνθρωπος, τρέχει', ἴσως ἐσφάλλετό τις περὶ τὴν ἀνάγνωσιν κατὰ συμπλοκὴν αὐτὰ νομίζων εἶναι. μεταξὺ δὲ κειμένου του ὀνόματος ἄνθρωπος, βοῦς,
25 τρέχει, νικᾷ, οὐδὲ ἄκοντες ἁμαρτάνομεν περὶ τὴν ἀνάγνωσιν. ῥήμασι δὲ ἐχρήσατο τρίτου προσώπου καὶ οὐ πρώτου οὐδὲ δευτέρου, | ἐπειδὴ ταῦτα 238r ὡρισμένα εἰσὶ τὰ πρόσωπα· ἢ γὰρ ἀφ' οὗ ὁ λόγος ἢ πρὸς ὃν ὁ λόγος. τὰ δὲ τοῦ τρίτου προσώπου ῥήματα κἂν πρόσωπον εἰσάγωσιν, ἀλλ' ἀόριστον εἰσάγουσι πρόσωπον· πᾶν μὲν γὰρ ὁριστικὸν ῥῆμα πρόσωπον εἰσάγει καὶ
30 ταύτῃ δοκεῖ συμπεπλεγμένον εἶναι, τὰ δὲ τοῦ τρίτου προσώπου ῥήματα κἂν πρόσωπον εἰσάγωσιν ἐξ ἀνάγκης, τῷ ἀόριστον εἰσάγειν πρόσωπον δοκοῦσι

---

1 γὰρ om. P 3 ποιητῇ] Hom. A 528 4 καὶ om. P 5 καὶ παρὰ iter. P Πλάτ.] Phaedo p. 70B alias 6 τοὺς λόγους Paris. 2051: τῆς λογικῆς HKP ἦ—ἔφατο (7) in mrg. suppl. H κυαν.] ἀνέησιν P 8 τῷ Paris 2051: om. HKP 9 τὸν δ' ἀπαμ.] Hom. A 130 al. 10 τὰ ex Philop. (p. 27,10) inserui: om. HKP τῶν ἄνευ συμπλ. in mrg. suppl. H 12 συμπεπελμένα P post θέσιν inseras τὰ δὲ ἁπλᾶ ἄρσιν (ὡς θέσιν μὲν τῶν συνθέτων εἰσηγουμένων ἄρσιν δὲ τῶν ἁπλῶν Urb. 35) 13 ἀεὶ om. H 18 καλοῖς P 20 ἦν scripsi: ἦσαν HKP (ἔστι Paris. 2051) 21. 22. 23 αὐτὰ Paris. 2051: αὐτὸ HKP 23 ἐσφάλετο H¹P τις] τι ὁ HP 24 τοῦ libri: an ἑτέρου? (cf. v. 19) 27 ἢ . . ἢ] καὶ . . καὶ K 28 τοῦ om. P 30 συνπεπελμένον P (fere constanter) 31 εἰσαγάγωσιν H: εἰσάγουσιν P τῷ] τὸ HP

μὴ εἶναι συμπεπλεγμένα· καὶ ἐχρήσατό γε ἀπαρεμφάτοις ῥήμασιν, ἅτινα οὐδὲ ὅλως εἰσὶ συμπεπλεγμένα τῷ μὴ πρόσωπον εἰσάγειν ὅλως, εἰ μὴ ὅτι τὸ πρῶτον παράδειγμα ἀναλῦσαι ἐζήτει τῷ κατὰ συμπλοκὴν καὶ ἄνευ συμπλοκῆς αὐτὸ ποιῆσαι.

5 p. 1a20 Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν.

Μετὰ τὴν διαίρεσιν τῶν λεγομένων ἔρχεται καὶ ἐπὶ τὴν διαίρεσιν τῶν ὄντων. καὶ δύο λαμβάνει ἀντιθέσεις, μίαν ἐκ τῶν λεγομένων καὶ μίαν ἐκ τῶν ὄντων, ἐκ μὲν τῶν λεγομένων καθόλου καὶ μερικόν, ἐκ δὲ τῶν 10 ὄντων οὐσίαν καὶ συμβεβηκός. καὶ τέσσαρας ποιεῖ συμπλοκάς, καθόλου οὐσίαν, καθόλου συμβεβηκός, μερικὴν οὐσίαν, μερικὸν συμβεβηκός. καὶ προτάττει ἐν τούτοις τὴν καθόλου οὐσίαν καὶ ὡς καθόλου καὶ ὡς οὐσίαν. δεύτερον δὲ τάττει τὸ μερικὸν συμβεβηκὸς ὡς πάντῃ ἀντικείμενον τῇ καθόλου οὐσίᾳ, ἐσχάτου ὀφείλοντος αὐτοῦ ταγῆναι ὡς ὄντος συλλογῆς τῶν 15 χειρόνων καὶ ἑλκομένου ὑπὸ τῆς καθόλου οὐσίας· τῶν γὰρ ἀντικειμένων μία ἡ γνῶσις. τῶν δὲ λοιπῶν δύο δικαιολογουμένων καὶ τοῦ μὲν λέγοντος οὐσίας εἶναι τοῦ δὲ καθόλου εἶναι, τὸ κῦρος δίδωσι καὶ τὴν ψῆφον τῷ καθόλου συμβεβηκότι διὰ τέσσαρας αἰτίας· ἢ ὅτι τῷ καθόλου αἱ κατηγορίαι χαρακτηρίζονται καὶ οὐχὶ τῷ οὐσίαι εἶναι, ἢ ὅτι τὸ καθόλου ἐπι- 20 στήμονας ἡμᾶς ποιεῖ, οὐ τὸ μερικόν, ἢ ὅτι ταύτῃ προὔχομεν τῶν ἀλόγων τῷ γινώσκειν τὰ καθόλου, ἐπεὶ εἰς τὴν μερικὴν γνῶσιν προὔχουσιν ἡμῶν τὰ ἄλογα, ἔχοντά τινα αἴσθησιν ἡμῶν ἀκριβεστέραν, ἢ ἵνα ἀπὸ οὐσίας ἄρξηται καὶ εἰς οὐσίαν λήξῃ καὶ μέσα φυλάξῃ τὰ συμβεβηκότα ὡς ἀσθενῆ· πανταχοῦ γὰρ τὸ

25 κακοὺς δ' ἐς μέσσον ἔλασσεν·

οὕτω γὰρ καὶ ἐπὶ τῶν οὐρανίων ἔχει καὶ ὑπὸ σελήνην· τὰ μὲν οὐράνια περιέχει, περιέχεται δὲ τὰ ὑπὸ σελήνην, κἀν τοῖς ὑπὸ σελήνην πράγμασι πάλιν τὰ ὑγρὰ καὶ διαρρέοντα, ὕδωρ καὶ ἀήρ, συσφίγγεται ὑπὸ τῶν ξηρῶν, πυρὸς καὶ γῆς. καὶ ταῦτα μὲν περὶ τούτων.

30 Ἀλλ' εἰ μὲν οὕτως ἦν ὀνομάσας αὐτὸς ὁ Ἀριστοτέλης ὡς ἡμεῖς, καθόλου οὐσίαν, καθόλου συμβεβηκός, μερικὴν οὐσίαν, μερικὸν συμβεβηκός, πραγμάτων ἂν ἦμεν | ἀπηλλαγμένοι. ἐπειδὴ δὲ οὐχ οὕτως αὐτὰ ὀνο- 239r μάζει, ἀλλ' ἤμειψε τὰ ὀνόματα, ἄξιον ζητῆσαι διὰ τί ἤμειψε τὰ ὀνόματα. καὶ λέγομεν τούτου δύο αἰτίας· ἢ γὰρ διὰ τὸ ὑπογράψαι ἅμα καὶ ὑπο-

---

1 ἐχρήσατό γε] ἔχοντα τό γε P 2 εἰσὶ—ὅλως in mrg. suppl. P εἰσάγει P 3 τῷ scripsi: τὸ libri 6 οὐδέν H 10 καὶ τέσσαρες — alt. συμβεβηκός (11) in mrg. suppl. P 11 μερικὴν (alt. l.) P 12 καὶ ὡς καθ.—οὐσίαν om. K 14 αὐτῷ P συλλογὴ HP 16 γνῶσις] λύσις K 17 λέγοντος] λόγου P οὐσία HK 18 alt. τῷ] τὸ HP 19 οὐσία HP τὸ om. P 25 κακοὺς δ' ἐς . .] Hom. Δ 299 μέσον ἤλασεν libri 26 γὰρ om. K 29 καὶ (ante γῆς) superscr. H 32 ἀπήλαγμ. P

στῆσαι τὰ πράγματα· ἐν γὰρ τῷ λέγειν καθ' ὑποκειμένου καὶ ὑπέγραψεν αὐτὰ καὶ ὑπέστησεν· ἐν τῷ γὰρ καθ' ὑποκειμένου τὸ κατά τινος δηλοῖ κατηγορεῖσθαι. τὰ αὐτὰ κἀπὶ τῶν ἄλλων ἂν εἴποις. ἢ ἵνα δείξῃ ὅτι οὐκ ἔστι τι τούτων τῶν τεσσάρων περαιτέρω· διὰ τοῦτο γὰρ καὶ ἀντιφατικῶς 5 αὐτὰ προήγαγεν, ἵνα μηδὲ ἄκοντες σφαλῶμεν καὶ νομίσωμέν τι μέσον εἶναι τούτων· πάντως γὰρ δύο πραγμάτων καταφατικῶς προφερομένων καὶ ἀντικειμένων ἀλλήλοις νομίζεταί τι μέσον εἶναι διὰ τὸ ἄλλων ὁμοίως καταφατικῶς προφερομένων εὑρῆσθαί τι μέσον, οἷον ἀρτίου καὶ περισσοῦ, νόσου καὶ ὑγείας νομίζεταί τι μέσον εἶναι διὰ τὸ ἐπ' ἄλλων εὑρῆσθαι ἀντι- 10 κειμένων, οἷον λευκοῦ καὶ μέλανος τὸ φαιὸν καὶ θερμοῦ καὶ ψυχροῦ τὸ χλιαρόν. οὕτω καὶ ἐπὶ τούτων εἰ προήγαγεν αὐτὰ καταφατικῶς, ἵνα εἴπῃ καθόλου μερικὸν οὐσίαν συμβεβηκός, ἐνομίζετό τι εἶναι μέσον τούτων. ἐπειδὴ δὲ οὐδέν ἐστι μέσον τούτων, ἀντιφατικῶς αὐτὰ προήγαγε, τὸ μὲν καθόλου καλῶν καθ' ὑποκειμένου τὸ δὲ μερικὸν οὐ καθ' ὑποκει- 15 μένου, καὶ τὸ συμβεβηκὸς ἐν ὑποκειμένῳ τὴν δὲ οὐσίαν οὐκ ἐν ὑποκειμένῳ· τῶν γὰρ ἀντιφατικῶς προφερομένων οὐκ ἔστι τι μέσον εὑρεῖν. ἀντίφασις δέ ἐστι μάχη καταφάσεως καὶ ἀποφάσεως, οἷον ὡς ἐὰν εἴπῃς 'λευκόν ἐστι — λευκὸν οὐκ ἔστι'· τούτου γὰρ οὐδέν ἐστι μέσον. καὶ ταῦτα ἐν τούτοις.

Λοιπὸν δὲ ζητείσθω διὰ τί τεσσάρων ὄντων τὰ δύο μόνα ὑπογράφει, τὸ 20 συμβεβηκὸς καὶ τὸ μερικόν. καὶ λέγομεν ὅτι ὡς μὲν σύντομος τὰ δύο μόνα ὑπογράφει, ὡς δὲ τεχνίτης δύο οὐ τὰ τυχόντα, ἀλλὰ μίαν ἀφ' ἑκατέρας ἔλαβεν ἀντίθεσιν κελεύων ἡμᾶς τοῦ λοιποῦ ἔννοιαν ἔχειν· διὰ γὰρ τοῦ ἐν ὑποκειμένῳ ἐρχόμεθα εἰς ἔννοιαν τοῦ οὐκ ἐν ὑποκειμένῳ, διὰ δὲ τοῦ ⟨οὐ καθ'⟩ ὑποκειμένου ἐρχόμεθα εἰς ἔννοιαν τοῦ καθ' ὑποκειμένου 25 μὲν οὐκ ἐν ὑποκειμένῳ δέ. ὡς δὲ κηδεμὼν τῶν χειρόνων ταῦτα ὑπογράφει, ἵνα μὴ δι' ἀμυδρότητα τοῦ εἶναι ὀλισθήσῃ πως καὶ δόξῃ μηδ' ὅλως εἶναι.

p. 1a24 Ἐν ὑποκειμένῳ δὲ λέγω ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι.

Τεσσάρων φωνῶν γνωστῶν ἡμῖν οὐσῶν, ⟨τοῦ⟩ ἐν ὑποκειμένῳ, οὐκ ἐν 30 ὑποκειμένῳ, τοῦ καθ' ὑποκειμένου, οὐ καθ' ὑποκειμένου, δύο μόνας ἐκ τούτων ὑπογράφει ὁ φιλόσοφος καὶ ταύτας τὰς χείρονας, τὸ ἐν ὑποκειμένῳ ⟨καὶ τὸ οὐ καθ' ὑποκειμένου⟩, τοῦτ' ἔστι τὸ συμβεβηκὸς καὶ τὸ μερικόν. καὶ προτάττει τὸ ἐν ὑποκειμένῳ τοῦ μερικοῦ, διότι τοῦτο | δύναται καὶ καθόλου εἶναι 239v καὶ αἱ κατηγορίαι δὲ τῷ καθόλου κρίνονται, οὐχὶ τῷ μερικὸν εἶναι, τὸ δὲ 35 μερικὸν καθόλου οὐδέποτε δύναται εἶναι. ἰστέον μέντοι ὅτι τοῦ ἐν ὑποκειμένῳ ὁρισμὸς οὐκ ἔστιν ὡς ὁμωνύμου· ἐννέα γὰρ κατηγορίας περιέχει. καθόλου δὲ εἰπεῖν οὐδεμιᾶς ὁμωνύμου φωνῆς ἐστιν ὁρισμός, εἴ γε οἱ ὁρισμοὶ κοινωνίαν

---

1 τῷ] τὸ HP καὶ ὑπέγρ. — ὑποκειμένου (2) in mrg. suppl. P 3 τοῖς ἄλλοις K 4 παραιτέρω P 11 αὐτὸς K εἶπε HK 12 τι post εἶναι coll. P: om. K 17 δὲ] an γὰρ? εἴποις HP 19 λοιπὸν — εἶναι (26) fort. eicias (cf. v. 29 sq.) δὲ om. KP 20 ὅτι om. KP 24 οὐ καθ' inserui 27 ὑπάρχων P1 29 τοῦ inserui 32 καὶ τὸ οὐ καθ' ὑποκειμένου inserui 34 alt. τῷ] τὸ P 37 οὐ μιᾶς KP

πράγματος ἐπιζητοῦσι, τὰ δὲ ὁμώνυμα κοινωνίαν ὀνόματος. πλὴν ἡ ὑπογραφὴ τοῦ ἐν ὑποκειμένῳ ἔχει τὸ ἀναλογοῦν ὁρισμῷ· αὐτὸ γὰρ τὸ ἔν τινι γένει ἀναλογεῖ, συστατικαῖς δὲ διαφοραῖς τὸ μὴ ὡς μέρος ὑπάρχον καὶ τὸ ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι. τεσσάρων δὲ χρεία, ἵνα γένηται
5 τὸ ἐν ὑποκειμένῳ· θέλει γὰρ εἶναι ἔν τινι πάντως (ἰδοὺ γὰρ ὁ νοῦς, ἤγουν ἡ λογικὴ ψυχή, οὐκ ἔστι συμβεβηκός, ἐπειδὴ οὐδὲ ἔν τινί ἐστι), θέλει μὴ ὡς μέρος ὑπάρχειν (ἰδοὺ γὰρ ἡ χεὶρ ἔν τινι οὖσα, τῷ σώματι, οὐκ ἔστι συμβεβηκός, ἐπειδὴ μέρος ἐστὶ τοῦ σώματος), θέλει τὸ μὴ δύνασθαι χωρὶς ὑποστῆναι (ἰδοὺ γὰρ ὁ Σωκράτης ἔν τινί ἐστι τόπῳ, ἐν Λυκείῳ, καὶ
10 μὴ ὢν μέρος τοῦ τόπου οὐκ ἔστι συμβεβηκός, ἐπειδὴ δύναται χωρὶς τοῦ τόπου ἐκείνου εἶναι), θέλει καὶ ἐν αὐτῷ τὴν ὕπαρξιν ἔχειν· ἰδοὺ γὰρ ὁ Σωκράτης ἔν τινι χρόνῳ ὤν, ἐν τῷ Πελοποννησιακῷ, καὶ μὴ ὢν μέρος τῶν χρόνων καὶ μὴ δυνάμενος αὐτῶν χωρισθῆναι, οὐκ ἔστι συμβεβηκός, ἐπειδὴ μὴ τὸ εἶναι ἔσχεν ἐν τῷ χρόνῳ· οὐ γὰρ ἡ οὐσία ἐν χρόνῳ τὸ εἶναι ἔχει
15 συμβεβηκότι ὄντι, ἀλλ' ὁ χρόνος ἐν τῇ οὐσίᾳ ἔχει τὸ εἶναι ὡς συμβεβηκός. ἕνδεκα δὲ συμαινόμενά εἰσι τοῦ ἔν τινι· ἢ γὰρ ἐν χρόνῳ, ὡς ὁ Σωκράτης ἐν τοῖς Πελοποννησιακοῖς, ἢ ἐν τόπῳ, ὡς ἐν Λυκείῳ ὁ Σωκράτης, ἢ ἐν ἀγγείῳ, ὡς ὁ οἶνος ἐν τῷ ἀμφορεῖ καὶ οἱ πυροὶ ἐν τῷ μεδίμνῳ (καὶ εἴη ἂν ὁ μὲν τόπος ἀγγεῖον ἀκίνητον τὸ δὲ ἀγγεῖον τόπος κινούμενος), ἢ ὡς
20 ὅλον ἐν μέρεσιν, ὡς ὁ δέκα ἐν τῷ ἑπτὰ καὶ τρία, ἢ ὡς μέρη ἐν ὅλῳ, ὡς ὁ ἑπτὰ καὶ τρία ἐν τῷ δέκα (καὶ ὅλως τὸ μὲν ὅλον ἑνικῶς λέγεται, τὰ δὲ μέρη πληθυντικῶς, ἐπειδὴ μία μὲν ἡ ὁλότης, πολλὰ δὲ τὰ μέρη), ἢ ὡς γένος ἐν εἴδει, ὡς τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ, ἢ ὡς εἶδος ἐν γένει, ὡς ὁ ἄνθρωπος ἐν τῷ ζῴῳ (καὶ ἐνταῦθα μὲν εἰκότως ἑνικῶς ἐκφωνεῖται
25 ἀμφότερα, γένος ἐν εἴδει καὶ εἶδος ἐν γένει, ἐπὶ δὲ ὅλου καὶ μερῶν τὸ μὲν ὅλον ἑνικῶς τὰ δὲ μέρη πληθυντικῶς, ἐπειδὴ τὸ μὲν ὅλον ἑνὶ μέρει ἑαυτὸ ὁλόκληρον οὐ δύναται παρασχεῖν, τὸ δὲ γένος ὅλον ἑαυτὸ ἑνὶ εἴδει παρέχει· ἰδοὺ γὰρ τοῦ ὁρισμοῦ ἐπίσης ἅπαντα μετέχει), ἢ ὡς εἶδος ἐν ὕλῃ, ὡς τὸ εἶδος τοῦ ἀνδριάντος ἐν τῷ χαλκῷ, ἢ ὡς ἐν ποιητικῷ, καθό φαμεν ὅτι
30 οὐκ ἔστιν ἐν ἐμοὶ τὸ πρᾶγμα, ἀλλ' ἐν τῇ | φύσει τῇ δημιουργούσῃ τὸ 240r ἔμβρυον ἢ ἐν τῷ ἄρχοντι, ἢ ὡς ἐν τελικῷ, καθό φαμεν ἐν φιλοσοφίᾳ ἔχειν τὰς ἐλπίδας, ἢ ὡς ἐν ὑποκειμένῳ, καθό φαμεν τὸ συμβεβηκὸς ἐν τῇ οὐσίᾳ. ταῦτα τὰ ἕνδεκα σημαινόμενα τοῦ ἔν τινι ὑπὸ τὴν ποῦ κατηγορίαν ἀνάγει ὁ Ἀριστοτέλης· ἕκαστον γὰρ τούτων δηλοῖ τόδε ἐν τῷδε κεῖσθαι,
35 τὸ δὲ κεῖσθαι τῆς ποῦ κατηγορίας. ταῦτα δὲ τὰ ἕνδεκα τοῦ κατὰ φύσιν ἔν τινι σημαινόμενα· εἰσὶ γὰρ καὶ παρὰ φύσιν, ὡς ἡ φθορὰ ἐν τῷ φθειρομένῳ καὶ τὸ πῦρ ἐν τῷ ξύλῳ· καθόλου γὰρ ἡ φθορὰ ἐν τῷ φθειρομένῳ παρὰ φύσιν.

---

1 ἡ om. H 2 αὐτῷ P post τινι addita μέρος ὑπάρχων (sic) καὶ τὸ ἀδύνατον χωρὶς εἶναι del. P 5 ἤγουν om. P 10 pr. τοῦ om. HP 14 τῷ om. K 20 τῷ] τοῖς K τρισίν K 21 ὡς om. H 22 ἡ Paris. 2051: om. HKP 24 ὁ om. HP 25 τὰ ἀμφότ. P 27 εἴδη P 30 φύσει τῇ om. K: τῇ om. H 31 ἔβρυον P ἢ (ante ὡς) om. KP 36 καί scripsi: τὰ libri 36. 37 post φθειρομ. additum παρὰ φύσιν del. P 37 ἡ om. KP

Ἀποροῦσι δέ τινες τρεῖς ἀπορίας· πρώτην μὲν ὅτι κατὰ ποῖον σημαινόμενον τῶν ἕνδεκα τὸ σημεῖον ἐν τῇ γραμμῇ. καὶ λέγομεν ὅτι ὡς εἶδος ἐν ὕλῃ· εἰδοποιεῖ γὰρ τὴν πεπερασμένην γραμμὴν τὸ σημεῖον. δευτέρα ἀπορία ἡ λέγουσα, εἰ τὸ ὅλον ἐν τοῖς μέρεσιν, οὐδὲν δέ ἐστι τὸ ὅλον παρὰ 5 τὰ μέρη, πῶς οὐκ αὐτὸ ἐν ἑαυτῷ εὑρίσκεται. πρὸς ὅ φαμεν ὅτι οὐκ ἀρκεῖ ἡ συνδρομὴ ὅλων τῶν μερῶν πρὸς τὸ γενέσθαι τὸ ὅλον, ἀλλὰ χρεία καὶ θέσεως καὶ σχήματος καὶ τοῦ ἐπιγινομένου εἴδους. τρίτη ἀπορία ἡ λέγουσα ὅτι πῶς τὸ ἐν ὑποκειμένῳ, συμβεβηκὸς ὄν, ἀντιδιέστειλε τῷ τόπῳ καὶ τῷ χρόνῳ συμβεβηκόσιν οὖσι καὶ αὐτοῖς. καὶ λέγομεν ὅτι οὐ τῷ τόπῳ 10 καὶ τῷ χρόνῳ αὐτὸ ἀντιδιέστειλε, συμβεβηκόσιν οὖσιν, ἀλλὰ ταῖς ἐν τόπῳ καὶ χρόνῳ οὐσίαις οὖσιν.

p. 1a24 Ἐν ὑποκειμένῳ δὲ λέγω.

Καλῶς εἶπε λέγω, ἐπειδὴ αὐτὸς οὕτως αὐτὰ ὠνόμασεν· ὅπου γὰρ ἄλλων εἰσὶν αἱ θέσεις, τὸ λέγεται τίθησιν, ⟨οἷον⟩ ὁ μώνυμα δὲ λέγεται 15 καὶ συνώνυμα λέγεται. ἐδείξαμεν δὲ τὴν παροῦσαν ὑπογραφὴν πῶς ἔχει τὸ ἀναλογοῦν γένει καὶ συστατικαῖς διαφοραῖς καὶ ὅτι αὕτη ἡ ὑπογραφὴ χωρίζει αὐτὸ ἀπὸ τῶν δέκα σημαινομένων τοῦ ἔν τινι· διὰ γὰρ τοῦ ἔν τινι ἐχώρισεν αὐτὸ ἀπὸ τοῦ ὡς ὅλον ἐν μέρεσι· τοῦτο γὰρ οὐχ ὡς ἄλλο ἐν ἄλλῳ, ἀλλ' ὡς αὐτὸ ἐν ἑαυτῷ δοκεῖ εἶναι. διὰ δὲ τοῦ εἰπεῖν 20 μὴ ὡς μέρος ἐχώρισεν ἀπὸ τοῦ ὡς μέρος ἐν ὅλῳ καὶ τοῦ ὡς γένος ἐν εἴδει καὶ ὡς εἶδος ἐν γένει· δοκεῖ γάρ πως, κἂν μὴ κυρίως, μέρος εἶναι τοῦ εἴδους τὸ γένος· προσλαβὸν γὰρ τὰς διαφορὰς ἀποτελέσαι τὸ εἶδος. καὶ τὸ εἶδος μέρος δοκεῖ εἶναι τοῦ γένους ὡς μερικώτερον αὐτοῦ· οὐδὲ γὰρ εἶπεν 'ὃ ἔν τινι μέρος ὑπάρχον', ἀλλὰ μὴ ὡς μέρος ὑπάρχον, ἐπειδὴ 25 ταῦτα οὐ κυρίως μέρη. διὰ δὲ τοῦ εἰπεῖν ⟨ἀδύνατον χωρὶς εἶναι⟩ ἐν ᾧ ἐστι, καὶ ὃ λέγομεν ἐν αὐτῷ τὴν ὕπαρξιν ἔχειν, ἐχώρισεν αὐτὸ ἀπὸ τοῦ χρόνου, ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ ποιητικοῦ, ἀπὸ τοῦ τελικοῦ· οὐδὲ γὰρ ἐν τούτοις ἔχει τὸ εἶναι, ὡς ἐδείξαμεν. τοῦ γὰρ ὡς εἶδος ἐν ὕλῃ χωρίζει αὐτὸ τὰ χωρίζοντα ἀπὸ τοῦ ὡς γένος ἐν εἴδει.

30 p. 1a24 Ἐν ὑποκειμένῳ δὲ λέγω. |

Ἐπειδὴ ἔγνωμεν τὴν ὑπογραφὴν τοῦ ἐν ὑποκειμένῳ καὶ ἐδείξαμεν 240v ὅτι ἔχει τὸ ἀναλογοῦν γένει καὶ συστατικαῖς διαφοραῖς, γένει τὸ ἔν τινι,

---

7 ἐπιγινομ. Paris. 2051: ἐπιγενομ. HKP 8 ὅτι om. KP 9 ὅτι om. P 10 αὐτῶ P 14 οἷον inserui δὲ post συνώνυμα transponas 15 ἐδείξαμεν] p. 149,1 16 αὕτη] αὐτὴ HP 18 ἐχώρησεν KP 19 ἄλλο ex ἄλλω corr. P 20 ἐχώρησεν K[1]P alt. μέρος] l. μέρη (cf. p. 149,20) 22 τὸ εἶδος τοῦ γένους K προσλαβὼν HP ἀποτελέσαι (sc. δοκεῖ) scripsi: ἀποτελέσει libri 25 ἀδύνατον χωρὶς εἶναι inserui 26 an ὃ καὶ ἐλέγομεν? (cf. p. 149,11) 26. 27 corrigas τοῦ ἐν χρόνῳ ἀπὸ τοῦ ἐν τόπῳ ἀπὸ τοῦ ἐν ποιητικῷ ἀπὸ τοῦ ἐν τελικῷ 27 οὐδὲ] an οὐδὲν? 28 ἐδείξαμεν] p. 149,12 sq. γὰρ] an δὲ? 31 ἐν superscr. K 32 τὸ] τῶ K

συστατικαῖς δὲ διαφοραῖς τὰ λοιπά, φέρε πρὸς τὴν ὑπογραφὴν συστᾶσαν τὰς προσηκούσας ἀπορίας ἀπορήσωμεν. αὗται δέ εἰσιν αἱ πλεονεξίαν καὶ μειονεξίαν κατηγοροῦσαι. καὶ αἱ μὲν κατηγοροῦσαι πλεονεξίαν ἐπιχειροῦσιν οὕτως· ὅτι καὶ οὐσίαις ἁρμόζει αὕτη ἡ ὑπογραφή· ἰδοὺ γὰρ ὁ Σωκράτης
5 ἔν τινί ἐστι τόπῳ καὶ οὐκ ἔστι μέρος τοῦ τόπου καὶ οὐ δύναται χωρισθῆναι τοῦ τόπου (πάντως γὰρ ἐν τόπῳ ἐστί), καὶ ὅμως οὐκ ἔστι συμβεβηκός. πρὸς ὅ φαμεν ὅτι ὁποῖον λαμβάνετε τόπον; εἰ μὲν τὸν καθ' ἕκαστα, τούτου χωρίζεται, εἰ δὲ τὸν καθόλου, οὐδ' ὅλως ἐστὶν ἐν αὐτῷ. εἰ δὲ στενούμενοι εἴπωσιν ὅτι οὔτε τὸν καθ' ἕκαστα ὡρισμένον φαμὲν οὔτε τὸν καθόλου, ἀλλὰ
10 τὸν μερικόν, ὅστις ἀόριστός ἐστι, πάντως δὲ ἔν τινι τόπῳ ὁ Σωκράτης, ἡμεῖς φαμεν ὅτι ἡ τελευταία διαφορὰ τῆς ὑπογραφῆς οὐχ ἁρμόζει αὐτῷ, τὸ μὴ δύνασθαι χωρὶς ὑποστῆναι· οὐδὲ γὰρ ὁ Σωκράτης οὐσία ὢν ἐν τόπῳ ἔχει τὸ εἶναι συμβεβηκότι ὄντι, ἀλλ' εἰ ἄρα ὁ τόπος ἐν τῇ οὐσίᾳ ἔχει τὸ εἶναι. αὕτη πρώτη ἀπορία. δευτέρα ἀπορία· ὅτι ἰδοὺ τὸ ὅλον ἐν τοῖς μέρεσι καὶ
15 οὐκ ἔστι τὸ ὅλον μέρος τῶν μερῶν καὶ οὐ δύναται τὸ ὅλον τῶν μερῶν χωρισθῆναι, καὶ ὅμως οὐκ ἔστι συμβεβηκός. πρὸς ὅ φαμεν ὅτι ἡ ὑπογραφὴ ἔν τινι εἶχεν, οὐκ ἔν τισι· τὸ δὲ ὅλον ἔν τισι λέγεται εἶναι, οὐκ ἔν τινι· τοὐλάχιστον γὰρ ἐν δύο μέρεσι τὸ ὅλον θεωρεῖται. διὸ καὶ ἐπαποροῦσιν ὅτι καὶ τὸ ὅλον ἔν τινι λέγεται· ἓν γὰρ τῶν ἕνδεκα σημαινομένων
20 ἐλέγετο εἶναι τοῦ ἔν τινι τὸ ὡς ὅλον ἐν μέρεσι. καὶ λέγομεν ὅτι τοῦτο εἴρηται πρὸς ἔνδειξιν τοῦ μὴ δύνασθαι τὸ συμβεβηκὸς καθ' αὑτὸ ὑπάρχειν, καὶ ὅτι ἑνικὴ μὲν ἡ ἐκφώνησις τοῦ ἔν τινι, πλῆθος δὲ σημαίνει· ἔν τινι γὰρ πλήθει τῶν μερῶν τὸ ὅλον ἢ ἔν τινι ποσότητι μερῶν θεωρεῖται. καὶ ἄλλως δὲ ταῦτα διακέκριται, ὅτι τὸ μὲν ὅλον δοκεῖ ἐν τοῖς μέρεσιν αὐτοῦ
25 ὡς αὐτὸ ἐν ἑαυτῷ εἶναι, τὸ δὲ συμβεβηκὸς ἄλλο ἐν ἄλλῳ ἐστίν. ἄλλη ἀπορία ἡ λέγουσα ὅτι τὸ εἶδος ἐν τῇ ὕλῃ καὶ οὐκ ἔστι μέρος τῆς ὕλης καὶ οὐ χωρίζεται τῆς ὕλης (χωριζόμενον γὰρ φθείρεται), καὶ ὅμως οὐκ ἔστι συμβεβηκὸς ὡς εἶδος καὶ ὡς εἰδοποιὸν τὸ εἶδος αὐτό, ἀλλ' οὐσία· τοῦ γὰρ εἰδοπεποιημένου οὐσία ἐστί. πρὸς ὅ φαμεν ὅτι συμβεβηκὸς τὸ εἶδος·
30 τῇ γὰρ ὕλῃ συμβέβηκεν, ἐπειδὴ καὶ χωρίζεται αὐτῆς. τοῦ μέντοι συνθέτου οὐσία ἐστὶ τὸ εἶδος καὶ ἡ ὕλη, ὡς συμπληρωτικὰ αὐτοῦ. διὸ καὶ μέρη αὐτοῦ λέγεται, οὐκ ἀλλήλων μέρη· οὐδὲν γὰρ τοῦ λοιποῦ δύναται | παρ' 241r ἑαυτὸ μέρος εἶναι· οὐδὲ γὰρ ὁ ἑπτὰ τοῦ τρία λοιποῦ ὄντος παρ' ἑαυτὸν δύναται μέρος τοῦ δέκα εἶναι. αὗται αἱ ἀπορίαι τῶν πλεονασμὸν κατη-
35 γορούντων. οἱ δὲ ἔλλειψιν κατηγοροῦντες ἐπιχειροῦσι λέγοντες οὕτως· ὅτι οὐ παντὶ συμβεβηκότι ἁρμόζει αὕτη ἡ ὑπογραφή, εἰ μὴ τῷ

1 ὑπογρ. συστ.] ὑποκειμένην συστασίαν K 7 λαμβάνεται HP 8 εἰ δὲ τὸν] ὁ δὲ τῶν P στερούμενοι KP 9 φαμὲν superscr. H 13 συμβ.—εἶναι om. K εἰ scripsi: ἢ HP 14 δευτέρα δὲ P 19 ἕνδεκα scripsi: δέκα libri (cf. p. 149,16) 20 καὶ λέγομεν—ἔν τινι (22) iter., sed delendo corr. K 25 ἄλλο alt. l.) P 30 καὶ] scribas οὐ 32 οὐδὲν] οὐδὲ P 33 ἑαυτὸ Urb. 35: ἑαυτῷ HKP μέρος—ἑαυτὸν in mrg. suppl. H οὐδὲ—εἶναι (34) om. P ἑαυτὸν Urb. 35: ἑαυτῷ HK 34 τοῦ δέκα eicias

ἀχωρίστῳ. πρὸς ὅ φαμεν ὅτι ὅσον μὲν ἐπὶ τὸ χωρίζεσθαι ἢ μὴ χωρίζεσθαι τοῦ συμβεβηκότος τὸ μὲν χωριστὸν τὸ δὲ ἀχώριστον, ὅσον δὲ ἐπὶ τὸ μὴ δύνασθαι χωρὶς ὑποστῆναι πᾶν συμβεβηκὸς χωριστὸν ἀχώριστον· οὐδὲ γὰρ εἶπεν 'ὅ ἀδύνατον χωρισθῆναι', ἀλλ' ὃ ἀδύνατον χωρὶς ὑποστῆναι.
5 εἶτά φασιν ὅτι δύναται χωρὶς ὑποστῆναι συμβεβηκός· ἰδοὺ γὰρ ἡ εὐωδία τοῦ μήλου, συμβεβηκὸς οὖσα, καταλείψασα τὸ μῆλον μένει ἐν τῷ αἰσθητηρίῳ ἢ τῷ κιβωτίῳ. λύουσι τοῦτο διάφοροι, ὁ μὲν Πλάτων ὅτι οὐκ ἐχωρίσθη τοῦ ὑποκειμένου· μετά τινων γὰρ λεπτῶν ἀπορροιῶν χωρεῖ πρὸς ἡμᾶς, ὡς δηλοῖ ἡ κατὰ μέσον αὐτοῦ ἴσχνανσις· ἐν γὰρ τῷ δένδρῳ οὐκ
10 ἰσχναίνεται διὰ τὸ πλείονα εἶναι τὴν εἰσροὴν τῆς ἐκροῆς. ὁ δὲ Ἀριστοτέλης τὸ διακονικὸν αἰτιᾶται τοῦ ἀέρος, ὅτι ᾧ λόγῳ ἐστὶ διορατὸς καὶ διηχής, τούτῳ καὶ δίοσμος. ὁ δὲ Πλωτῖνος τὰ Ἀριστοτέλους καὶ Πλάτωνος συναγαγών φησιν ὅτι μεταβάλλεται μέρος τοῦ ἀέρος τῇ εὐωδίᾳ· ἡ γὰρ εὐωδία μείνασα ἐν τῷ μήλῳ γεννᾷ ὁμοίαν ἑαυτῇ ἑτέραν ποιότητα μεταβάλλουσαν
15 μέρος τοῦ ἀέρος, ἧς αἰσθανόμεθα. οὐδεμία δὲ τῶν δοξῶν τούτων καθ' αὑτὴν ἀληθής· οὐδὲ ἡ Πλάτωνος ἡ λέγουσα ἀπορροίας· ἡ γὰρ ἀπόρροια σῶμα, παντὸς δὲ σώματος μία ἡ κατὰ φύσιν κίνησις (ἢ γὰρ κοῦφον καὶ ἐπὶ τὰ ἄνω ῥέπει, ἢ βαρὺ καὶ κάτω), τῆς δὲ εὐωδίας τοῦ μήλου πάντες ὁμοτίμως αἰσθανόμεθα κατὰ κύκλον, δῆλον ὅτι οὐκ ἀρκεῖ ἀπορροίας μόνον
20 εἰπεῖν. οὐδὲ ἡ Ἀριστοτέλους μόνη ἀληθής· ἰδοὺ γὰρ οἱ χοῖροι πλείονα ὀρύττουσι τὸν βόρβορον ἐπὶ τῷ πλέον αἰσθέσθαι τῶν ἀπορροιῶν, καὶ δυσώδη δὲ τόπον παριόντες ῥάκει φράξαντες τὰς ῥῖνας, καίπερ ἀναπνέοντες, τῆς δυσωδίας οὐκ αἰσθανόμεθα, ἅτε διυλισθεισῶν τῶν ἀπορροιῶν καὶ καθαροῦ τοῦ ἀέρος χωροῦντος πρὸς ἡμᾶς. οὐδὲ τὸ τοῦ Πλωτίνου μόνον ἀληθὲς τὸ
25 ποιοῦσθαι ὅλον τὸν ἀέρα· πλασματῶδες γὰρ τὸ λέγειν ὅλον τὸν ἐν μέσῳ ἀέρα ποιοῦσθαι ἐπὶ τῶν γυπῶν τῶν αἰσθανομένων τῶν ἐν ἄλλαις πόλεσιν ἀτάφων σωμάτων. αἱ τρεῖς οὖν ἅμα ἀληθεῖς εἰσιν, ἀλλ' ἐπὶ μὲν τῶν φαύλως ὀσμωμένων χρεία καὶ ἀπορροιῶν, ἐπὶ δὲ τῶν ἀκριβῶς ὀσμωμένων ἀρκεῖ καὶ τὸ δίοσμον τοῦ ἀέρος, ἐπὶ δὲ τῶν μέσως ἀρκεῖ
30 καὶ ἡ μεταβολὴ τοῦ ἀέρος. κατ' οὐδεμίαν δὲ τῶν δοξῶν αἱ ποιότητες | ἀπὸ τοῦ ὑποκειμένου εἰς ὑποκείμενον μεταβαίνουσιν· ἢ γὰρ ἐν τῷ 241v αὐτῷ νῦν εἰσι, κἂν τῷ ἐν ᾧ εἰσι κἂν τῷ ἐξ οὗ, καὶ διασπασθήσεται αὐτὴ ἑαυτῆς ἡ ποιότης, ἢ ἐν ἄλλῳ καὶ ἄλλῳ νῦν. ἐπεὶ δὲ πάντως μεταξὺ τῶν δύο νῦν ἐστι χρόνος μέσος, ἐν ἐκείνῳ τῷ χρόνῳ ἔσονται χωρὶς ὑποκειμένου.
35 ἐνῆν δὲ καὶ ἁπλούστερον λῦσαι ταῦτα, ὅτι οὐκ εἶπεν ὁ Ἀριστοτέλης 'ὅ

---

1 τὸ ex τῷ corr. K 3 πᾶν—ὑποστῆναι (4) in mrg. suppl. (ex parte evanida) H 4 ὑποστ.] potius εἶναι 5 φησιν P 7 πλάτων] οἱ ἀριστοτελικοί Olymp. 8 ἀποριῶν H 9 μέσον] μέρος H οὐκ om. P 10 Ἀριστοτέλης] Πλωτῖνος Olymp. (cf. Enn. IV 5,1 sq.; 6,2) 11 διορατὸς b: διορατικὸς HKP διηχθὴς H: διειδὴς K 12 καὶ (post τούτῳ) om. KP Πλωτῖνος] cf. v. 10 (Olymp. hanc tertiam opinionem non memorat) 13 ante τῇ εὐωδ. add. ἐν H 15. 16 κατ' αὐτὴν libri 19 an ⟨ὥστε⟩ δῆλον ὅτι? 21 τῷ] τὸ HP 22 δὲ om. KP ἀναπλέοντες P1 26 ἐπὶ τῶν γυπῶν] fort. spectat Soph. Ant. 1082 27 ἐπὶ] ἐπεὶ HP 33 ἐπεὶ δὲ K2: ἐπειδὴ HK1P 35 ἁπλ.] ἀπὸ ἑτέρων H

δύναται χωρὶς εἶναι τοῦ ἐν ᾧ ἦν', ἀλλὰ τοῦ ἐν ᾧ ἐστιν, ὅπου δ' ἂν ᾖ ἡ ποιότης, ἐν ὑποκειμένῳ ἐστίν.

p. 1b10 Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ
5 κατὰ τοῦ ὑποκειμένου λεχθήσεται.

Ἐπειδὴ αἱ κατηγορίαι καὶ βάθος ἔχουσι καὶ πλάτος (βάθος μὲν τὴν εἰς τὰ μερικώτερα αὐτῶν πρόοδον, πλάτος δὲ τὴν εἰς τὰ πλάγια μετάστασιν, οἷον ἵνα βάθος μὲν λάβῃς οὕτως, τὴν οὐσίαν καὶ τὸ σῶμα καὶ τὸ ἔμψυχον καὶ τὸ ζῷον, καὶ οὕτως ἐφεξῆς), διὰ τοῦτο ὁ Ἀριστοτέλης κανόνα καὶ τοῦ
10 πλάτους καὶ τοῦ βάθους ἡμῖν παραδίδωσι, καὶ νῦν μὲν τοῦ βάθους, ἐφεξῆς δὲ καὶ τοῦ πλάτους. ἔστι δὲ ὁ κανὼν οὕτως· ὅταν τὸ πρῶτον τοῦ δευτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου καὶ τὸ δεύτερον τοῦ τρίτου, καὶ τὸ πρῶτον τοῦ τρίτου κατηγορηθήσεται ὡς καθ' ὑποκειμένου· οἷον τὸ ἔμψυχον κατηγορεῖται τοῦ ζῴου καὶ τὸ ζῷον τοῦ ἀνθρώπου, καὶ τὸ ἔμψυχον τοῦ
15 ἀνθρώπου κατηγορηθήσεται. καλῶς δὲ πρόσκειται ἐν τῷ κανόνι καθ' ὑποκειμένου· εἰ γὰρ μέλλει ἀληθὴς εἶναι ὁ κανών, δεῖ ἑκατέραν τῶν προτάσεων καθ' ὑποκειμένου εἶναι· εἴτε γὰρ αἱ δύο ὦσιν ἐν ὑποκειμένῳ, οὐδὲν συνάγεται ἀληθές, εἴτε ἡ μία καθ' ὑποκειμένου ἡ δὲ λοιπὴ ἐν ὑποκειμένῳ, καὶ ᾖ ἡ μία ᾖ ἡ δευτέρα, οὐδὲ οὕτως ἀληθές τι συνάγεται. καὶ
20 δὴ εἰλήφθωσαν αἱ δύο ἐν ὑποκειμένῳ, οἷον 'ὁ ἄνθρωπος λευκός, τὸ λευκὸν δισύλλαβον, ὁ ἄνθρωπος ἄρα δισύλλαβον'· ἐὰν συμπερανθῇ οὕτως, ψεῦδος τὸ συναγόμενον. εἰλήφθω πάλιν ἡμῖν ἐν ὑποκειμένῳ ἡ μία καὶ ἡ δευτέρα καθ' ὑποκειμένου, οἷον 'ἡ ἄνθρωπος λευκός, τὸ λευκὸν χρῶμα, ὁ ἄνθρωπος ἄρα χρῶμα', καὶ ἔστι ψεῦδος τὸ συναγόμενον. εἰλήφθω πάλιν ἡ μὲν μία
25 καθ' ὑποκειμένου οἷον ὁ ἄνθρωπος ζῷον', ἡ ⟨δὲ⟩ δευτέρα ἐν ὑποκειμένῳ, οἷον 'τὸ ζῷον δισύλλαβον', οὐδὲν ἀληθές τι συνάγεται. καὶ ἔχομεν διὰ τούτου τὸ ἀνάπαλιν τοῦ κανόνος· οὗτος γὰρ πάντα τὰ ὄντα ὑπὸ τὰς δέκα κατηγορίας ἀνάγει· ὥσπερ γὰρ ὁ κανὼν ἐδείκνυε τὸ πρῶτον τῷ δευτέρῳ ὑπάρχον καὶ τὸ δεύτερον τῷ τρίτῳ, οὕτω καὶ διὰ τοῦ ἀνάπαλιν ἔστι δεῖξαι τὰ
30 ὕστερα καὶ δεύτερα ὑπὸ τὰ πρῶτα ἀναγόμενα, οἷον ὁ ἄνθρωπος ὑπὸ τὸ ζῷον τὸ δὲ ζῷον ὑπὸ τὸ ἔμψυχον καὶ τὸ σῶμα καὶ τὴν οὐσίαν, καὶ ὁ ἄνθρωπος ὑπὸ τὴν οὐσίαν ἀναχθήσεται. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ὡσαύτως.

Ἀποροῦσι δέ τινες λέγοντες ὅτι ὁρίζεται τὸ καθ' ὑποκειμένου, ὅτε
35 λέγει, ⟨εἰ⟩ τὸ πρῶτον τῷ δευτέρῳ ὑπάρχει καὶ τὸ δεύτερον τῷ τρίτῳ, ὅτι

2 ᾖ K: ἐστὶν HP 4 τοσαῦτα] πάντα Arist. 5 ῥηθήσεται Arist. 6 τὴν superscr. K: om. P 7 εἰς τὰ πλάγια] οὐσίαν καὶ τὸ σῶμα K 8 οἷον in ras. K λαμβάνουσιν P τὸ (ante ἔμψ.) om. P 12 κατηγορεῖται H 13 οἷον—ὑποκειμένου (16) om. K post ἔμψ. add. τοῦ ἀνθρώπου κατηγορη|, sed del. P 15 δὲ om. P 23 λευκός—ἄνθρωπος (25) om. K 23. 24 ὁ ἄνθρ. ἄρα χρῶμα om. P 24 εἰλήφθο H 25 δὲ inserui 26 δισύλαβον P 29 alt. καὶ om. HP 30 καὶ δεύτερα eicias 31 δέ om. HP 35 καταλέγει P εἰ inserui

καὶ τὸ πρῶτον τῷ τρίτῳ ὑπάρχει, ἀλλὰ καὶ τὸ οὐκ ἐν ὑποκειμένῳ ὁρίζεται, φημὶ δὴ τὴν οὐσίαν [ἢ καὶ ὑποκείμενον], ὅτε καταλέγει τὰ ἴδια τῆς οὐσίας· | αἱ γὰρ ὑπογραφαὶ ἐκ τῶν ἰδίων λαμβάνονται. αὕτη ἡ ἀπορία. 242r λύομεν δὲ αὐτὴν οὕτως· ὅτι κανών ἐστιν ὁ λεχθείς, οὐχ ὁρισμὸς ἢ ὑπο-5 γραφή· ἐν οὐδεμιᾷ γὰρ ὑπογραφῇ ἤτοι ὁρισμῷ τὸ ὁριστὸν ἤτοι τὸ τοῦ ὁριστοῦ ὄνομα ἐν αὐτῇ τῇ ὑπογραφῇ παραλαμβάνεται· οὐδεὶς γὰρ λέγει ὅτι ἄνθρωπός ἐστι ζῷον ἄνθρωπος· νῦν δὲ ἐν τῷ κανόνι πολλάκις τὸ ὁριστὸν παρελήφθη, φημὶ τὸ καθ' ὑποκειμένου. πρὸς δὲ τὴν ἄλλην φαμὲν ἀπορίαν ὅτι οὐδὲν τῶν ἰδίων τῆς οὐσίας ὧν καταλέγει ὑπογραφή ἐστι τῆς οὐσίας· 10 πάντα γὰρ ὅσα ἴδια αὐτῆς καταλέγει ἢ μόνῃ μὲν οὐσίᾳ ὑπάρχει οὐ πάσῃ δέ, ἢ πάσῃ μὲν οὔ, μόνῃ δὲ τῇ ὑπογραφῇ. καὶ τὰ κυρίως ἴδια καὶ μόνῳ καὶ παντὶ καὶ ἀεὶ θέλουσιν ὑπάρχειν, ὡς μεμαθήκαμεν.

Διττῆς δὲ οὔσης τῆς κατηγορίας, τῆς μὲν καθ' ὑποκειμένου τῆς δὲ ἐν ὑποκειμένῳ, ἡ ἐν ὑποκειμένῳ κατηγορία ἄλλο ἄλλῳ λέγουσα ὑπάρχειν οὐδε-15 μίαν παρέχει ζήτησιν. ἡ δὲ καθ' ὑποκειμένου κατηγορία θέλουσα δεῖξαι τὸ ἕτερον ⟨ὅπερ τὸ ἕτερον⟩, τοῦτ' ἔστι τὸ κατηγορούμενον ὅπερ τὸ ὑποκείμενον, ζήτησιν παρέχει· ἐρεῖ γάρ τις 'ποῖόν ἐστι τὸ κατηγορούμενον ζῷον τοῦ ἀνθρώπου, αὐτὸ τὸ ἐγκατατεταγμένον ἢ ἄλλο καθολικώτερον; εἰ μὲν γὰρ τὸ ἐγκατατεταγμένον, ἀδολεσχία ἡ κατηγορία αὐτὴ ἑαυτῆς κατηγοροῦσα, εἰ 20 δὲ τὸ καθόλου, συνεπεκταθήσεται τὸ μερικὸν τῷ καθόλου καὶ ἔσται τὸ μερικὸν ὅπερ τὸ καθόλου.' τοῦτο ἡμεῖς φαμεν ὅτι καθόλου τὸ κατηγορούμενον καὶ κοινότερον θέλει εἶναι τοῦ ὑποκειμένου καὶ ἰδικώτερον· εἰ μὲν γὰρ κοινότερόν ἐστιν, οὐκ ἔστιν ἀδολεσχία ἡ κατηγορία, εἰ δὲ ἴδιόν ἐστιν ἑκάστου, οὐ συνεπεκταθήσεται τὸ μερικὸν τῷ καθόλου, ὡς ἐπὶ τοῦ κέντρου 25 καὶ τοῦ σημείου τοῦ κύκλου· τὸ γὰρ σημεῖον ἐκεῖνο πασῶν τῶν ἐξ αὐτοῦ εὐθειῶν ἐκλαβόμενον καὶ κοινόν ἐστιν ἁπασῶν καὶ ἴδιον ἑκάστης. καὶ ἡ φωνὴ τοῦ κήρυκος καὶ κοινῇ ἐστιν ἅπασιν ἀκουστὴ καὶ ἰδίᾳ ἑκάστῳ, καὶ ἐν πᾶσίν ἐστι κἂν τῷ ἀέρι μία οὖσα. καὶ αὐτὸ δὲ τὸ δοκοῦν ἐξισάζειν ἴδιον καθολικώτερον δοκεῖ εἶναι, ἐπειδὴ τὰ ἄρθρα τοῖς καθόλου προσδιορισμοῖς 30 ἰσοδυναμοῦσιν· ἐν γὰρ τῷ λέγειν 'ὁ ἄνθρωπος γελαστικόν' οὐδὲν ἄλλο λέγομεν ἢ ὅτι πᾶς ἄνθρωπος γελαστικόν· τὸ δὲ πᾶς ἀντὶ τοῦ ἕκαστος νοεῖται· ἑκάστου δὲ ἀνθρώπου τὸ γελαστικὸν καθολικώτερον. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν ὅτι δύναται τὸ αὐτὸ καὶ καθολικώτερον εἶναι τοῦ ὑποκειμένου καὶ ἰδικὸν αὐτοῦ· ἰδοὺ γὰρ ὁρῶμεν ὅτι ἡ ἀνείδεος ὕλη προϊοῦσα ἐκ τῆς 35 οὐσίας πρότερον εἰδοποιεῖταί πως τὰς διαστάσεις προσλαμβάνουσα ποσουμένη, εἶτα ποιοῦται, εἶτα ποιεῖ τὸ ἔμψυχον σῶμα, μετ' αὐτὸ τὸ ζῷον, εἶτα ἐπὶ τούτοις τὸν ἄνθρωπον καὶ τὸν Σωκράτην ἔσχατον, κἀκεῖ ἀποτελευτᾷ. καὶ τὰ μὲν πρὸ τοῦ Σωκράτους | πάντα εἰδοποιοῖς διαφοραῖς διαφέρει 242v

2 δὴ om. HP ἢ καὶ ὑποκείμενον inclusi 7 τὸ ὁριστὸν om. KP 12 μεμαθήκαμεν] in comment. Porph. Isag. p. 89,26 sq. 14 λέγουσα Urb. 35: θέλουσα HKP 16 ὅπερ τὸ ἕτερον Urb. 35: om. HKP 19 αὐτὴ scripsi: αὕτη HKP 24 τῷ] τὸ P 25 καὶ τοῦ σημείου eicias 26 ἐκλαβ.] an ἐπιλαβ.? 27. 28 καὶ ἐν πᾶσιν—οὖσα eicias 30 τῷ] τὸ H 33 ἄλλος P 34 ἀνίδεος H 37 τὸν (ante σωκρ.) om. P 38 σωκράτης H

ἀλλήλων, ὁ δὲ Σωκράτης τινὶ ἰδιοτροπίᾳ διαφέρει τῶν ἄλλων ἀνθρώπων, ᾗτινι ἐπιφοιτᾷ τὸ εἶδος τὸ μερικὸν τοῦ τινὸς ἀνθρώπου μηκέτι ἄλλην κατὰ φύσιν διαφορὰν ἐπιδεχόμενον, διὸ καὶ μένει ἀδιαίρετον. καὶ ὅρα πῶς ἡ αὐτὴ ὕλη, πᾶσιν ὑποκειμένη κοινῶς, καὶ ἰδίᾳ ἑκάστῳ ὑπόκειται. οὕτω 5 καὶ ἐπὶ τοῦ ζῴου ἔχει ἢ τοῦ ἐμψύχου· τὸ αὐτὸ καὶ κοινὸν καὶ ἴδιον ἑκάστου γίνεται, κοινὸν μὲν ὡς πολλοῖς ὑπάρχον, ἴδιον δὲ προσλαβὸν εἰδοποιοὺς διαφορὰς καὶ γινόμενον εἶδος ἄλλοτε ἄλλο, κατ' ἀναλογίαν τῆς ὕλης πᾶσιν ὑποκείμενον κοινῶς καὶ ἰδίᾳ ἑκάστῳ. ταῦτα ἔχει καὶ ἡ παροῦσα πρᾶξις.

p. 1b16 Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι 10 τῷ εἴδει καὶ αἱ διαφοραί, οἷον ζῴου καὶ ἐπιστήμης.

Μετὰ τὸν κανόνα τοῦ βάθους ἔρχεται καὶ ἐπὶ τὸν κανόνα τοῦ πλάτους. καὶ ἐπειδὴ τὸ πλάτος αἱ διαφοραὶ ποιοῦσι, διτταὶ ⟨δὲ⟩ αἱ διαφοραί (ἢ γὰρ συστατικαὶ ἢ διαρετικαί), καὶ τὰ γένη δὲ διττά, τὰ μὲν ὑπ' ἄλληλα τὰ δὲ οὐχ ὑπ' ἄλληλα, ζητεῖ διὰ τούτων ὁ Ἀριστοτέλης πῶς ἔχουσιν αἵ τε συστα-15 τικαὶ διαφοραὶ καὶ αἱ διαρετικαὶ πρὸς τὰ ὑπ' ἄλληλα γένη καὶ οὐχ ὑπ' ἄλληλα, καὶ ἀποφαίνεται λέγων ὅτι τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί, τῶν δὲ ὑπ' ἄλληλα τεταγμένων αἱ μὲν συστατικαὶ αἱ αὐταὶ πάντως, αἱ δὲ διαιρετικαὶ ποτὲ μὲν αἱ αὐταὶ ποτὲ δὲ ἕτεραι. ἑτέρων δὲ γενῶν ἀκουστέον τῶν ὑπὸ διαφόρους 20 κατηγορίας ἀναγομένων * * ὡς ζῷον καὶ ἐπιστήμη, ἢ τὰ ὑπὸ τὴν αὐτὴν κατηγορίαν ἀναγόμενα ἀντιδιαιρούμενα δέ, ὡς τὸ σῶμα καὶ ἀσώματον. καὶ ἐπὶ μὲν τῶν ὑπὸ διαφόρους κατηγορίας ἀναγομένων καὶ αἱ συστατικαὶ καὶ αἱ διαιρετικαὶ πάντως ἕτεραί εἰσιν, ὥσπερ ζῴου καὶ ἐπιστήμης, ὧν αἱ κατηγορίαι διάφοροι· αἱ μὲν γὰρ συστατικαὶ τοῦ ζῴου τὸ ἔμψυχον καὶ τὸ 25 αἰσθητικόν, αἱ δὲ διαιρετικαὶ τὸ λογικὸν καὶ τὸ ἄλογον, θνητὸν καὶ ἀθάνατον, τῆς δὲ ἐπιστήμης συστατικαὶ μὲν τὸ ἄπταιστον καὶ βέβαιον καὶ τὸ περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεσθαι, διαιρετικαὶ δέ, ὡς διεῖλεν ἐν τῷ Γοργίᾳ ὁ Πλάτων, ὅτι τῶν τεχνῶν αἱ μέν εἰσι μόνως λογικαί, ὡς ἡ διαλεκτική, αἱ δὲ μόνως πρακτικαί, ὡς ἡ γραφική, αἱ δὲ λογικαὶ ἅμα καὶ 30 πρακτικαί. καὶ τοῦτο τριχῶς· ἢ γὰρ ἐπίσης ἔχουσι τῷ λόγῳ τὴν πρᾶξιν, ὡς ἡ κιθαρῳδία καὶ ἡ πεττευτικὴ προλέγουσα τὰς βολὰς ὧν χρείαν ἔχει, ἢ πλείονα ἔχει τὸν λόγον τῆς πράξεως, ⟨ὡς ἡ ὑποκριτική⟩, ὡς ἐπὶ τοῦ

---

2 ᾗτινι] ἢ τινὶ HK¹P 3 μαίνει H 5 ἢ eras. K τὸ ἔμψυχον K 6 ὑπάρχων et προσλαβὼν H 7 ἰδοποιοὺς H 12 τὸ] τοῦ P δὲ Laur. 72,5: om. HKP 13 ἢ καὶ (sic) διαιρετικαί in mrg. suppl. P γένει H δὲ om. K 15 αἱ (ante διαιρ.) om. HP 16 καὶ (ante μὴ) om. HK 17 ἕτεραι —τεταγμένων om. KP 20 καταγομένων KP ante ὡς lac. signavi ante ζῷον add. τὸ HP 25 διαιρ. δὲ coll. HP 26. 27 τὸ περὶ iterata corr. P 27. 28 ἐν τῷ Γοργίᾳ] p. 449 A sq. 28 ὁ om. HP 29 pr. αἱ δὲ iter. P 31 πεττευτικὴ Urb. 35: μαντευτικὴ HKV (Plat. Gorg. 450 D) βολὰς scripsi: βουλὰς HKP ὧν Urb. 35: ὡς HKP 32 ὡς ἡ ὑποκριτ.] ὡς ὑποκριτικὴ Urb. 35: om. HKP

ἃ δ' ἔλαβες, ἀπόδος, πατρὸς ἐμοῦ λαβὼν πάρα
εἰπόντος τοῦ δὲ κατὰ τὸ σιωπώμενον ἀνανεύσαντος μόνον 'ἄπαγε' πάλιν [Ὀρέστης]
οὐ χρήματ' εἶπον,
5 ἢ τὸ ἀνάπαλιν πλείονα τὴν πρᾶξιν τοῦ λόγου, ὡς ἐπὶ τῆς ἰατρικῆς μᾶλλον πρακτικῆς οὔσης ἢ λογικῆς, ἢ λόγῳ μὲν | διὰ τὴν διάγνωσιν 243r χρῆται καὶ θεραπείαν· ὁ γὰρ ἄριστα διαγνοὺς ἄριστα θεραπεύσει * *. οὐ μόνον δὲ ἐπὶ τῶν ὑπὸ διαφόρους κατηγορίας ἀναγομένων ἑτέρων γενῶν ὁ κανὼν οὗτος ἀληθεύει, ἀλλὰ καὶ ἐπὶ τῶν μὴ ὑπ' ἄλληλα. μὴ ὑπ' ἄλληλα δέ
10 ἐστι τὰ ἀντιδιαιρούμενα, ὡς τὸ ἀσώματον τῷ σώματι καὶ τὸ ἔμψυχον τῷ ἀψύχῳ καὶ τὰ τοιαῦτα· οὐδὲ γὰρ τελεῖ τὸ ἕτερον ὑπὸ τὸ ἕτερον ἐπὶ τούτων· τοῦ γὰρ σώματος συστατικαὶ μὲν διαφοραὶ τὸ τριχῇ διαστατὸν τὸ θετὸν ἤτοι θέσιν ἔχον, διαιρετικαὶ δὲ τὸ ἔμψυχον καὶ τὸ ἄψυχον. τοῦ δὲ ἀσωμάτου διαιρετικαὶ μὲν τὸ θεῖον, τὸ ἀγγελικόν, συστατικαὶ δὲ πρὸ τῶν
15 διαιρετικῶν οὖσαι τούτων τὸ ἀδιάστατον, τὸ ἄθετον.

Διὸ καὶ ἀποροῦσι λέγοντες ὅτι καὶ ἐπὶ τῶν ὑπὸ μίαν κατηγορίαν ἀναγομένων ἀντιδιαιρουμένων δὲ καὶ μὴ ὑπ' ἄλληλα ὄντων δυνατὸν τὰς αὐτὰς εἶναι διαφοράς· ἐὰν γὰρ διέλω τὸ ζῷον εἰς χερσαῖον καὶ ἔνυδρον, εἶτα τὸ χερσαῖον εἰς ἔναιμον, οἷον ἄνθρωπον ἵππον, ἢ εἰς ἄναιμον, οἷον μελίττας,
20 ἀκρίδας, διέλω δὲ καὶ τὸ ἔνυδρον εἰς ἔναιμον, οἷον λάβρακα, θῦνον, ὀρφῶν καὶ τὰ τοιαῦτα, ἢ εἰς ἄναιμον, οἷον σηπίαν τευθίδα κάραβον, ἰδοὺ καὶ τῶν ἀντιδιαιρουμένων καὶ μὴ ὑπ' ἄλληλα ἑτέρων γενῶν αἱ αὐταὶ εὑρίσκονται διαφοραί. κἂν διέλῃ τις τὸ ζῷον εἰς ἔναιμον καὶ ἄναιμον καὶ τὸ ἔναιμον διέλῃ εἰς ἔνυδρον καὶ χερσαῖον καὶ τὸ ἄναιμον ὁμοίως διέλῃ εἰς ἔνυδρον
25 καὶ χερσαῖον, καὶ οὕτως πάλιν εὑρίσκονται αἱ αὐταὶ τῶν αὐτῶν ἀντιδιαιρουμένων αἱ διαφοραί, καὶ τὰ παραδείγματα δῆλα. τί οὖν φαμεν πρὸς ταῦτα; ὅτι ἑτέρας τῷ εἴδει διαφορὰς ὁ Ἀριστοτέλης λέγει τὰς ποιούσας ἕτερα εἴδη ἀεὶ διαφέροντα ἀλλήλων καὶ μηδέποτε ταὐτὸν ὄντα· τὸ γὰρ ἔναιμον τὸ χερσαῖον τῷ ἐναίμῳ τῷ ἐνύδρῳ οὐδέποτέ ἐστι ταὐτὸν τῷ εἴδει, οὐδὲ τὸ
30 ἀνάπαλιν τὸ ἄναιμον τὸ ἔνυδρον τῷ χερσαίῳ τῷ ἀναίμῳ ταὐτόν ἐστί ποτε τῷ εἴδει. αἱ διαφοραὶ δὲ οὐχ ὅτι αἱ αὐταὶ διαφέρουσιν ἀλλήλων· πῶς γὰρ τὸ ἔναιμον τοῦ ἐναίμου διοίσει ὡς ἔναιμον, εἰ μὴ προσλάβῃ ἰδιώματά τινα καὶ γίνηται ποῦ μὲν ἄνθρωπος ποῦ δὲ ἰχθύς, εἰ τύχοι; δεῖ δὲ καὶ τοῦτο ἐπίστασθαι, ὥς φησιν Εὐστάθιος ὁ φιλόσοφος ὑπομνηματίσας τὰς
35 Κατηγορίας, ὅτι ὅταν λέγῃ ὁ Ἀριστοτέλης τῶν δέ γε ὑπ' ἄλληλα οὐδὲν

---

1 ἃ δ' ἔλαβες . .] Eur. Orest. 643. 634 (cf. Schol. in Eur. ed. Schwartz I p. 163) ἔλαβε H 1. 2 πάρα εἰπόντος scripsi: προσειπόντος HKP 3 Ὀρέστης delevi 4 χρήματα HKP πλείωνα H 6 ἢ scripsi: καὶ libri μὲν om. H 7 post θεραπεύσει lacunam signavi 9 οὗτος post ἀληθ. coll. HP 10 post ἔμψ. additum καὶ del. P 13 ἔχων P 15 τὸ (ante ἄθετον)] καὶ K 18 ἔννυδρον P 20 ὀρφὸν KP 27 λέγει superscr. H εἴδει (alt. l.) H 30 τῶ (ante ἀναίμω) om. H 31 alt. αἱ om. H 32 τοῦ ἐναίμου—ἔναιμον om. P εἰ om. H 33 γίνηται scripsi: γίνεται libri 35 λέγει HP post ἄλληλα add. γενῶν Arist.

κωλύει τὰς αὐτὰς εἶναι, ὅτι περὶ τῶν διαιρετικῶν λέγει, οὐ περὶ τῶν συστατικῶν· αἱ γὰρ συστατικαὶ μέρη εἰσίν, ὥσπερ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικὸν τοῦ ζῴου· μέρη γὰρ ταῦτα τοῦ ζῴου δοκεῖ εἶναι ὡς συμπληρωτικὰ αὐτοῦ, οὐκέτι δὲ διαφοραὶ αὐτοῦ, ἐάν τις ἀκριβῶς θεωρήσῃ. αἱ
5 δὲ διαιρετικαὶ κυρίως διαφοραί εἰσιν ὡς | διαφόρων εἰδῶν ποιητικαί. 243v ἐπὶ τούτων οὖν τῶν διαιρετικῶν ἐν τοῖς ὑπαλλήλοις δυνατόν ποτε τὰς αὐτὰς εἶναι διαιρετικὰς τοῦ ὑπεράνω καὶ τοῦ ὑποκάτω· ἐὰν γὰρ διέλω τὸ ζῷον εἰς πτηνὸν καὶ ἔνυδρον, οὐ δύναμαι τὰς αὐτὰς ποιῆσαι διαιρετικὰς τοῦ ζῴου ἁπλῶς πτηνοῦ καὶ ἐνύδρου· οὔτε γὰρ τὸ πτηνὸν εἰς λογικὸν καὶ ἄλογον διαι-
10 ρεθῆναι δυνατὸν οὔτε τὸ ἔνυδρον, ἐάν τις τὸ ζῷον τὸ εἰς αὐτὰ διαιρεθὲν ἐπιτηδεύῃ διελεῖν εἰς λογικὸν καὶ ἄλογον· ἀδύνατον γάρ. εἰ δὲ διέλω τὸ ζῷον εἰς χερσαῖον καὶ ἔνυδρον, τὸ χερσαῖον δύναμαι διελεῖν εἰς λογικὸν καὶ ἄλογον· εἰς γὰρ ἄνθρωπον καὶ ἵππον. διαιρῶ δὲ καὶ τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον (ἐξὸν γάρ)· καὶ ἰδοὺ αἱ αὐταὶ εὑρίσκονται τοῦ ζῴου καὶ τοῦ ὑποκάτω δια-
15 φοραί, τὸ λογικὸν καὶ τὸ ἄλογον, τοῦ ζῴου καὶ τοῦ χερσαίου τοῦ ἐκ τῆς διαιρέσεως τοῦ ζῴου καταγομένου· καὶ τὸ χερσαῖον γὰρ διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον.

Ἄλλαι ⟨οὖν⟩ εἰσιν αἱ συστατικαὶ τούτων καὶ διαιρετικαὶ διαφοραί· αἱ γὰρ τοῦ ἀσωμάτου διαφοραί, κἂν συστατικαὶ ὦσι κἂν διαιρετικαί, οὐκ εἰσιν
20 αἱ αὐταὶ ταῖς διαιρετικαῖς καὶ συστατικαῖς τοῦ σώματος. ὑπ' ἄλληλα δέ ἐστι τὰ κατὰ βάθος προϊόντα, ὡς τὸ σῶμα τὸ ἔμψυχον τὸ ζῷον ὁ ἄνθρωπος. ἐπὶ δὲ τῶν ὑπ' ἄλληλα αἱ μὲν συστατικαὶ πάντως αἱ αὐταί (τὰ γὰρ ἐπάνω τῶν ὑποκάτω πάντως κατηγορεῖται), αἱ δὲ διαιρετικαὶ ποτὲ μὲν αἱ αὐταὶ ποτὲ δὲ ἕτεραι· ἐὰν γὰρ διέλῃς τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον, οὐ δύνασαι διελεῖν
25 τὸ λογικὸν εἰς λογικὸν καὶ ἄλογον· διὸ ἕτεραι. εἰ δὲ διέλῃς τὸ ζῷον εἰς θνητὸν καὶ ἀθάνατον καὶ τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον, αἱ αὐταί εἰσιν. ὅταν οὖν λέγῃς, ὦ Ἀριστότελες, τῶν δέ γε ὑπ' ἄλληλα τεταγμένων οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι, περὶ τῶν συστατικῶν λέγεις ἢ τῶν διαιρετικῶν, εἰ μὲν περὶ τῶν συστατικῶν, ἐπειδὴ αὗται πάντως αἱ
30 αὐταί, τί βούλεται τὸ οὐδὲν κωλύει ἐπὶ μέσου ἀεὶ λεγόμενον; εἰ δὲ περὶ τῶν διαιρετικῶν; τί ἐροῦμεν πρὸς τὸν κανόνα τοῦ βάθους περὶ τῶν συστατικῶν εἰρημένον; καὶ λέγομεν ὅτι μήποτε δι' ἀμφότερα, καὶ διὰ μὲν τὰς διαιρετικὰς τὸ οὐδὲν κωλύει διὰ δὲ τὰς συστατικὰς ὅτι πάντως αἱ αὐταί, ὡς ἔχει ὁ κανὼν τοῦ βάθους. ἀποροῦσι δέ τινες ὅτι διὰ τί
35 προέταξε τὸ ἀποφατικὸν τοῦ καταφατικοῦ. καὶ λέγομεν ὅτι ὡς ἀναγκαῖον ἐνδεχομένου· πάντως γὰρ ἐπὶ τῶν ἀποφατικῶν, τουτ' ἔστι τῶν μὴ ὑπ' ἄλληλα [φημί], ἄλλαι εἰσὶ καὶ ἄλλαι, ἐπὶ δὲ τοῦ καταφατικοῦ, φημὶ τοῦ

---

1 post αὐτὰς add. διαφορὰς Arist. 6 οὖν om. P 13 καὶ (post δὲ) om. P 14 αἱ αὐταὶ scripsi: αὗται libri εὑρίσκονται om. KP ὑποκάτω scripsi: ὑποκειμένου libri 16 γὰρ om. P 17 ante λογ. add. τὸ K 18 οὖν inserui 20. 21 ὑπ' ἀλλ.—ἄνθρ. eicias 23 αἱ αὐταὶ] ἑαυταὶ H 24 δύναται P 27 λέγεις H post ἄλληλα add. γενῶν (τεταγμ. om.) et post αὐτὰς add. διαφορὰς Arist. 28 λέγεις —συστατικῶν (29) in mrg. suppl. H 32 εἰρημένων HP 35 καταφ.] ἀποφατικοῦ K 37 φημί, quod inclusi, KP: φημὶ ὅτι H

ὑπαλλήλου, ἐνδέχεται τὰς διαιρετικὰς καὶ τὰς αὐτὰς εἶναι καὶ ἑτέρας. καὶ διὰ τί τὸ μὲν ἀναγκαῖον τὸ δὲ ἐνδεχόμενον; ἐπειδὴ τὸ τῇ συναντιθέσει ἀντίστροφον ἀεὶ ἀπὸ τοῦ ἑπομένου γινόμενον αὐτὸς ἐκ τοῦ ἡγουμένου ἐποίησεν· εἶπε γὰρ | ὅτι τῶν ἑτερογενῶν καὶ τῶν μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραί 244r
5 εἰσι πάντως αἱ διαφοραὶ ἀμφότεραι * *, ὀφείλων εἰπεῖν ὅτι 'ὧν δὲ αἱ αὐταί εἰσι διαφοραί, ταῦτα ὑπ' ἄλληλα'. καλῶς δὲ πρόσκειται ὅτι ἕτεραι τῷ εἴδει, ἵνα τὰς οὐσιώδεις λάβωμεν διαφοράς· εἰ γὰρ μὴ ταύτας ἀλλὰ συμβεβηκυίας λάβωμεν, δυνατὸν τῶν ὑπὸ διαφόρους κατηγορίας ἀναγομένων τὰς αὐτὰς εἶναι διαφοράς· διαιρῶ γὰρ τὸ ζῷον εἰς ὑπόπουν καὶ ἄπουν, καὶ τὸ σκεῦος
10 εἰς ὑπόπουν καὶ ἄπουν, καὶ τὸ μὲν ζῷον ἀνάγεται ὑπὸ τὴν οὐσίαν τὸ δὲ σκεῦος ὡς ὄργανον ὑπὸ τὸ πρός τι. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι ὑπάλληλον ἑνικῶς μᾶλλον δεῖ λέγειν ἢ ὑπάλληλα πληθυντικῶς· τὰ γὰρ ὑπάλληλα δοκοῦσιν ὑφ' ἑαυτὰ ἀνάγεσθαι, ὅπερ ἀδύνατον· οὐδὲ γὰρ τὸ ζῷον ὑπὸ τὸ λογικὸν τελεῖ ποτε, εἰ καὶ τὸ λογικὸν ὑπὸ τὸ ζῷον. ταῦτα ἔχει
15 ἡ πρᾶξις.

p. 1b25 Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων.

Διελὼν ὁ Ἀριστοτέλης τὰ λεγόμενα εἰς τὰ μετὰ συμπλοκῆς καὶ ἄνευ συμπλοκῆς καὶ τὰ ὄντα εἰς καθόλου οὐσίαν καὶ μερικὴν οὐσίαν, καθόλου συμβεβηκὸς καὶ μερικὸν συμβεβηκός, διαιρεῖ τὰ ἄνευ συμπλοκῆς εἰς δέκα
20 κατηγορίας. καὶ ἀποροῦσιν ὅτι διὰ τί ἀνωτέρω μὴ ἐπεξῆλθε πάσῃ τῇ διαιρέσει, ὅτε διῄρει τὰ λεγόμενα καὶ τὰ ὄντα. καὶ λέγομεν ὅτι ἀναγκαίως τελευταίαν ἐφύλαξε τὴν διαίρεσιν ταύτην, ἵνα λήξῃ μὲν τὸ πρῶτον τμῆμα εἰς ψιλὴν ἀπαρίθμησιν τῶν κατηγοριῶν, ἄρξηται δὲ τὸ δεύτερον αὐτῆς τῆς ἀκριβοῦς διδασκαλίας· ὥσπερ γὰρ οἱ ἄριστοι τῶν γραφέων πρὸ τῆς τελείας
25 μορφῆς τῆς διὰ τῶν χρωμάτων ἀμυδρὰν ἔννοιαν παρέχονται τοῦ γραφησομένου διὰ τῆς σκιαγραφίας ἢ λευκογραφίας, οὕτω καὶ ὁ Ἀριστοτέλης λόγῳ ὑπογράφων τὰ πράγματα ἀμυδρὰν ἔμφασιν ἡμῖν παρέχει τῶν κατηγοριῶν· ἡ μὲν γὰρ παχυμερὴς αὐτῶν διδασκαλία ἐπὶ ψιλῶν τῶν παραδειγμάτων πρόεισι μόνον, ἡ δὲ λεπτομερὴς τά τε ἴδια καταλέγει ἑκάστης καὶ
30 τὴν διαίρεσιν, ἵνα καὶ τὰ ὑπάρχοντα ἐν ταῖς κατηγορίαις γνῶμεν διὰ τῶν ἰδίων καὶ τὰ οἷς αὗται ὑπάρχουσι διὰ τῆς διαιρέσεως. ἀλλ' αὐτὸς μὲν Ἀριστοτέλης ἐπὶ παραδειγμάτων ποιεῖται τὴν ἀπαρίθμησιν τῶν δέκα κατηγοριῶν, φέρε δὲ ἡμεῖς ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ παραδείγματος ποιησώμεθα τὴν διδασκαλίαν, ἐπὶ τοῦ Σωκράτους· αὐτὸς γὰρ οὐσία ἐστὶν ὡς ἄνθρωπος
35 καὶ ποσὸν ὡς δίπηχυς ἢ τρίπηχυς καὶ ποιὸν ὡς λευκὸς ἢ μουσικὸς καὶ

---

5 post ἀμφότεραι lacunam signavi, suppleveris τῶν δὲ ὑπ' ἄλληλα οὐ πάντως ἕτεραι ἀλλὰ καὶ αἱ αὐταί διάφοραι ἀμφότεραι 9 καὶ τὸ—ἄπουν (10) in mrg. suppl. P 11 εἰδέναι καὶ τοῦτο coll. K 12 ἑνικὸς P 14 τὸ (ante pr. λογ. et ζῷον) om. K 19 καὶ μερικ. συμβ. om. P 24 διδασκ.] διαιρέσεως K τελ.] τελευταίας K 26 ἢ λευκογραφίας om. K ὁ om. K 27 λόγῳ ὑπογράφων Paris. 2051 Marc. 217: λογογραφῶν HKP 31 οἷς] εἰς P 32 an ἐπὶ ⟨ι'⟩? 33 ποιήσωμεν K

πρός τι ὡς πατὴρ ἢ ὡς υἱὸς καὶ ποιεῖ ὡς τέμνων καὶ πάσχει ὡς τεμνόμενος καὶ κεῖται ὡς καθήμενος ἢ ἑστὼς ἢ ἀνακεκλιμένος (ἢ γὰρ πάντα ὄρθιά ἐστι τὰ μέλη καὶ λέγεται ἑστάναι ἢ πάντα ὕπτια καὶ λέγεται ἀνακεκλίσθαι | ἢ τὰ μὲν ὄρθια τὰ δὲ ὕπτια καὶ λέγεται καθῆσθαι), καὶ ἔχει 244v
5 ὡς ὑποδεδεμένος ἢ ἠμφιεσμένος ἢ ἔχων δακτύλιον και ποῦ ὡς ἐν Λυκείῳ διδάσκων καὶ ποτὲ ὡς ἐπὶ τῶν Πελοποννησιακῶν χρόνων γεγονώς. τοῦ δὲ Ἀριστοτέλους ψιλὴν ἀπαρίθμησιν ποιησαμένου τῶν κατηγοριῶν ὅτι δέκα καὶ τὴν αἰτίαν μὴ προσθέντος διὰ τί δέκα, φέρε ἡμεῖς καὶ τὴν αἰτίαν προσθῶμεν διὰ τί δέκα. δείκνυμεν δὲ τοῦτο ἐκ διαιρέσεως τοιαύτης· τὸ ὂν
10 ἢ ἐν ὑποκειμένῳ ἢ οὐκ ἐν ὑποκειμένῳ. καὶ εἰ μὲν μὴ ἐν ὑποκειμένῳ, ποιεῖ τὴν οὐσίαν, εἰ δὲ ἐν ὑποκειμένῳ, ἢ καθ' ἑαυτὸ ἢ οὐ καθ' ἑαυτό. καὶ εἰ μὲν καθ' ἑαυτό, ἢ μεριστὸν ἢ ἀμέριστον. καὶ εἰ μὲν μεριστόν, ποιεῖ τὸ ποσόν, εἰ δὲ ἀμέριστον, ποιεῖ τὸ ποιόν· κἂν γὰρ δοκῇ τὸ ποιὸν μεριστὸν εἶναι, διὰ τὴν ὕλην ἐστὶ μεριστόν. εἰ δὲ οὐ καθ' ἑαυτό, ἢ σχέσις
15 ἐστὶ μόνη καὶ ποιεῖ τὰ πρός τι, ἢ κατὰ σχέσιν ἄλλων νοεῖται καὶ ποιεῖ τὰς λοιπὰς ἓξ κατηγορίας· τεσσάρων γὰρ οὐσῶν ἁπλῶν κατηγοριῶν, οὐσίας ποσοῦ ποιοῦ πρός τι, ἐκ τῆς συμπλοκῆς τούτων αἱ λοιπαὶ ἀπογεννῶνται, ἐξ οὐσίας καὶ ποσοῦ τὸ ποῦ καὶ ποτέ, ἐξ οὐσίας καὶ ποιοῦ τὸ ποιεῖν καὶ πάσχειν, ἐξ οὐσίας καὶ τῶν πρός τι τὸ ἔχειν καὶ τὸ κεῖσθαι. διὸ καὶ ἀποροῦσιν
20 ὅτι πῶς λέγομεν ὅτι ἁπλαῖ αἱ δέκα εἰσὶ κατηγορίαι, εἴ γε αἱ τέσσαρες μόναι εἰσὶν ἁπλαῖ αἱ δὲ ἓξ σύνθετοι. καὶ λέγομεν ὅτι συνθέτους αὐτὰς καλοῦμεν, διότι ἔμφασιν ἡμῖν συνθέσεως εἰσάγουσιν, ἐπειδὴ αὗται ἁπλαῖ εἰσιν· οὐ γὰρ κατηγορία ⟨τὸ ἐν τόπῳ ὂν οὐδὲ τὸ ἐν χρόνῳ (ταῦτα γὰρ σύνθετα), ἀλλὰ⟩ τὸ ἐν τόπῳ εἶναι καὶ τὸ ἐν χρόνῳ· διὰ γὰρ τοῦτο καὶ
25 ἀπαρεμφάτοις ὀνόμασιν ὠνόμασεν αὐτὰ ὁ Ἀριστοτέλης, ἵνα μὴ τῷ ἐφέλκεσθαι πρόσωπον σύνθεσίν τινα εἰσαγάγῃ, οἷον τὸ ποεῖν καὶ τὸ πάσχειν καὶ τὸ ἔχειν καὶ τὸ κεῖσθαι, ἅπερ ἀπαρέμφατά εἰσιν. ἐπειδὴ δὲ μὴ γένος τὸ ὂν τῶν δέκα κατηγοριῶν, δύνανται καὶ τάξιν ὑποδέχεσθαι· προτέρα ἡ οὐσία ὡς ὑποκείμενον πᾶσι, δεύτερον τὸ ποσόν, ἐπειδὴ καὶ ἡ ἀνείδεος ὕλη πρό-
30 τερον ποσοῦται ⟨εἶθ' οὕτως ποιοῦται⟩, τρίτον τὸ ποιὸν καὶ τοῦ πρός τι πρότερον, ἐπειδὴ καὶ τὸ καθ' αὑτὸ τοῦ ἐν σχέσει πρότερον. ἀλλ' εἰ ταῦτα οὕτω, προτέτακται τὰ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ καὶ τὰ ἐξ οὐσίας καὶ ποιοῦ τῶν ἐξ οὐσίας καὶ πρός τι. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἐφ' οἷς μετὰ τὴν διαίρεσιν τῶν κατηγοριῶν καὶ τὸ πλῆθος ὅτι δέκα
35 καὶ οὔτε πλείους οὔτε ἐλάττους, ὡς ἐδείξαμεν, φέρε τὰς εἰωθυίας ἀπορίας

---

1 ante πατὴρ add. ἢ H 3 ὄρθιά ἐστι] ὀρθιάζει K 9 δὲ om. KP 10 ante οὐκ add. ἐν P μὲν om. P 13 δοκεῖ H 15 τὰ] τὸ P νοῆται H 17 ἀπογενῶνται H 20 εἰσὶ post ἁπλαῖ coll. K 22 ἐπεὶ H αὗται b: αὐται HKP 23 τὸ ἐν τόπω ὂν—ἀλλὰ (24) ex Urb. 35 inserui 24 τοῦτο γὰρ coll. K 25 τῷ] τὸ P 26 εἰσάγη H 29. 30 προτ.] δεύτερον K 30 εἶθ'—ποιοῦται ex Urb. 35 inserui 31 ἐπειδὴ—πρότερον in mrg. suppl. P ἐν om. KP 32 pr. τὰ om H ποσοῦ τῶν ἐξ οὐσ. καὶ ποιοῦ in mrg. suppl. H 33 ante πρός add. τῶν K

φέρεσθαι κατὰ τῶν κατηγοριῶν ἀπορήσαντες εἴπωμεν τὰς λύσεις αὐτῶν. ἀποροῦσι τοίνυν οἱ μειονεξίαν αὐτῶν κατηγοροῦντες ὅτι διὰ τί μὴ ἕνδεκα αἱ κατηγορίαι προστιθεμένου τοῦ ἔχεσθαι· τί δήποτε γὰρ τῷ μὲν ποιεῖν τὸ πάσχειν ἀντέταξε, τῷ δὲ ἔχειν τὸ ἔχεσθαι οὐκέτι; καὶ λύει τοῦτο 5 Συριανὸς | λέγων ὅτι ὑπὸ τὸ κεῖσθαι ἀνάγεται τὸ ἔχεσθαι, ἔχομεν δὲ μίαν 245r κατηγορίαν τὸ κεῖσθαι· τὸ γὰρ ἐχόμενον ἐν τῷ ἔχοντι κεῖται· οἷον ἔχει τις δακτύλιον ἢ ἱμάτιον ἢ ὑποδήματα, ταῦτα ἐν τῷ ἔχοντι κεῖνται. ἄλλοι ἀποροῦσιν, οἱ πλεονεξίαν αὐτῶν κατηγοροῦντες, διὰ τί μὴ ἐννέα αἱ κατηγορίαι, τοῦ ποιεῖν καὶ πάσχειν ὑπὸ τὸ κινεῖσθαι ἀναγομένων· ἀμφότερα 10 γὰρ κινοῦνται, καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον. πρὸς ὅ φαμεν ὅτι οὐχ ἣν κίνησιν κινεῖται τὸ ποιοῦν, κινεῖται καὶ τὸ πάσχον, οὐδὲ ἣν κίνησιν κινεῖται τὸ πάσχον, ταύτην ἀντιδρᾷ καὶ τὸ ποιοῦν· οἷον τὸ πῦρ θερμαίνει, ⟨ἀλλ'⟩ οὐ καθὸ θερμαίνει ψύχεται, οὐδὲ πάλιν ἡ χιὼν καθὸ ψύχει θερμαίνεται· καθόλου γὰρ οὐδὲν τῶν ὄντων καθὸ ποιεῖ καὶ πάσχει, οὐδὲ καθὸ πάσχει καὶ ποιεῖ. 15 ἄλλοι δὲ διὰ τί μὴ ὀκτὼ αἱ κατηγορίαι, τοῦ ποιεῖν καὶ τοῦ πάσχειν ὑπὸ τὰ πρός τι ἀναγομένων. πρὸς ὅ φαμεν ὅτι τὸ ποιοῦν καὶ τὸ πάσχον τῶν πρός τι, τὸ δὲ ποιεῖν καὶ τὸ πάσχειν, τὰ ἀπαρέμφατα, οὐ πρός τι. ἄλλοι δὲ διὰ τί μὴ ἓξ αἱ κατηγορίαι, τοῦ ἔχειν καὶ τοῦ κεῖσθαι ὑπὸ τὰ πρός τι ἀναγομένων. ἡ αὐτὴ δὲ λύσις, ὅτι τὸ ἔχον καὶ τὸ κείμενον τῶν πρός τι, 20 τὸ δὲ ἔχειν καὶ τὸ κεῖσθαι, τὰ ἀπαρέμφατα, οὐ πρός τι. ἄλλοι διὰ τί μὴ πέντε αἱ κατηγορίαι, ὡς ὁ Γαληνός, οὐσία ποσὸν ποιὸν πρός τι πρός τί πως ἔχον. πρὸς ὅ φαμεν ὅτι οὐ δύναται τὸ πρός τί πως ἔχον γένος εἶναι τῶν λοιπῶν κατηγοριῶν· ἐν γὰρ τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις οὐκ ἔστι τάξις οὐδὲ τὸ πρότερον καὶ τὸ δεύτερον, ἐπὶ δὲ τῶν συνθέτων κατη- 25 γοριῶν ἔστι τάξις· πρότεραι γὰρ αἱ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ καὶ αἱ ἐξ οὐσίας καὶ ποιοῦ τῶν ἐξ οὐσίας καὶ πρός τι. εἰ δέ τις εἴποι τέσσαρας κατηγορίας μόνον, οὐσίαν ποσὸν ποιὸν πρός τι, τὰς δὲ ἓξ ὡς σχετικὰς ὑπὸ τὰ πρός τι ἀνάγεσθαι, ῥητέον ὅτι ἐπὶ τῶν πρός τι ψιλὴ σχέσις ἐστίν, ἐπὶ δὲ τῶν λοιπῶν ἓξ κατηγοριῶν οὐκ ἔστι ψιλὴ σχέσις ἀλλὰ 30 σχέσις μεθ' ὕλης, οὐσία μετὰ ποσοῦ, οὐσία μετὰ ποιοῦ, οὐσία μετὰ τῶν πρός τι. ἄλλοι διὰ τί μὴ τέσσαρες αἱ κατηγορίαι, ὥς φησιν ὁ Πλωτῖνος, οὐσία ποσὸν ποιὸν πρός τι· αἱ γὰρ λοιπαὶ ἐκ τῆς συμπλοκῆς τούτων ἐγένοντο. καὶ λύει ὁ αὐτὸς λέγων ὅτι κἂν σύνθετοι ὦσιν, ἀλλ' οὖν ἁπλῆ ἡ νόησις αὐτῶν· ἄλλο δὲ εἶδος τοῦ ἁπλοῦ παρὰ τὸ σύνθετον, καὶ ἄλλο τὸ 35 σύνθετον· ἄλλο γὰρ ἄνθρωπος εἶναι καὶ ἄλλο ψυχὴ εἶναι, ἄλλο σώματι

---

3. 4 τῷ scripsi: τοῦ libri 8 αὐτῶν ex αὐτοῦ corr. K 10 pr. καὶ om. HK ποιεῖν καὶ τὸ πάσχειν H¹ 11 κίνησιν—ἣν om. P οὐδὲ—ποιοῦν (12) in mrg. suppl. H 12 ἀλλ' inserui 21 αἱ om. P Γαληνός] cf. Prantelii Log. I p. 563 22 ἔχων (alt. l.) H 23. 24 οὐκ ἔστι] οὐκέτι K 24 ἐπὶ] ἐπεὶ H 25 πρότεραι b: πρῶται HKP 25 ποσοῦ—pr. οὐσίας καὶ (26) in mrg. paene oblitterata suppl. H: om. KP 30 οὐσία μετὰ ποιοῦ in mrg. suppl. K τῶν iter. P 31 Πλωτῖνος] cf. Enn. VI, 1,13 sq. 33 ὦσιν b: εἰσιν HKP 34 καὶ ἄλλο τὸ σύνθετον om. K (fort. recte)

εἶναι καὶ ἄλλο ἀνθρώπῳ εἶναι. ἕτεροί φασι διὰ τί μὴ τρεῖς αἱ κατηγορίαι, οὐσία ποσὸν ποιόν· τὰ γὰρ πρός τι οἰκείαν ὕλην μὴ ἔχοντα ἐν τούτοις θεωρεῖται. πρὸς οὕς φαμεν ὅτι κἂν οἰκείαν ὕλην μὴ ἔχωσιν, ἀλλ' οὖν ἄλλο εἶδος τῶν πρός τι· τὰ δὲ πράγματα τῷ εἴδει κρίνεται, οὐ τῇ ὕλῃ·
5 ἄνθρωπος γὰρ καὶ βοῦς καὶ ἵππος κοινὴν ἔχοντες τὴν ὕλην διάφορον εἶδος ἔχουσιν. ἄλλοι φασὶ | διὰ τί μὴ δύο αἱ κατηγορίαι, οὐσία καὶ συμβεβηκός. 245v καὶ λέγομεν ὅτι οὐ δύναται τὸ συμβεβηκὸς γένος εἶναι τῶν ἐννέα· οὐδέποτε γὰρ ἀπὸ τῶν εἰδῶν τῶν ἀπὸ γένους καταγομένων τὰ μὲν καθ' αὑτὰ τὰ δὲ κατὰ συμβεβηκότα εὑρήσεις, ἀλλ' ἢ πάντα καθ' αὑτά, ὡς τὰ μέρη
10 τῆς οὐσίας, ἢ πάντα ἐν σχέσει, ὡς τὰ μέρη τοῦ πολυπλασίου, τὸ διπλάσιον τὸ τριπλάσιον τὸ τετραπλάσιον· ἐπὶ δὲ τῶν ἐννέα κατηγοριῶν τὰ πρός τι μόνον ἐν σχέσει εἰσίν. ἕτεροι διὰ τί μὴ μία κατηγορία, τὸ ὂν διὰ πάντων διῆκον. καὶ λέγομεν ὅτι οὐ δύναται τὸ ὂν γένος εἶναι τῶν δέκα κατηγοριῶν. τούτου δὲ καὶ αἱ αἰτίαι εἴρηνται ἡμῖν ἀνωτέρω. ἐν οἷς καὶ ἡ
15 παροῦσα πρᾶξις.

⟨Περὶ οὐσίας⟩.

p. 2a11 Οὐσία δέ ἐστιν ἡ κυριώτατα καὶ πρώτως.

Ἓξ δέ τινα κεφάλαια δεῖ προλαβεῖν τοῦ περὶ τῆς οὐσίας λόγου· πρῶτον μὲν διὰ τί ἀπὸ οὐσίας ἤρξατο ὁ Ἀριστοτέλης, δεύτερον ποσαχῶς ἡ οὐσία
20 καὶ περὶ ποίας αὐτῷ ὁ λόγος, τρίτον διὰ τί φιλοκαθόλου ὢν ὁ Ἀριστοτέλης καὶ προτάττων ἀεὶ τὰ καθόλου τῶν μερικῶν (αὐτὸς γάρ ἐστιν ἐν τοῖς Ἀποδεικτικοῖς ὁ λέγων ὅτι τοσοῦτον κρείττω ἐστὶ τὰ καθόλου τῶν μερικῶν ὅσον τὰ ἀίδια τῶν φθαρτῶν καὶ ἡ ἐπιστήμη τῆς αἰσθήσεως), νῦν τὰ ἐναντία ποιεῖ καὶ τὴν μερικὴν προτάττει οὐσίαν, τέταρτον εἰ δύναται ὡς γένος ἡ
25 οὐσία διαιρεθῆναι (δόξει γὰρ μὴ δύνασθαι· ἐπὶ γὰρ τῶν ὡς γένος εἰς εἴδη διαιρουμένων οὐκ ἔστι τάξις, ἐπὶ δὲ τῆς οὐσίας τῶν μερῶν ἔστι τάξις, καὶ οὐ μόνον τάξις ἔστιν, ἀλλὰ καὶ ὀνόματα ἔλαχον τοιαῦτα, πρῶτον καὶ δεύτερον οὐσία), πέμπτον εἰ μὴ ὡς γένος δύναται διαιρεθῆναι, κατὰ ποῖον εἶδος διαιρέσεως διαιρεῖται εἰς πρῶτον καὶ δεύτερον, ἕκτον εἰ ὑγιῶς ἔχει ὁ ἀπο-
30 δεδομένος τῆς οὐσίας ὁρισμός, ὅτι οὐσία ἐστὶν ἥτις οὐδὲ καθ' ὑποκειμένου λέγεται οὐδὲ ἐν ὑποκειμένῳ ἐστί· δόξει γὰρ μὴ ὑγιῶς ἔχειν, διότι οὐ τὸ τί ἐστιν ἡ οὐσία λέγει, ἀλλὰ τί οὐκ ἔστιν, ὅπερ ὑπάρχει καὶ τῷ μηδαμῇ μηδαμῶς ὄντι· τὸ γὰρ ὅλως μὴ ὂν οὐδὲ καθ' ὑποκειμένου λέγεται οὐδὲ ἐν ὑποκειμένῳ ἐστί. ταῦτα δεῖ τὰ ἓξ προλαβεῖν καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου,

---

11 τὸ τετραπλάσιον in mrg. suppl. H 12 post σχέσει add. πάντα H ἕτεροι] ἔτι KP 14 καὶ (ante αἱ) om. H ἀνωτέρω] cf. p. 159,27 16 Περὶ οὐσίας addidi 17 δέ om. KP κυριωτάτη H[1] 18 τι P προλαμβάνειν H[1] περὶ] πῶς P 20 φίλω καθόλου P 21 προτάττει H ἐν τοῖς Ἀποδεικτ.] cf. Anal. post. A 24 p. 86a 18. 29 22 κρείττων P 23 ὅσον] ὅτι K 25 εἰς om. H 27 ἔλαβον K 29 ante διαιρεῖται add. καὶ P

διὰ τί ἀπὸ τῆς οὐσίας ἤρξατο. καὶ λέγομεν τούτου τρεῖς αἰτίας· ἢ ὅτι προηγεῖσθαι δεῖ τὸ αὐθυπόστατον τοῦ ἑτερουποστάτου, ἢ ὅτι μία μὲν ἡ οὐσία πολλὰ δὲ τὰ συμβεβηκότα, προηγεῖται δὲ τὸ ἓν τῶν πολλῶν, ἢ ὅτι φύσει προτερεύει ἡ οὐσία τῶν συμβεβηκότων· συνεισφέρεται γὰρ καὶ οὐ
5 συνεισφέρει, συναναιρεῖ καὶ οὐ συναναιρεῖται. δεύτερον ἦν κεφάλαιον, ποσαχῶς ἡ οὐσία καὶ περὶ ποίας αὐτῷ ὁ λόγος. δεῖ οὖν εἰδέναι ὅτι ἑξαχῶς ἡ οὐσία λέγεται· ἡ γὰρ οὐσία ἢ πᾶσαν ὕπαρξιν δηλοῖ, ἥτις καὶ κατὰ συμβεβηκότων φέρεται ὡς καὶ αὐτῶν διὰ τὸ ὑφεστάναι οὐσιῶν λεγομένων, ἢ τὴν μὴ ἐν ὑποκειμένῳ φύσιν | τὴν ἀντιδιαιρουμένην τοῖς συμβεβηκόσιν· 246r
10 αὕτη δὲ ἡ μὴ ἐν ὑποκειμένῳ φύσις ἢ ἁπλῆ ἐστιν ἢ σύνθετος, καὶ εἰ μὲν ἁπλῆ, ἢ κρείττων τῆς συνθέτου ἢ χείρων τῆς συνθέτου, κρείττων μὲν ὡς θεὸς νοῦς ψυχή, χείρων δὲ ὡς ὕλη καὶ εἶδος. χείρονα δὲ ταῦτα τῆς συνθέτου, ἐπειδὴ διὰ τὴν σύνθεσιν παρελήφθησαν· καθόλου γὰρ ἔστιν εἰπεῖν ὅτι ὅσα διά τινος χρείαν παραλαμβάνονται χείρονά εἰσιν ἐκείνου τοῦ δι' ὃ
15 παρελήφθησαν, ὡς χαλινοποιητικὴ ἱππικῆς χείρων καὶ δρυτομικὴ ναυπηγικῆς. οὕτως μὲν ἡ ἁπλῆ. σύνθετος δὲ ἢ καθ' ἑαυτήν, ὡς Σωκράτης Πλάτων Ἀλκιβιάδης, ἢ σχετική, ὡς ὁ τὶς ἄνθρωπος καὶ ὁ τὶς ἵππος· τὸ γὰρ τὶς πρὸς τὸ πᾶς λέγεται, ὅπερ ἐστὶ σχέσεως. ἔστι τις καὶ οὐσία ἕκτη, περιεκτικὴ τῆς συνθέτου καὶ σχετικῆς. τοσαυταχῶς τῆς οὐσίας λεγομένης
20 περὶ ποίας τῷ Ἀριστοτέλει ὁ λόγος; καὶ λέγομεν ὅτι οὐ περὶ τῆς πᾶσαν ὕπαρξιν δηλούσης (τοῦτο γὰρ αἱ δέκα διδάσκουσι κατηγορίαι), οὐ περὶ τῆς ἁπλῆς καὶ χείρονος τῆς συνθέτου (ταῦτα γὰρ φυσιολογίας διδάξαι ἴδιον), οὐ περὶ τῆς συνθέτου καὶ καθ' αὑτήν (ταῦτα γὰρ πάλιν φυσιολογίας διδάξαι ἴδιον, οἷον δαλοὺς καὶ αἶγας καὶ κομήτας καὶ διάττοντας καὶ αὐτῶν
25 τὴν φύσιν ἀναπτύξαι), ἀλλὰ περὶ τῆς συνθέτου καὶ σχετικῆς, οἷον τοῦ τινὸς ἀνθρώπου· αὕτη γὰρ καὶ πρότασιν ποιεῖ, περὶ ἣν καὶ ἡ διαλεκτικὴ καταγίνεται· ἡ γὰρ διαλεκτικὴ οὐ τὰς φύσεις ζητεῖ, ἀλλὰ τὰς σχέσεις τῶν οὐσιῶν· σιωπάσθωσαν γὰρ αἱ διαφοραὶ ὡς μήτε περιέχουσαι κυρίως (ὁ γὰρ ἄνθρωπος ὁ τὶς λογικὸς μὲν λέγεται, λογικότης δὲ οὐ λέγεται), μήτε συνεγνω-
30 σμέναι τῷ πολλῷ ἀνθρώπῳ· ὁ γὰρ πολὺς ἄνθρωπος λογικὸν μὲν ζῷον εἰπεῖν οἶδε, λογικότητα δὲ εἰπεῖν οὐκ οἶδεν. ἔστι δὲ ἕκτη οὐσία ἡ περιεκτικὴ τῆς συνθέτου καὶ σχετικῆς· τὰς γὰρ διαφορὰς ἐδείξαμεν μὴ περιέχειν, αὕτη δὲ ἡ ἕκτη οὐσία γενικὴ λέγεται καὶ εἰδική. ταύτην καλεῖ δευτέραν οὐσίαν ὁ Ἀριστοτέλης. εἰ δὲ ἀπορήσει τις διὰ τί μὴ καὶ αὕτη ὑπὸ τὴν διαίρεσιν
35 ἔπεσε, λέγομεν ὅτι οὐκ ἠδύνατο· ἐν πᾶσι γὰρ τοῖς ἀντιδιῃρημένοις σκέλεσι θεωρεῖται καὶ οὐκ ἠδύνατο ἑνὶ σκέλει ἀντιδιαιρεθῆναι· δύναται γὰρ αὐτὴ καὶ ἁπλῆ εἶναι καὶ σύνθετος, καὶ κρείττων τῆς συνθέτου καὶ χείρων τῆς συνθέτου οὖσα· ἁπλῆ μὲν ὅταν λαμβάνηται γενικωτάτη, σύνθετος δὲ ὅταν

---

2 μὲν μία coll. P 3 ἢ om. K 4 προτεύει H 6 αὐτῶν H
9 ἀντιδιαιρ. scripsi: μὴ διαιρ. HKP 11 post ἁπλῆ add. ἐστιν K 13 καθόλου —παρελήφθησαν (15) om. K 20 περὶ om. H 21 διδ. αἱ δέκα coll. P
22 ταῦτα—ἴδιον om. P 23 οὐ—συνθέτου in mrg. suppl. P 27 ἡ] εἰ P
29 μήτε scripsi: μὴ libri 30 πολλὺς H 33 ἰδική HP 34 ὁ om. P

λαμβάνηται εἰδικωτάτη. κρείττων τῆς συνθέτου ὅταν λαμβάνηται πρὸ τῶν πολλῶν, χείρων τῆς συνθέτου ὅταν λαμβάνηται ἐπὶ τοῖς πολλοῖς. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

p. 2a11 Οὐσία δέ ἐστιν ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα
5 λεγομένη.

Τρίτον ἦν κεφάλαιον τῶν προτεθέντων ζητῆσαι διὰ τί φιλοκαθόλου ὢν ὁ Ἀριστοτέλης καὶ ἀεὶ προτάττων τὰ καθόλου τῶν μερικῶν νῦν τὴν μερικὴν καὶ ἄτομον οὐσίαν | προτάσσει τῆς καθόλου. καὶ λύομεν τοῦτο 246v οὕτως· ἢ ὅτι τῇ πρὸς ἡμᾶς τάξει ἐχρήσατο (πρὸς ἡμᾶς γὰρ αὕτη πρώτη·
10 πρῶτον γὰρ τοῖς μερικοῖς ἐντυγχάνομεν καὶ οὕτως τοῖς καθόλου), ἢ καὶ ἄλλως ὅτι καὶ κατ' ἀλήθειαν πρώτη ἐστὶν ἡ ἄτομος οὐσία τῆς καθόλου ἐπὶ τοῖς πολλοῖς· αὕτη γὰρ ἐπινοίᾳ λαμβανομένη συμβεβηκός ἐστιν. ὅτι δὲ οὐκ ἔστιν αὕτη κυρίως πρώτη τῆς καθόλου ταύτης ἐπὶ τοῖς πολλοῖς, δηλοῖ αὐτὸς ἑκατέρᾳ προσθεὶς τὸ λεγομένη, ὡς μηδὲ ταύτης, φημὶ τῆς
15 ἀτόμου, κατὰ ἀλήθειαν πρώτης οὔσης μηδὲ τῆς καθόλου δευτέρας. τέταρτον ἦν κεφάλαιον ὅτι εἰ δύναται ὡς γένος διαιρεθῆναι ἡ οὐσία εἰς πρώτην καὶ δευτέραν· ἐν τοῖς γὰρ ὡς γένος εἰς εἴδη διαιρουμένοις οὐκ ἔστι τὸ πρῶτον καὶ τὸ δεύτερον * * ἔστι πρώτη οὐσία καὶ δευτέρα. πρὸς ὅ φαμεν ὅτι ὁ κανὼν οὗτος ἐπὶ τῶν ἀντιδιαιρουμένων ἔρρωται· ἐκεῖ γὰρ οὐκ ἔστι τὸ
20 πρῶτον καὶ τὸ δεύτερον· οὐδὲ γὰρ πρῶτον τὸ ἀσώματον τοῦ σώματος ἢ τὸ ἔμψυχον τοῦ ἀψύχου ἢ τὸ λογικὸν τοῦ ἀλόγου, οὐδὲ ἐπὶ ποσοῦ πρῶτον τὸ διωρισμένον τοῦ συνεχοῦς ἢ ἐπὶ ποιοῦ τὸ λευκὸν τοῦ μέλανος. εἰ δὲ κατὰ βάθος ληφθῇ ἡ διαίρεσις, ἔστι τὸ πρῶτον καὶ τὸ δεύτερον· τὸ γὰρ γένος πρότερον τῶν οἰκείων εἰδῶν καὶ τὰ εἴδη τῶν ἀτόμων. εἰ δὲ ἀναιρεῖ
25 τις τὴν κατὰ βάθος διαίρεσιν ἤτοι πρόοδον, ἀναιρεῖ πᾶν γένος· ἐπειδὴ γὰρ ἐν πάσῃ κατηγορίᾳ ἐστὶ καὶ γενικώτατον καὶ ὑπάλληλον καὶ εἰδικώτατον καὶ ἄτομον καὶ πρῶτόν ἐστι τὸ γενικώτατον τοῦ ὑπαλλήλου καὶ τὸ ὑπάλληλον τοῦ εἰδικωτάτου καὶ τὸ εἰδικώτατον τοῦ ἀτόμου, ἀναιρουμένης τῆς κατὰ βάθος διαιρέσεως πάντα ἐκεῖνα ἀναιρεῖται. πέμπτον ἦν κεφάλαιον
30 κατὰ ποῖον εἶδος διαιρέσεως διαιρεῖται ἡ οὐσία εἰς πρῶτον καὶ δεύτερον. καὶ λέγομεν, ὡς γένος εἰς εἴδη οὐ δύναται, αὐτοῦ Ἀριστοτέλους λέγοντος τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί, οἷον ζῴου καὶ ἐπιστήμης· ζῴου μὲν διαφοραὶ λογικὸν καὶ ἄλογον, πεζὸν ἔνυδρον, ἐπιστήμης δὲ πταιστὸν ἄπταιστον, ἐνυπό-
35 θετον ἀνυπόθετον· εὑρίσκομεν δὲ ἐπὶ παντὸς γένους τὸ πρῶτον καὶ τὸ δεύτερον, οἷον τοῦ ποσοῦ τὸ μὲν πρῶτον τὸ δὲ δεύτερον καὶ τοῦ ποιοῦ,

1 ἰδικωτάτη HP 6 ἦν om. K 10 τοῖς] τῆς P καὶ (post ἢ) om. P 14 αὐτῷ H: αὐτὸ P 18 ante ἔστι lac. signavi; addas πῶς οὖν 19 ἔρωται P 20 alt. πρῶτον scripsi: ποτε HKP (cf. v. 21) 25 πρόσοδον P 25. 26 ἐν πάσῃ γὰρ ἐπειδὴ coll. K 26 ἰδικ. HP (fere constanter) 28 τὸ om. HK post ἀναιρουμ. add. οὖν HP 30 τὸ πρ. καὶ τὸ δεύτ. H (cf. p. 161,29) 31 ὡς om. KP 34 ἄπτεστον H

ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων γενῶν. ἐὰν οὖν συγχωρηθῇ διαιρεθῆναι ἡ οὐσία ὡς γένος εἰς πρῶτον καὶ δεύτερον, εὑρισκόμεθα πᾶν γένος οὕτω διαιροῦντες καὶ τὰς αὐτὰς διαφορὰς ποιοῦντες τῶν ἑτέρων γενῶν. εἰ δὲ λέγω ὅτι οὐ δύναται ὡς γένος διαιρεθῆναι, κατ' οὐδὲν εἶδος τῶν ἓξ διαι-
5 ρέσεων διαιρεῖται ἡ οὐσία εἰς πρῶτον καὶ δεύτερον, ἐπειδὴ αἱ διαιρέσεις διακρίσεως χάριν ἐπενοήθησαν, διὰ τὸ τὰ τμήματα χωρίζειν ἀπ' ἀλλήλων, ἵνα μὴ περιέχωσιν ἑαυτά (ἐν οὐδεμιᾷ γὰρ διαιρέσει τὰ τμήματα περιέχει ἄλληλα, καὶ οὐδεὶς διαιρεῖ τὸν Σωκράτην εἰς χεῖρας καὶ δακτύλους, ἐπειδὴ ἡ χεὶρ ἡ τοῦ Σωκράτους καὶ τοὺς δακτύλους περιέχει), ἐνταῦθα δὲ περι-
10 έχει ἡ | καθόλου οὐσία τὴν ἄτομον. τί οὖν δεῖ εἰπεῖν; ὅτι τάξις ἐστὶ 247r διδασκαλικὴ καὶ ἀπαρίθμησις ψιλή, ὡς εἴ τις τὸν γραμματικὸν εἴποι καταγίνεσθαι περὶ συλλαβὰς λέξεις στοιχεῖα, οὐχ ὅτι διαίρεσίς ἐστι τοῦτο (περιέχει γὰρ ἡ λέξις τὰς συλλαβὰς καὶ αἱ συλλαβαὶ τὰ στοιχεῖα· οὐδὲ γὰρ τὸ ἐκφωνούμενον εἰς ταῦτα διαιρεῖται), πάλιν ὡς εἴ τις εἴποι τὸν φυσικὸν δια-
15 λαμβάνειν περὶ τοῦ ἀποίου σώματος, περὶ ὕλης καὶ εἴδους καὶ περὶ τῶν τεσσάρων στοιχείων, οὐχ ὅτι διαίρεσίς ἐστιν αὕτη· περιέχει γὰρ τὸ εἶδος τὴν ὕλην καὶ τὰ στοιχεῖα τὸ ἄποιον σῶμα. ταῦτα ἔχει ἡ πρᾶξις.

p. 2a11 Οὐσία ἐστὶν ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα λεγομένη.

20 Ἕκτον ἦν κεφάλαιον τῶν προτεθέντων ζητῆσαι εἰ ὑγιῶς ἔχει ὁ ἀποδεδομένος ὁρισμὸς τῆς ἀτόμου οὐσίας· δόξει γὰρ μὴ ὑγιῶς ἔχειν, ἐπειδὴ ἁρμόζει καὶ τῷ μηδαμῇ μηδαμῶς ὄντι (λέγει γὰρ τί οὐκ ἔστιν ἡ οὐσία, τί δὲ ἔστιν οὐ λέγει), καὶ ὅτι ἔδει τὴν οὕτω προτιμηθεῖσαν οὐσίαν ὑπ' αὐτοῦ διὰ καταφατικῶν λέξεων ὁρισθῆναι καὶ μὴ δι' ἀποφατικῶν, ἐπειδὴ
25 χείρων ἡ ἀπόφασις τῆς καταφάσεως· ἡ γὰρ ἀπόφασις ἀναίρεσιν καὶ φθορὰν μιμεῖται, ἡ δὲ κατάφασις γένεσιν καὶ θέσιν, ὅπερ ἐστὶ τιμιώτερον. καὶ ἀρκτέον ἀπὸ τῆς δευτέρας λύσεως. οὐκ ἀεὶ χείρων ἡ ἀπόφασις· ἐπὶ γὰρ τῶν ἄκρων χρώμεθα αὐτῇ, θεοῦ λέγω καὶ ὕλης. ἐπὶ μὲν θεοῦ οὕτως· θεός ἐστιν ὃ μήτε νοῦς μήτε ψυχὴ μήτε γένος, οὐδὲ σῶμα οὐδὲ ἀσώ-
30 ματον, κρεῖττον δὲ τούτων ἁπάντων. ἐπὶ δὲ τῆς ὕλης οὕτως· ὕλη ἐστὶν ὃ μήτε θεός ἐστι μήτε νοῦς μήτε ψυχὴ μήτε εἶδος μήτε στέρησις, χεῖρον δὲ τούτων ἁπάντων. διὸ ὁ Πλάτων ἀνομοίως ὡμοιῶσθαι λέγει, ὡμοιῶσθαι μὲν ὅτι ἐξ ἀποφάσεως ἕκαστον ὁρίζεται, ἀνομοίως δὲ διότι ποῦ μὲν πρόσκειται τὸ κρεῖττον τούτων πάντων ποῦ δὲ τὸ χεῖρον. ἀλλ'
35 οὐδὲ τῷ μηδαμῇ μηδαμῶς ἁρμόζει· ἐπεξηγεῖται γὰρ τὸν ὁρισμόν, ὅτι διὰ τοῦτο οὐ λέγεται καθ' ὑποκειμένου, ἐπειδὴ ὑπόκειται τοῖς καθ' ὑποκειμένου· εἰ δὲ ταῦτα οὕτως, οὐ μόνον τί οὐκ ἔστι λέγει, ἀλλὰ καὶ τί ἔστι· τὸ γὰρ ὑποκείμενόν τισιν ὄν ἐστιν.

---

3 εἰ scripsi: τί libri 4 ὡς scripsi: εἰς HKP 13 λέξεις H 18 οὐσία δέ Arist. (cf. p. 161,17; 163,4) 20 εἰ om. P 21 ὅρος K 28 τῶν iter. P 30. 34 κρείττω HP 32. 34 χείρω HP 32 ὁ Πλάτων] cf. Philop. in Cat. p. 52,5

p. 2a11 Οὐσία δέ ἐστιν ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα λεγομένη.

Πανταχόθεν ἀνυμνεῖ τὴν ἄτομον οὐσίαν ὁ Ἀριστοτέλης, ἀπὸ τῶν φωνῶν διὰ τοῦ κυριώτατα (ἔπαινος γὰρ τῆς φωνῆς ἡ κυριολεξία, ὥσπερ 5 ψόγος ἡ μεταφορὰ καὶ ἡ κατάχρησις· διὸ οἱ γραμματικοὶ τὰ κύρια τῶν ὀνομάτων ἐπὶ τῶν ἀτόμων οὐσιῶν τιθέασιν), ἀπὸ τῶν νοημάτων διὰ τοῦ πρώτως (πρῶτον γὰρ νοοῦμεν τὰς ἀτόμους οὐσίας καὶ ἀπ' αὐτῶν ἐρχόμεθα εἰς ἔννοιαν τῶν καθόλου οὐσιῶν), ἀπὸ τῶν πραγμάτων διὰ τοῦ μάλιστα· μάλιστα γάρ ἐστιν ἡ ἄτομος οὐσία, εἴ γε τὰ συμβεβηκότα διὰ 10 ταύτην εἰσίν· ὥσπερ γὰρ τὸν παιδαγωγὸν φιλοῦντες διὰ τοὺς παῖδας μᾶλλον τοὺς | παῖδας φιλοῦμεν καὶ ὥσπερ τὸν κεκερασμένον οἶνον διὰ τὸν 247v ἄκρατον λέγοντες μεθύσκειν τὸν ἄκρατον μᾶλλον λέγομεν μεθύσκειν, οὕτως ἐπειδὴ τὰ συμβεβηκότα διὰ τὴν ἄτομον οὐσίαν εἰσί, μάλιστά ἐστιν οὐσία.

p. 2a12 Λεγομένη.

15 Ἐκόλασεν ἐνταῦθα ὁ Ἀριστοτέλης ὅλας τὰς εὐφημίας προσθεὶς τὸ λεγομένη, ὡς ἂν τῆς ἀτόμου οὐσίας κυριώτατα καὶ πρώτως καὶ μάλιστα λεγομένης, μὴ οὔσης δέ, ἄλλης δὲ οὔσης τῆς κυριώτατα καὶ πρώτως καὶ μάλιστα κατ' ἀλήθειαν οὔσης.

p. 2a12 Ἥτις οὐδὲ καθ' ὑποκειμένου λέγεται οὐδὲ ἐν ὑποκει-
20 μένῳ τινί ἐστιν.

Ὅταν ὁ Ἀριστοτέλης τὰ ἄλλοις δοκοῦντα λέγῃ, προστίθησι τὸ λεγομένη ἢ τὸ λέγεται, ὡς ἐπὶ τοῦ κυριώτατα καὶ πρώτως καὶ μάλιστα προσέθηκε τὸ λεγομένη, ὡς ἂν ὑπ' ἄλλων αὐτῆς οὕτω λεγομένης καὶ οὐχ ὑπ' αὐτοῦ, ὅταν μέντοι αὐτὸς οὕτως δοξάζῃ, τὸ ἔστι προστίθησιν, ⟨ὡς⟩ 25 ἥτις οὐδὲ καθ' ὑποκειμένου τινὸς λέγεται οὐδὲ ἐν ὑποκειμένῳ τινί ἐστι. τὸ δὲ λέγεται δεῖ λαβεῖν ἐνταῦθα ἀντὶ τοῦ κατηγορεῖται, καὶ οὐκ ὀνομάζεται.

p. 2a14 Δεύτεραι δὲ οὐσίαι λέγονται τὰ εἴδη, ἐν οἷς εἴδεσιν αἱ πρῶται λεγόμεναι οὐσίαι ὑπάρχουσιν.

30 Ἀποροῦσι δέ τινες διὰ τί μὴ εἶπεν ὅτι δεύτεραι οὐσίαι εἰσὶ τὰ γένη καὶ τὰ εἴδη. καὶ λέγομεν ὅτι καὶ συμβεβηκότα περιελάμβανεν, εἰ τοῦτο

---

3 ὁ om. H 6 νοημ.] ὀνομάτων K 7. 8 ἀρχόμ. K[1] 11 τὸν (ante ἄκρ.)] τὸ KP 12 λέγοντες—μᾶλλον om. P alt. ἄκρ.] οἶνον K λέγ. μεθ.] φιλοῦμεν K 17 καὶ μάλιστα iter. H 19 ἥτις] ἢ Arist. οὐδὲ . . οὐδὲ] μήτε . . μήτε Arist. καθ' ὑποκ. τινὸς Arist. (cf. v. 25) 21 λέγει H 23 αὐτῆς . . λεγομένης scripsi: αὐτὴν . . λεγομένην HKP 24 ὡς addidi ἥτις . .] cf. v. 19 28 τὰ εἴδη om. Arist. 29 οὐσ. λεγ. coll. Arist.

εἶπεν· ἔστι γὰρ καὶ ἐν συμβεβηκόσι γένος καὶ εἶδος, ὡς χρῶμα καὶ τὸ λευκόν. ἵνα οὖν ταῦτα φύγῃ, ἀκριβέστερον εἶπεν ὅτι δευτέρας οὐσίας καλῶ τὰς περιεχούσας τὴν ἄτομον οὐσίαν, τὴν γενικὴν καὶ τὴν εἰδικήν. ταῦτα ἔχει ἡ πρᾶξις.

5 p. 2a19 Φανερὸν δὲ ἐκ τῶν εἰρημένων.

Ἐπαινέσας ὁ Ἀριστοτέλης πανταχόθεν τὴν ἄτομον οὐσίαν, ἀπὸ τῶν φωνῶν διὰ τοῦ κυριώτατα, ἀπὸ τῶν νοημάτων διὰ τοῦ πρώτως, ἀπὸ τῶν πραγμάτων διὰ τοῦ μάλιστα, ἐπειδὴ ᾔσθετο ἑαυτοῦ μὴ ἀξίως τῆς εὐφημίας ὑπογράψαντος (τῷ γὰρ ὄντι οὐ τί ἔστιν εἶπεν, ἀλλὰ τί οὐκ ἔστι), καὶ 10 ὅτι τοῦτο ἁρμόζει τῷ μηδαμῇ μηδαμῶς ὄντι, ἐξαίρει αὐτὴν διὰ τῆς ὑπογραφῆς δυνάμει ταῦτα λέγων· οὐ δεῖ στῆναι μέχρι τῆς ἀποφάσεως, ἀλλὰ δεῖ ἐλθεῖν καὶ ἐπὶ τὸ ἀντικείμενον· οὐ γὰρ αἱ ἀποφάσεις τὸ τί ἔστι λέγουσιν, ἀλλὰ τὸ τί οὐκ ἔστι· διὰ τοῦτο γὰρ οὐ λέγω αὐτὸ καθ' ὑποκειμένου, ἐπειδὴ ὑπόκειται τοῖς καθ' ὑποκειμένου, ὡς διὰ τοῦτο χρείαν παρ- 15 έχειν τὴν ἄτομον οὐσίαν πᾶσι τοῖς παρ' ἑαυτήν· τριττῶν γὰρ ὄντων πάντων, ἡ πρώτη οὐσία, ἡ δευτέρα, τὰ συμβεβηκότα, περὶ τὴν ἄτομον οὐσίαν τὰ συμβεβηκότα καὶ αἱ δεύτεραι οὐσίαι, ἀλλὰ τοῖς συμβεβηκόσι χρείαν παρέχεται πρὸς ὕπαρξιν, ταῖς δὲ δευτέραις οὐσίαις πρὸς κατηγορίαν. εἰ οὖν πᾶσι χρείαν παρέχεται τοῖς παρ' ἑαυτήν, πῶς οὐ δικαίως κυριώτατα καὶ 20 πρώτως καὶ μάλιστά ἐστιν οὐσία; ὅτι δὲ χρείαν παρέχει πᾶσι τοῖς παρ' ἑαυτήν, τεχνικῶς κατασκευάζει αὐτός, καὶ οὐ δείκνυσιν ὅτι ἡ εἰδικὴ οὐσία δεῖται τῆς ἀτόμου | οὐσίας πρὸς κατηγορίαν, οἷον ἄνθρωπος (τοῦτο γὰρ 248r πᾶσι κατάδηλον, ὡς δηλοῖ τὸ πολλάκις κύριον ὄνομα εἰς τὸ προσηγορικὸν μεταβάλλειν καὶ ἀντὶ τοῦ εἰπεῖν ʻκάλεσόν μοι τὸν Σωκράτηνʼ φάναι ʻτὸν 25 ἄνθρωπον ἐκεῖνον κάλεσόν μοιʼ), * * καὶ δεικνύων αὐτὸς ὅτι γε τὸ ζῷον δεῖται τῆς ἀτόμου οὐσίας κατασκευάζει οὕτως· οὐκ ἔστι ζῷον ὃ οὐκ ἔστιν ἵππος ἢ βοῦς ἢ ἄνθρωπος, οὐκ ἔστιν ἄνθρωπος ὃς οὐκ ἔστι Σωκράτης ἢ Πλάτων ἢ Ἀλκιβιάδης, οὐκ ἔστιν ἄρα ζῷον ὃ οὐκ ἔστιν ἐν Σωκράτει ἢ Πλάτωνι ἢ Ἀλκιβιάδῃ. ὁμοίως καὶ ἐπὶ τῶν συμβεβηκότων οὐ δεικνύει ὅτι τόδε 30 τὸ λευκὸν δεῖται τῆς ἀτόμου οὐσίας, ἀλλ' ὅτι τὸ χρῶμα, λέγων οὕτως· οὐκ ἔστι χρῶμα ὃ μή ἐστιν ἐν σώματι, οὐκ ἔστι δὲ σῶμα ὃ μή ἐστι λευκὸν ἢ μέλαν ἢ πυρρόν, οὐκ ἔστιν ἄρα χρῶμα ὃ μή ἐστιν ἐν τῷδε τῷ σώματι ἢ ἐν τῷδε. οὕτω τοῦ Ἀριστοτέλους δείξαντος ὅτι πᾶσι τοῖς παρ' ἑαυτὴν χρείαν παρέχεται ἡ ἄτομος οὐσία καὶ ὅτι μὴ οὔσης ταύτης οὐδὲν 35 τῶν ἄλλων ὑφίσταται, ἐπιτείνων ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος τὴν εἰς φιλοσοφίαν καινοτομίαν πειρᾶται κατασκευάζειν ὅτι καὶ φύσει προτέρα ἐστὶν ἡ ἄτομος οὐσία πάντων· ὅτι γὰρ συναναιρεῖ, ἔδειξεν αὐτὸς ὁ Ἀριστοτέλης,

---

3 ἰδικὴν HP 5 φανεραὶ P 6 ἄτομον om. K 8 ἀξίαις K 8. 9 τῆς εὐφημίας scripsi: ταῖς εὐφημίαις libri 11 τῆς om. KP 16 pr. τὰ scripsi: ἢ libri 18 τὴν ὕπαρξιν KP 21 οὐ eras. K 22 τῆς] τοῖς P 24 φάναι scripsi: φαμὲν libri post φάναι add. ὅτι H 25 ante καὶ lac. signavi 27 ὃς scripsi: ὃ libri 28 σωκράτη H 32 πυρόν H 36 ἐπισκευάζειν H 37 συναιρεῖ P

ὅτι δὲ οὐ συναναιρεῖται, παραδεικνύει αὐτὸς οὕτως· ἰδού, φησίν, ὁ καθόλου ἥλιος ἀναιρεθεὶς τὸν τινὰ ἥλιον οὐκ ἀνεῖλε. πρὸς ὅ φαμεν ὅτι τὸ καθόλου διττόν, τὸ μὲν σχετικὸν ὡς πᾶς ἄνθρωπος (τὸ γὰρ πᾶς ἀεὶ σχετικόν), τὸ δὲ ἑνιαῖον καὶ κατ' αὐτὴν τὴν φύσιν λεγόμενον, ὡς τὸ ἄνθρωπος οὑτωσὶ
5 ψιλὸν λεγόμενον. ὅλον οὖν τὸ καθόλου, οὐ τὸ σχετικὸν λέγω ἀλλὰ τὸ ἕτερον, ἐχώρησεν ἐν τῷ ἡλίῳ· ἠδυνήθη γὰρ ὁ ἥλιος πάσας τὰς ἰδιότητας δέξασθαι τοῦ καθόλου ἡλίου, ὅπερ ἐπὶ τοῦ ἀνθρώπου ἀδύνατον· οὐδεὶς γὰρ ἀνθρώπων πάσας τὰς ἰδιότητας τοῦ καθόλου ἀνθρώπου δέξασθαι ἠδυνήθη διὰ τὸ ἄλλον μὲν εἶναι γραμματικὸν ἄλλον δὲ ἰατρόν. διὸ καὶ κέρματα
10 ἀνθρώπου τοὺς κατὰ μέρος ἀνθρώπους εἶπεν ὁ Πλάτων. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἀπορεῖ δὲ ὁ Συριανὸς οὑτωσὶ λέγων· εἰ τὸ καθόλου συμβεβηκὸς ἐν τῇ ἀτόμῳ οὐσίᾳ ὑφίσταται, ἔσται καὶ τὸ μερικὸν συμβεβηκὸς ἐν τῇ καθόλου οὐσίᾳ. πρὸς ὅ φαμεν ὅτι τὸ καθόλου συμβεβηκὸς λέγομεν ἐν τῇ ἀτόμῳ
15 οὐσίᾳ ὑπάρχειν, οὐχ ὅτι κατ' ἀλήθειαν ἐν αὐτῇ [τῇ καθόλου οὐσίᾳ] τὴν ὕπαρξιν ἔχει, ἀλλ' ὅτι προηγουμένως τὰ συμβεβηκότα πάντα ἐν ταῖς ἀτόμοις οὐσίαις ἔχουσι τὸ εἶναι, κἂν εἰ ἀσώματος τύχῃ οὖσα ἡ ἄτομος οὐσία, ἐν αὐτῇ πρώτως ὑπάρχουσι τὰ συμβεβηκότα αὐτῆς, ὡς ἐπὶ τῆς ψυχῆς (ἐν γὰρ τῇ τινὶ ψυχῇ θεωρεῖται ἀρετὴ ἢ κακία· μεταβάλλει γὰρ κατὰ ταῦτα),
20 κατὰ δεύτερον λόγον καὶ ἐν | τοῖς καθόλου λέγονται εἶναι, ἐπινοητικῶς δέ. πρὸς δὲ τὸ δεύτερόν φαμεν ὅτι τὸ μερικὸν συμβεβηκός ἐστιν ἐν τῇ καθόλου οὐσίᾳ, οὐχ ὅτι κατὰ ἀλήθειαν ἐν αὐτῇ ὑφίσταται (κἂν γὰρ τὸ σῶμα εἴπῃς τὸ καθόλου, καὶ τοῦτο ἀσώματόν ἐστιν), ἀλλ' ὅτι τοὺς λόγους ἔχει ἡ καθόλου οὐσία, ἤτοι τὸ καθόλου σῶμα, προαγωγοὺς τῶν συμβε-
25 βηκότων. 248v

p. 2a27 Τῶν δὲ ἐν ὑποκειμένῳ ὄντων ἐπὶ τῶν πλείστων οὔτε τοὔνομα οὔτε ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου.

Δεῖ δὲ εἰδέναι ὅτι ἐπί τινων συμβεβηκότων τινὰ ὁμωνύμως κατηγορεῖται τῆς οὐσίας, συνωνύμως δὲ οὐδέποτε· οἷον τὸ λευκὸν κατηγορεῖται
30 τοῦ σώματος ὁμωνύμως, οὐ συνωνύμως· οὐδὲ γὰρ τὸν ὁρισμὸν τοῦ λευκοῦ ἐπιδέχεται τὸ σῶμα· οὐδεὶς γὰρ λέγει τὸ σῶμα λευκὸν χρῶμα διακριτικὸν ὄψεως. τινὰ δὲ οὔτε ὁμωνύμως οὔτε συνωνύμως, ὡς ἐπὶ τοῦ χρώματος· οὐδεὶς γὰρ λέγει τὸν ἄνθρωπον χρῶμα, ἀλλ' οὐδὲ τὸν ὁρισμὸν τοῦ χρώ-

3 ὡς] τὸ δὲ (superscr. ὡς) P 4 τὴν b: om. HKP 4. 5 λεγόμενον (utrobique) b: λέγομεν HKP 4 οὑτοσὶ KP 5 λέγω scripsi: λέγων HKP: λέγει b 6 ἐχώρισεν K τῷ om. P 10 ὁ Πλάτων] vox κέρμα apud Platonem non occurrit; εἶδος ἀνθρώπου in quaestionem vocatur Parm. p. 130 C. 13 ὑφίστασθαι HP 15 τῇ καθόλου οὐσίᾳ inclusi: ἢ τῇ μερικῇ in mrg. K (cf. v. 22) 17 εἰ] ἡ H τύχει H 18 ὑπάρχουσα P 20 δεύτερον—κατὰ (22) iter. K δεύτ.] δὲ ὕστερον H 21 alt. δὲ suppl. K[2] 23 καὶ τοῦτο—alt. καθόλου (24) in mrg. suppl. H καὶ] κατὰ HP[2] τοὺς om. HP 26 ἐπὶ μὲν Arist.

ματος ἐπιδέχεται· οὐδὲ γὰρ λέγει τὸν κύκνον χρῶμα ἢ ὅτι κύκνος ἐστὶ χρῶμα ἴδιον αἰσθητῆς ὄψεως.

p. 2b7 Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· ἔγγιον γὰρ τῇ πρώτῃ οὐσίᾳ ἐστίν.

5 Ἔτι διὰ τούτων προτίθησι τὴν ἄτομον οὐσίαν ὁ Ἀριστοτέλης· ἐν γὰρ ταῖς δευτέραις οὐσίαις μᾶλλον οὐσία ἡ εἰδική ἐστι τῆς γενικῆς ὡς μᾶλλον πλησιάζουσα τῇ ἀτόμῳ οὐσίᾳ τῇ μάλιστα οὐσίᾳ δειχθείσῃ· ὡς γὰρ οἱ πλησιάζοντες τῷ πυρὶ μᾶλλον θερμαίνονται καὶ οἱ πλησίον τῆς μονάδος ἀριθμοὶ μᾶλλον ἑνιαῖοί εἰσιν, οὕτω καὶ ἡ εἰδικὴ οὐσία πλησιάζουσα τῇ 10 ἀτόμῳ οὐσίᾳ μᾶλλον οὐσία ἐστί· πᾶν γὰρ οὗ ἔχει τοῖς πλησίον μᾶλλον μεταδίδωσιν. ὅτι δὲ μᾶλλον οὐσία ἡ εἰδικὴ τῆς γενικῆς, διχῶς κατασκευάζει, ἀπό τε τῆς ἐγγύτητος καὶ τῆς ἀναλογίας. καὶ ἀπὸ μὲν τῆς ἐγγύτητος οὕτως· ὅτι οἰκειότερόν ἐστι καὶ ἐγγύτερον τὸν Σωκράτην ἄνθρωπον εἰπεῖν ἢ ζῷον. ἀπὸ δὲ τῆς ἀναλογίας οὕτως· εἰ τὴν ἄτομον οὐσίαν οὐδὲν ἄλλο 15 ἐχαρακτήριζε καὶ ἐποίει μᾶλλον οὐσίαν, εἰ μὴ τὸ ὑποκεῖσθαι πᾶσι τοῖς παρ' ἑαυτήν, τοῦτο δὲ τὸ ὑποκεῖσθαι εἴδεσι μὲν πρὸς γένη ὑπάρχει, γένεσι δὲ πρὸς εἴδη οὐχ ὑπάρχει (οὐ γὰρ ὑπόκεινται τὰ γένη τοῖς εἴδεσι), διὰ τοῦτο μᾶλλον οὐσία ἡ εἰδικὴ τῆς γενικῆς ὡς ὑποκειμένη αὐτῇ. λέγεται δὲ ἐξ ἀναλογίας, ὅτι δύναται καὶ μετὰ ἀναλογίας πλακῆναι οὕτως· ὅτι ὃν λόγον 20 ἔχει ἡ ἄτομος οὐσία πρὸς πάντα τὰ παρ' αὐτὴν ὑποκειμένη αὐτοῖς καὶ διὰ τοῦτ' οὖν μάλιστα οὐσία λεγομένη, τοῦτον τὸν λόγον ἔχει καὶ ἡ εἰδικὴ πρὸς τὴν γενικήν· ὑπόκειται γὰρ αὐτῇ καὶ διὰ τοῦτο μᾶλλόν ἐστιν οὐσία. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες ὅτι πῶς λέγει μᾶλλον οὐσίαν καὶ ἧττον οὐσίαν 25 αὐτός, ὡς ὂν οὕτω ἓν ἴδιον καὶ τοῦτο, μέλλων καταλέγειν τὰ ἴδια τῆς οὐσίας καὶ ἓν ἴδιον καὶ τοῦτο λέγειν τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον. καὶ λέγομεν ὅτι καὶ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον καὶ οὐκ | ἐπιδέχεται· 249r οὐσία μὲν γὰρ οὐσίᾳ παραβαλλομένη, οἷον γενικὴ πρὸς εἰδικήν, ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, αὐτὴ δὲ πρὸς ἑαυτὴν παραβαλλομένη ἀνεπίτατός ἐστι 30 καὶ ἀνάνετος· οὐδεὶς γὰρ λέγει μᾶλλον ἄνθρωπον Πλάτωνα καὶ ἧττον ἄνθρωπον Σωκράτην.

Διὰ τί, φασίν, ὥσπερ τὴν ἄτομον οὐσίαν πρώτην ἐκάλεσεν οὐσίαν δι' ἃς εἴπομεν αἰτίας, μὴ καὶ τὴν εἰδικὴν δευτέραν καὶ τὴν γενικὴν τρίτην ἐκάλεσεν, ἀλλ' ἑνὶ ὀνόματι δευτέρας ἐκάλεσε τὰς εἰδικὰς καὶ γενικάς; καὶ

2 χρῶμα eicias 4 τῆς πρώτης οὐσίας Arist. 8 πλησίον] πλησιάζοντες Π[1] 10 οὗ] ὃ K 11 γενηκῆς P 16 γένη] γένει P 17 γένη] γένει Π 18 ἰδηκὴ τῆς γενηκῆς Π 21 οὖν] ἦν ΠP 22 αὐτῇ scripsi: αὕτη libri 25 ὡς ὂν scripsi: ὅσον libri οὕτω] οὔπω K ἓν — τοῦτο om. K μέλλον P 26 καὶ ἓν — λέγειν om. ΠP 27 τὸ om. ΠP 29 αὐτὴ scripsi: αὕτη libri 30 ἀνάν.] ἀνάντης K[1]P 32 φασίν scripsi: φησίν libri 33 εἴπωμεν Π (cf. p. 165,3) 34 δευτέραν K

λέγομεν ὅτι τούτου ἔτυχον τοῦ ὀνόματος, ἐπειδὴ μίαν καὶ τὴν αὐτὴν αὐταῖς χρείαν παρέχεται ἡ ἄτομος οὐσία πρὸς κατηγορίαν.

p. 2b9 Γνωριμώτερον καὶ οἰκειότερον ἀποδώσει τὸ εἶδος ἀποδιδοὺς ἢ τὸ γένος.

5 Διὰ τί εἰπὼν γνωριμώτερον προσέθηκε τὸ οἰκειότερον; καὶ λέγομεν ὅτι τὸ γνωριμώτερον οὐ ποιεῖ μᾶλλον οὐσίαν τὴν ἄτομον, ἐπειδὴ καὶ τὰ συμβεβηκότα πολλάκις καὶ αὐτῆς τῆς ἀτόμου οὐσίας εἰσὶ γνωριμώτερα· οἷον ἀντὶ τοῦ εἰπεῖν ʽκάλεσον τὸν Σωκράτηνʼ λέγω ʽκάλεσον τὸν φιλόσοφονʼ. διὰ τοῦτο οὖν προσέθηκε τὸ οἰκειότερον· τὰ γὰρ γνωριμώτερα οὐ δηλοῦσι πάντως 10 τὴν φύσιν τοῦ πράγματος, ὡς πολλὰ τῶν συμβεβηκότων, τὰ δὲ οἰκειότερα μᾶλλον δηλοῦσι.

p. 2b12 Τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου.

Καὶ πῶς μᾶλλον ἴδιον τὸ μηδὲ ὅλως ἴδιον; καὶ λέγομεν, ὡς τὸ ἧττον βαρὺ μᾶλλον κοῦφον λέγομεν, οὕτω καὶ τὸ ἧττον κοινὸν μᾶλλον ἴδιόν φαμεν· 15 ὁ γὰρ ἄνθρωπος ἧττον κοινὸν ὡς πρὸς τὸ ζῷον· τὰ μὲν γὰρ γένη κατὰ τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη κατὰ τῶν γενῶν οὐκ ἀντιστρέφει, κατὰ φύσιν ἐχούσης τῆς κατηγορίας· ἡ ⟨γὰρ⟩ κατηγορία τριττή, ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν ἢ κατὰ συμβεβηκός. κατὰ φύσιν, ὅταν τὰ γένη τῶν εἰδῶν κατηγορῆται, παρὰ φύσιν δέ, ὅταν τὰ εἴδη τῶν γενῶν, ὡς ἵνα εἴπῃ τις ὅτι τόδε τὸ προσερχό- 20 μενον ζῷον ἄνθρωπός ἐστιν (εὑρίσκεται γὰρ κατηγορῶν τὸν ἄνθρωπον τοῦ ζῴου), κατὰ συμβεβηκὸς δέ, ὡς ὅταν ⟨τὰ⟩ ἐν τῷ αὐτῷ ὑποκειμένῳ συμβεβηκότα ἀλλήλων κατηγορῆται, οἷον τοῦ Σωκράτους ὄντος φαλακροῦ καὶ φιλοσόφου λέγωμεν ὅτι ὁ φαλακρὸς φιλόσοφός ἐστιν. ἢ κατὰ συμβεβηκὸς ἡ κατηγορία, ὡς ὅταν ἡ οὐσία τοῦ συμβεβηκότος κατηγορῆται, οἷον ἵνα εἴπω ὅτι τὸ 25 λευκὸν τὸ προσερχόμενον ζῷόν ἐστιν· εὑρίσκομαι γὰρ κατηγορῶν τοῦ συμβεβηκότος τὸ ζῷον.

p. 2b22 Αὐτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν.

Συγκρίνας ὁ Ἀριστοτέλης τὰς οὐσίας κατὰ βάθος, ὅτε τὴν ἄτομον 30 πρὸς τὴν καθόλου παρέβαλε, δεικνὺς ὅτι μᾶλλον οὐσία, καὶ ὅτε τὴν καθόλου

---

3 οἰκειώτερον H 4 ἤπερ Arist. 5 καὶ om. HP 6 τὸ γνωριμώτερον eras. K οὐ ποιεῖ — ἄτομον, post ἄτομον addito ἀλλά, ante προσέθηκε (5) coll. HKP; correxi ex Urb. 35 13 ὅλως] ὡς ὅλον K 16 τὰ δὲ εἴδη] καὶ τὰ εἴδη KP (γρ. τὰ δὲ εἴδη κτλ. in mrg. K²) ante οὐκ superscr. ἀλλʼ K 16. 17 κατὰ φύσιν] κατʼ αἴσθησιν K 17 γὰρ inserui 18 κατηγορεῖται HK¹ 20 γὰρ om. H 21 τὰ addidi 22. 24 κατηγορεῖται H 23 λέγομεν HP συμβεβηκὸς scripsi: συμβεβηκότος HK: συμβεβηκότως P 25. 26 συμβεβηκότως P 29 post συγκρ. additum ὅτι del. H 30 παρέβαλλε H²P

⟨πρὸς τὴν καθόλου⟩ συνέκρινε, δεικνύων ὅτι μᾶλλον οὐσία ἡ εἰδικὴ τῆς γενικῆς, | νῦν κατὰ πλάτος συγκρίνει αὐτάς, τάς τε ἀτόμους καὶ τὰς 249v καθόλου, καί φησιν ὅτι αἱ ἄτομοι οὐσίαι ὁμοίως πᾶσι τοῖς παρ' ἑαυτὰς μίαν ⟨καὶ⟩ τὴν αὐτὴν παρέχουσι χρείαν, ὥσπερ Σωκράτης καὶ Ἄργος ὁ κύων 5 καὶ Ξάνθος ὁ ἵππος. εἰ δὲ αἱ ἄτομοι οὐσίαι, καὶ αἱ εἰδικαὶ οὐσίαι ὁμοίως οὐσίαι ὡς ἴσον ἀφεστηκυῖαι τῶν ἀτόμων οὐσιῶν. καὶ οὕτω μὲν ἡμεῖς. ὁ δὲ Ἀριστοτέλης ἄλλῃ τάξει ἐχρήσατο· πρῶτον γὰρ τὴν εἰδικὴν συγκρίνει καὶ τότε τὴν ἄτομον. καὶ ἄξιον ἀπορῆσαι διὰ τί μὴ πρῶτον τὰς ἀτόμους συνέκρινεν, ἵνα ὡς γνώμοσι ταύταις χρησάμενος οὕτω συνέκρινε τὰς εἰδικάς. 10 καὶ λέγομεν ὅτι ὡς ὁμολογούμενον τοῦτο παρῆκεν· ἔγνωσται γὰρ τοῦτο συνήθως ὅτι ὁμοίως οὐσίαι ⟨αἱ⟩ ἄτομοι ἐκ τῆς ὑπογραφῆς, ὅτι ὑπερθετικαῖς φωναῖς ἐχρήσατο, τῷ κυριώτατα καὶ μάλιστα, τοῦ δὲ ὑπερθετικοῦ οὐκ ἔστιν ὑπερθετικώτερον. εἰ δὲ τοῦτο, οὐκ ἔστι μᾶλλον ἄτομος οὐσία ἀτόμου οὐσίας, κἂν ἀνομοιοειδὴς εἴη. πάλιν ἀποροῦσιν, εἰ ὁμοίως οὐσίαι αἱ ἄτομοι, 15 ἔσται ὅδε ὁ μύρμηξ καὶ ὅδε ὁ ἥλιος ὁμοίως οὐσίαι. καὶ λέγομεν ὅτι κατὰ τὸν σκοπὸν τῶν Κατηγοριῶν ὁμοίως οὐσίαι· σκοπὸς γὰρ ταῖς Κατηγορίαις οὐ περὶ πραγμάτων ᾗ πράγματα διαλαβεῖν καὶ τὴν φύσιν αὐτῶν ζητῆσαι, ἀλλὰ καθὸ σημαίνονται ὑπὸ τοιῶνδε φωνῶν· τὸ γὰρ περὶ φωνῶν ζητεῖν μόνων γραμματικῶν, τὸ δὲ περὶ φύσεων τῶν ὄντων φυσιολογίας. καὶ 20 ταῦτα ἐν τούτοις.

Ὁ δὲ Ἀριστοτέλης ἀπορεῖ πρὸς ἑαυτὸν ὅτι 'πῶς ἀνωτέρω δευτέρας οὐσίας εἶπον τὰ γένη καὶ τὰ εἴδη τῶν ἀτόμων οὐσιῶν, καὶ οὐχ ἁπλῶς τὰ γένη καὶ τὰ εἴδη;' καί φησιν, ἵνα μὴ τὰ συμβεβηκότα περιλάβωμεν· ἔστι γὰρ καὶ ἐν αὐτοῖς γένη καὶ εἴδη, ὡς τὸ χρῶμα καὶ τὸ λευκόν. δείκνυσιν 25 οὖν ἐνταῦθα ὅτι τὰ γένη καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν οὐσίαι εἰσί, τὰ δὲ γένη καὶ τὰ εἴδη τῶν ἀτόμων συμβεβηκότων οὐκ εἰσιν οὐσίαι. δείκνυσιν οὖν οὕτω λέγων· τὰ γένη καὶ τὰ εἴδη τῶν ἀτόμων οὐσιῶν οὐσίαν συμπληροῦσι, τὰ δὲ οὐσίαν συμπληροῦντα οὐσίαι εἰσί, τὰ γένη ἄρα καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν οὐσίαι εἰσί. διὰ δὲ τὸ ἀνάπαλιν τοῦ κανόνος· ἐπειδὴ τὰ γένη 30 καὶ τὰ εἴδη τῶν ἀτόμων συμβεβηκότων οὐσίαν οὐ συμπληροῦσι, τὰ δὲ οὐσίαν μὴ συμπληροῦντα οὐσίαι οὐκ εἰσι, τὰ γένη ἄρα καὶ τὰ εἴδη τῶν ἀτόμων συμβεβηκότων οὐσίαι οὐκ εἰσι. καὶ ἄλλως· τὰ γένη καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν ὑπόκεινται τοῖς καθόλου συμβεβηκόσι, τὰ τοῖς καθόλου συμβεβηκόσιν ὑποκείμενα οὐσίαι εἰσί, τὰ γένη ἄρα καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν 35 οὐσίαι εἰσί. καὶ διὰ τὸ ἀνάπαλιν τοῦ κανόνος· ἐπειδὴ τὰ γένη καὶ τὰ εἴδη τῶν ἀτόμων συμβεβηκότων | οὐχ ὑπόκεινται τοῖς καθόλου συμ- 250r

1 πρὸς τὴν καθόλου inserui (cf. p. 171,10) post οὐσία addita ἡ ἰδικὴ τῆς γενικῆς del. P 4 pr. καὶ addidi Ἄργος] cf. Hom. ρ 292 5 Ξάνθος] cf. Hom. Π 149 5. 6 καὶ (αἱ om.) εἰδ. οὐσ. ὁμ. οὐσίαι in mrg. suppl. P 6 ἀφεστ. scripsi: ἐφεστ. libri 10 post τοῦτο add. τὸ P 11 αἱ addidi 14 εἴη] an ᾖ? 16 γὰρ] δὲ K 17 ᾗ Paris. 2051: οὐδὲ τὰ HKP 18 ζητεῖν om. K 24 καὶ (ante ἐν) superscr. K: om. HP 28 δὲ om. HP συμπληροῦνται P 30 οὐ om. H δὲ Paris. 2051: om. HKP 32 συμβεβηκότων Paris. 2051: οὐσιῶν HKP 34. 35 τὰ γένη—εἰσί in mrg. suppl. H

βεβηκόσι, τὰ τοῖς καθόλου συμβεβηκόσι μὴ ὑποκείμενα οὐσίαι οὔκ εἰσι, τὰ γένη ἄρα καὶ τὰ εἴδη τῶν ἀτόμων συμβεβηκότων οὐσίαι οὐκ εἰσιν.

p. 2b22 Αὐτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη.

Καλῶς εἶπεν ὅσα μή ἐστι γένη, ἵνα μὴ ὑπάλληλά τις λάβῃ· ⟨ἐὰν
5 γὰρ ὑπάλληλά τις λάβῃ⟩, οὐκέτι εἶδος εἴδει συγκρίνει, ἀλλ' εἶδος γένει, ὅπερ νῦν ἡμῖν οὐ πρόκειται ζητεῖν.

p. 3a7 Κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.

Δείξας ὁ Ἀριστοτέλης τὰ οἷς ὑπάρχει ἡ οὐσία διὰ τῆς διαιρέσεως, ὅτε τὴν πρώτην πρὸς τὴν καθόλου παρέβαλλε, λέγων αὐτὴν μᾶλλον οὐσίαν, καὶ
10 ὅτε τὴν καθόλου πρὸς τὴν καθόλου, λέγων τὴν εἰδικὴν τῆς γενικῆς μᾶλλον οὐσίαν, καὶ κατὰ πλάτος πάλιν συγκρίνας, ὅτε τὰς ἀτόμους ἔλεγεν ὅτι ὁμοίως οὐσίαι εἰσί, νῦν δείκνυσι καὶ τὰ ὑπάρχοντα τῇ οὐσίᾳ καὶ καταλέγει τὰ ἴδια τῆς οὐσίας. καὶ δέον ὁρισμὸν εἰπεῖν ἐπὶ τῆς οὐσίας τοῦτο οὐ ποιεῖ, ἐπειδὴ γένος γενικώτατον ἡ οὐσία, τοῦ δὲ γενικωτάτου γένους οὐκ ἔστι γένος
15 οὔτε συστατικαὶ διαφοραί, ἐξ ὧν καὶ πᾶς ὁρισμὸς λαμβάνεται· ἐφ' ὧν δὲ ὁρισμὸν ἀποδοῦναι οὐκ εὐποροῦμεν, ἀγαπῶμεν κἂν διὰ τῶν ἰδίων αὐτῶν ἀποδιδόναι. διὰ τοῦτο οὖν ὁ Ἀριστοτέλης μὴ δυνηθεὶς εἰπεῖν ὁρισμὸν τῆς οὐσίας, τὰ ἴδια αὐτῆς καταλέγει· ἔχει γὰρ ὁμοιότητα ὁ ὁρισμὸς καὶ τὸ ἴδιον τῷ ἑκάτερον ἀντιστρέφειν καὶ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχειν. κατα-
20 λέγει οὖν τὰ ἴδια τῆς οὐσίας καί φησιν ὅτι κοινὸν κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. διὸ καὶ ἀποροῦσιν ὅτι τί δήποτε ἴδια προθέμενος εἰπεῖν κονοῦ ἐμνήσθη. καὶ λέγουσι πρὸς τοῦτό τινες ὅτι οὐκ ἄτοπον τὸ αὐτὸ καὶ κοινὸν εἶναι καὶ ἴδιον, ὡς τὸ γελαστικὸν πρὸς μὲν τὸ ὁμοιοειδὲς κοινόν, ἴδιον δὲ ὡς πρὸς τὰ ἀνομοιοειδῆ. ἀλλ' εἰ τὸ αὐτὸ
25 καὶ κοινὸν καὶ ἴδιον δύναται εἶναι, διὰ τί μὴ φύσει ἴδιον αὐτὸ ἐκάλεσε τῷ οἰκείῳ ὀνόματι; ἀλλὰ τούτου τὴν αἰτίαν ἐροῦμεν· καθ' ἕκαστον γὰρ ἴδιον ἐφ' ἑκάστης κατηγορίας δύο ζητεῖ ὁ φιλόσοφος, εἰ πάσῃ ὑπάρχει [τῇ οὐσίᾳ] ἢ οὐ πάσῃ καὶ εἰ μόνῃ ἢ οὐ μόνῃ· καὶ εἰ μὲν εὕρῃ ὅτι πάσῃ μὲν ὑπάρχει οὐ μόνῃ δέ, κοινὸν αὐτὸ καλεῖ, εἰ δὲ μόνῃ μὲν ὑπάρχει οὐ πάσῃ
30 δέ, ἴδιον αὐτὸ καλεῖ· τὰ γὰρ ἴδια στενοχωρεῖσθαι θέλοντα τῷ μόνῳ χαρακτηρίζεται καὶ οὐ τῷ παντί, ὥσπερ τὰ κοινὰ τῷ παντὶ καὶ οὐ τῷ μόνῳ. καθ' ἑκάστην δὲ κατηγορίαν προτάττει τὰ ψευδῆ ἴδια τῶν ἀληθῶν, ἵνα οἷον κεκαθαρμένοις ἡμῖν καθαρὰν προσαγάγῃ τὴν ἀλήθειαν, ὥς φησιν

1 τὰ — συμβεβηκόσι in mrg. suppl. H οὐκ εἰσι — οὐσίαι (2) om. P 4 ἐὰν — λάβῃ (5) ex Laur. 72,5 inserui 5 γένη HP[1] 7 κατὰ om. K 12 post εἰσί inseras καὶ τὰς εἰδικὰς ὅτι ὁμοίως οὐσίαι εἰσί 16 ἀγαπῶμεν in mrg. suppl. P τῶν om. H 19 τῷ] τὸ HP ἑκάτερα K 21 τὸ] τῷ H 23 μὲν om. K 24 ἀνομ.] ἀνομοιοειδὲς P[1] post ἀνομ. addita καὶ κοινὸν ἴδιον δὲ del. P 26 αἱροῦμεν H 27 εἰ] ἢ HP 27. 28 τῇ οὐσίᾳ recte om. Urb. 35 28 pr. καὶ εἰ Urb. 35 Marc. 217: ἢ HKP 33 προσαγάγει H

ὁ Πλάτων ‘μὴ καθαροῖς καθαροῦ ἐφάπτεσθαι μὴ θεμιτόν’. | καὶ κυρίως 250v
μὲν ἴδιον τὸ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχον. ἀλλὰ τοιοῦτον ἐπὶ τῆς
οὐσίας οὐχ εὗρεν ὁ Ἀριστοτέλης ἀποδοῦναι, ἀλλὰ ψευδῆ καταλέγει, κἂν
τούτοις ἧττον ἴδιον τὸ πάσῃ μὲν ὑπάρχον οὐ μόνῃ δέ, μᾶλλον δὲ ἴδιον τὸ
5 μόνῃ μὲν ὑπάρχον οὐ πάσῃ δέ. εὐθὺς οὖν τὸ πρῶτον λεγόμενον ἧττόν
ἐστιν ἴδιον, διὸ καὶ προέταξεν αὐτὸ λέγων ὅτι κοινὸν πάσης οὐσίας τὸ
μὴ ἐν ὑποκειμένῳ εἶναι. καὶ ὅτι μὲν πάσῃ οὐσίᾳ ὑπάρχει νῦν δεικνύει,
ὅτι δὲ οὐ μόνῃ ἐφεξῆς δείξει. ὅτι δὲ πάσῃ τῇ οὐσίᾳ ὑπάρχει τὸ μὴ εἶναι
ἐν ὑποκειμένῳ, δείκνυσι δύο λήμματα βραχύτατα προλαμβάνων, τὴν διαίρεσιν
10 τῆς οὐσίας, ὅτι ἡ οὐσία ἢ πρώτη ἢ δευτέρα, καὶ τὰς ὑπογραφὰς αὐτῶν,
ὅτι ἡ μὲν πρώτη οὐσία οὔτε καθ’ ὑποκειμένου οὔτε ἐν ὑποκειμένῳ, ἡ δὲ
δευτέρα καθ’ ὑποκειμένου μέν, οὐκ ἐν ὑποκειμένῳ δέ. εἰ δὲ ταῦτα οὕτως
ἔχει, οὐδεμία οὐσία ἐστὶν ἐν ὑποκειμένῳ. δείκνυσι δὲ καὶ ἴδιον ὅτι οὔτε
αἱ δεύτεραι οὐσίαι ἐν ὑποκειμένῳ λέγων οὕτως· αἱ δεύτεραι οὐσίαι συνω-
15 νύμως κατηγοροῦνται τῶν πρώτων οὐσιῶν, τὰ δὲ ἐν ὑποκειμένῳ ὄντα οὐδέποτε
συνωνύμως κατηγοροῦνται τῶν πρώτων οὐσιῶν, ἀλλ’ ἢ ὁμωνύμως, ὡς τὸ λευκὸν
τοῦ Σωκράτους, ἢ παρωνύμως, ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός, ἢ
ἑτερωνύμως, ὡς ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος· αἱ δεύτεροι ἄρα οὐσίαι
οὐκ εἰσιν ἐν ὑποκειμένῳ. ἀλλ’ ἐπειδὴ αἱ δεύτεραι οὐσίαι τῷ καθ’ ὑπο-
20 κειμένου λέγεσθαι φαντασίαν παρέχουσι τοῦ ἐν ὑποκειμένῳ εἶναι, δείκνυσιν
ὅτι οὐκ εἰσιν ἐν ὑποκειμένῳ λέγων οὕτως· εἰ ἦσαν, φησίν, ἐν ὑποκειμένῳ,
οὐ δήπου ὑποκειμένοις ἐχρῶντο τοῖς οἰκείοις ἀτόμοις πρὸς ὕπαρξιν, ὅπου
γε καὶ αὐτὰ τὰ ὁμολογούμενα ἐν ὑποκειμένῳ εἶναι οὐ κέχρηνται ὑποκει-
μένοις τοῖς οἰκείοις ἀτόμοις πρὸς ὕπαρξιν, ἀλλὰ ταῖς πρώταις οὐσίαις. ἐὰν
25 οὖν ἐν ὑποκειμένῳ αἱ δεύτεραι οὐσίαι ⟨ὦσιν⟩, ἄτοπα πολλὰ ἔχει ὁ λόγος·
εὑρεθήσονται γὰρ πρὸς τῷ ἐν ὑποκειμένῳ αὐτὰς εἶναι καὶ ἐν ὑποκειμένοις
οὖσαι τοῖς οἰκείοις ἀτόμοις, καίτοι ἐδείχθη μηδὲν τῶν ἐν ὑποκειμένῳ τῷ
οἰκείῳ ἀτόμῳ χρώμενον ὑποκειμένῳ πρὸς ὕπαρξιν.

p. 3a21 Οὐκ ἴδιον δὲ τοῦτο οὐσίας· ὑπάρχει γὰρ καὶ ταῖς δια-
30 φοραῖς.

Δείξας ὁ Ἀριστοτέλης ὅτι πάσῃ τῇ οὐσίᾳ ὑπάρχει τὸ μὴ ἐν ὑπο-
κειμένῳ εἶναι, νῦν δεικνύει ὅτι οὐ τῇ οὐσίᾳ μόνον ὑπάρχει, ἀλλὰ καὶ ταῖς
διαφοραῖς. καὶ ὀφείλων ἐπιχειρῆσαι ἀπὸ τῆς ὕλης καὶ τοῦ θείου (δοκοῦσι

---

1 Πλάτων] Phaedo. p. 67 B καθαροῖς] καθαρὸν H: καθαρῷ Plat. ἐφάψασθαι P μὴ θεμητόν H: μὴ οὐ θεμιτὸν ᾖ Plat. 2 τὸ] τῷ H 3 ὁ om. P 6 κατὰ πάσης Arist. (cf. p. 171,7. 20) 7 πᾶσι H 8 δείξει] δόξει K 13 οὐσία om. P an ἰδίως? οὔτε] an οὐδὲ? 17. 18 ὡς ἀπὸ τῆς γρ.—ἑτερωνύμως suppl. in mrg. H ὁ (utrobique) om. HP 20 τοῦ] τῷ HP 21 λέγων—ὑποκειμένῳ in mrg. suppl. P 23 γε] γὰρ K 25 ὦσιν inserui 26 τῷ] τὸ P ὑπο-κείμενον (pr. l.) P 27 καίτοι scripsi: ἐὰν libri 28 χρώμενος P ὑποκει-μένῳ scripsi: ὑποκεῖσθαι libri 29 τῆς οὐσίας, ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑπο-κειμένῳ ἐστίν Arist. 32 καὶ om. P

γὰρ ταῦτα μὴ εἶναι οὐσίαι, τὸ μὲν θεῖον ὡς ὑπερούσιον καὶ ὑπὲρ φύσιν, ἡ δὲ ὕλη ὡς μηδὲν τῶν ὄντων οὖσα ἀλλὰ χείρων πάντων· τὰ γὰρ ἄκρα τῶν ὄντων ἐξ ἀποφάσεως ὁρίζονται, ὡς ἐμάθομεν ἀνωτέρω· οὐ γὰρ ἡ ὕλη ἐν ὑποκειμένῳ, ἵνα μὴ εἴπωμεν ὕλην ὕλης, οὐδὲ τὸ θεῖον | ἐν ὑποκει- 251r
5 μένῳ), ἐπειδὴ ταῦτα φυσιολογίας καὶ θεολογίας, ἐπιχειρεῖ ἀπὸ τῶν διαφορῶν, διαλεκτικοῦ ὀνόματος καὶ πράγματος· καὶ αἱ διαφοραὶ γάρ, φησίν, οὔκ εἰσιν ἐν ὑποκειμένῳ. τί φῄς, ὦ Ἀριστότελες; ἀντιδιέστειλας ταῖς οὐσίαις τὰς διαφορὰς ὡς τῶν διαφορῶν μὴ οὐσῶν οὐσιῶν; καὶ τί εἰσιν αἱ διαφοραί, ἐρησόμεθά σε, οὐσίαι ἢ συμβεβηκότα; καὶ εἰ μὲν οὐσίαι, διὰ τί
10 ἀντιδιέστειλας; εἰ δὲ συμβεβηκότα, ἐπειδὴ ἐκ τῶν διαφορῶν οἱ ὁρισμοὶ εὑρεθήσονται, αἱ οὐσίαι ἐκ τῶν συμβεβηκότων καὶ τὰ μέρη τῶν οὐσιῶν συμβεβηκότα· καὶ πῶς αὐτὸς λέγεις 'τὰ μέρη τῶν οὐσιῶν οὐσίαι εἰσί'; τούτοις τοῖς ἀπόροις ἐνσχεθεὶς ὁ Πορφύριος οὐκ ἐνάρκησε μέσην τινὰ φύσιν εἰπεῖν οὐσίας καὶ συμβεβηκότος καὶ ταύτῃ παραθέσθαι τὰς διαφοράς, ὥσπερ
15 οἱ ἐνεχθέντες ταῖς περὶ τοῦ φωτὸς ἀπορίαις, τῶν μὲν σῶμα τὸ φῶς λεγόντων τῶν δὲ ἀσώματον, μέσην τινὰ φύσιν ἐπέθεντο εἰπεῖν τὸ φῶς ἀσωμάτου καὶ σώματος. ἐπεὶ δὲ τὸ ἀμφοτέρων τῶν ἄκρων μετέχον ἢ ἐξ ἴσου αὐτῶν μετέχει ἢ μᾶλλον τοῦδε ἧττον δὲ τοῦδε, καὶ τοῦτο διχῶς, τριττὰς ἔλεγεν εἶναι τὰς διαφοράς, ἢ μᾶλλον οὐσίας ἧττον δὲ συμβεβηκότα,
20 ὡς τὸ λογικὸν καὶ τὸ ἄλογον· μᾶλλον γὰρ οὐσίαι ταῦτα ὡς συμπληροῦντα τὴν οὐσίαν κἂν τῷ ὁρισμῷ παραλαμβανόμενα, ὀλίγως δὲ συμβεβηκότα ὡς ἐν τῷ ὁποῖόν τι κατηγορούμενα· μία γὰρ τοῦ συμβεβηκότος κατηγορία ἡ ποιότης. ἐξ ἴσου δὲ οὐσίαι καὶ συμβεβηκότα, ὡς ἡ ἐν πυρὶ θερμότης καὶ ἡ ἐν χιόνι λευκότης· ὡς γὰρ ἐν πεποιωμένῳ σώματι οὐσίαι εἰσὶν ὡς συμπλη-
25 ροῦντα τὴν οὐσίαν αὐτῶν, ὡς δὲ ἐν ἀποίῳ σώματι συμβεβηκότα· τότε γὰρ καὶ γίνονται καὶ ἀπογίνονται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου· ὅτε γὰρ ἐν τῷ πυρὶ ἡ θερμότης ἐστίν, οὐσία ἐστίν, ἐπειδὴ ἀδύνατον ἐπινοηθῆναι πῦρ δίχα θερμότητος, ὅταν δὲ ἐν σιδήρῳ γένηται, συμβεβηκός ἐστι. μᾶλλον δὲ συμβεβηκότα ἤπερ οὐσίαι, ὡς ἡ ἐν κύκνῳ λευκότης καὶ ἡ ἐν Αἰθίοπι
30 μελανότης· γίνεται γὰρ καὶ ἀπογίνεται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου, καθά φησιν ὁ Πορφύριος, ὅτι 'δύναται', φησίν, 'ἐπινοηθῆναι καὶ κύκνος μέλας καὶ κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβαλὼν τὴν χροίαν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου'. ὅλως δὲ δοκοῦσιν οὐσίαι εἶναι διὰ τὸ παντὸς κύκνου τὸ εἶδος τὴν λευκότητα εἶναι καὶ τοῦ κόρακος τὴν μελανίαν. τριτταὶ οὖν
35 αἱ διαφοραὶ κατ' αὐτὸν συνάγονται. ἀλλ', ὦ Πορφύριε, ἀντίφασιν

---

2 ὡς om. KP 3 ἐμάθομεν] p. 164,27 5 ἐπεὶ δὲ H: ἐπὶ δὲ P 6 διαλεκτικῶν ὀνομάτων καὶ πραγμάτων HKP: correxi ex Urb. 35 9 οὐσίας ἢ συμβεβηκότος HP 10 ἀντιδ.] διέστειλας KP 12 συμβεβηκότα — οὐσιῶν in mrg. suppl. H λέγεις] p. 3a29 15 an ἐνσχεθέντες? ταῖς om. P τοῦ om. K 17 ἐπεὶ δὲ scripsi: ἐπειδὴ libri 19 ἔλεγεν b: ἔλεγον KP οὐσίας scripsi: οὐσίαν libri (cf. v. 23) 20 καὶ] ἢ P alt. τὸ om. HP 22 ποῖον H 29 οὐσίαι scripsi: οὐσία libri ὡς] καὶ P 30 Πορφ.] Isag. p. 13,1 καὶ κύκνος μέλας om. Porph. 32 ἀποβάλλων HP 35 κατὰ ταὐτὸν HK

ποιοῦσιν ἡ οὐσία καὶ τὸ συμβεβηκός, τὸ ἐν ὑποκειμένῳ καὶ τὸ οὐκ ἐν ὑποκειμένῳ· τῆς δὲ ἀντιφάσεως οὐδέν ἐστι μέσον· ἔστι γὰρ ἀντίφασις ἀντίθεσις, ἧς οὐδέν ἐστι μεταξὺ καθ' αὑτό, καλῶς προσκειμένου τοῦ καθ' αὑτό· κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται εἶναί τι | μέσον· λευκοῦ γὰρ καὶ 251v
5 οὐ λευκοῦ οὐδέν ἐστι μέσον, εἰ μή τι ἐὰν συμβῇ τὸ οὐ λευκὸν ἐπὶ τοῦ μέλανος νοηθῆναι· τότε γὰρ εὑρίσκεται μέσον τῆς ἀντιφάσεως, εἰ καὶ κατὰ συμβεβηκός. τί οὖν δεῖ εἰπεῖν; ὅτι οὐσίαι μὲν αἱ διαφοραί, οὐσίαι δὲ οὐχ αἱ νῦν προκείμεναι ἡμῖν εἰς ἐπίσκεψιν αἱ συνεγνωσμέναι τῷ πολλῷ ἀνθρώπῳ· ὁ γὰρ πολὺς ἄνθρωπος καὶ ζῷον λέγει καὶ ἄνθρωπον καὶ
10 Σωκράτης. εἰ δὲ ἐρεῖς 'τί οὖν οὐ λέγουσι λογικὸν καὶ ἄλογον, ἅπερ εἰσὶ διαφοραί;', λέγομεν ὅτι τὸ λογικὸν καὶ ἄλογον συνθέτων πραγμάτων εἰσὶν ὀνόματα, λογικότητα δὲ καὶ ἀλογίαν ὁ πολὺς ἄνθρωπος οὐκ οἶδεν, ἅπερ εἰσὶ διαφοραί. διὰ τοῦτο οὖν ἀντιδιέστειλε τὰς διαφορὰς ταῖς οὐσίαις. καὶ ταῦτα μὲν ἐν τούτοις.

15 Ἐπειδὴ δὲ ᾔσθετο ἑαυτοῦ ὁ Ἀριστοτέλης τὰς διαφορὰς συμβεβηκότα ποιήσαντος τῷ ἀντιδιελεῖν ταῖς οὐσίαις, ἐπάγει ὅτι τὰ μέρη τῶν οὐσιῶν οὐσίαι, αἱ διαφοραὶ δὲ μέρη τῶν ὁρισμῶν καὶ οὐσίαν συμπληροῦσιν, αἱ διαφοραὶ ἄρα οὐσίαι ὡς μέρη οὐσιῶν. μὴ ταραττέτω δὲ ἡμᾶς ὁ λόγος ὁ λέγων ὅτι τὰ μέρη τῶν οὐσιῶν συμβεβηκότα· ἔλεγον γὰρ οὕτω τινές· τὰ μέρη
20 τῶν οὐσιῶν ἔν τινι, τὰ ἔν τινι συμβεβηκότα, τὰ μέρη τῶν οὐσιῶν ἄρα συμβεβηκότα· οὐδὲ γὰρ οὕτως ἐλέγομεν τὸ ἔν τινι τὸ ἐν ὑποκειμένῳ, ἀλλὰ τὸ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον. νῦν δὲ τὸ ἔν τινι ὡς μέρος ἐν ὅλῳ ὑπόκειται, οἷον ἡ διαφορά.

p. 3a21 Οὐκ ἴδιον οὐσίας.

25 Τοῦτο ὀφείλων εἰπεῖν ὅτι οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει, εἶπεν ὅτι οὐκ ἔστιν ἴδιον· καὶ τὸ ἴδιον γὰρ τῷ μόνῳ χαρακτηρίζεται καὶ οὐ τῷ παντί.

p. 3a33 Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι.

Δεύτερον ἴδιον τῆς οὐσίας τὸ συνωνύμως κατηγορεῖσθαι. ἀλλὰ τοῦτο
30 ὑπάρχει καὶ τοῖς συμβεβηκόσι· τὸ γὰρ χρῶμα τοῦ λευκοῦ τούτου συνωνύμως κατηγορεῖται. ἀλλ' εἶπεν οὕτως· ὅτι δεύτερον ἴδιον τῆς οὐσίας τὸ συνωνύμως κατηγορεῖσθαι μόνον· τὰ γὰρ συμβεβηκότα καὶ ὁμωνύμως κατηγοροῦνται καὶ συνωνύμως καὶ παρωνύμως καὶ ἑτερωνύμως. καὶ τὰ παραδείγματα |εἴρηται ἄνω-

---

1 ποιοῦσιν iter. del. H τὸ (ante ἐν et οὐκ) scripsi: pr. l. τῷ HP: τοῦ K; alt. l. τῷ H: om. K: καὶ τὸ οὐκ ἐν ὑποκ. om. P 2 ἔστι γὰρ ἀντίφασις] cf. Anal. post. A 2 p. 72a12 4. 5 λευκὸν γὰρ καὶ οὐ λευκὸν HP 8 νῦν om. H 10 εἰ— ὀνόματα (12) eicias aut post διαφοραί (13) transponas 12 εἶδεν P[1] 15 δὲ om. P 17 ὁρισμένων P 18 δὲ] γὰρ HP 21 alt. τὸ] τῷ HP 24 οὐκ ἴδιον οὐσ.] cf. p. 172,27 25 τοῦτο — ὑπάρχει] οἷον οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει· ὅπερ ὀφείλων εἰπεῖν K alt. ὅτι om. K 31 τὸ] τῷ HP 33 εἴρηνται H (cf. p. 172,16)

τέρῳ. ἢ καὶ ἄλλως δεῖ εἰπεῖν· ὅτι τὸ δεύτερον ἴδιον τῆς οὐσίας τὸ συνωνύμως κατηγορεῖσθαι τῶν πρώτων οὐσιῶν· τὰ γὰρ συμβεβηκότα εἰ καὶ συνωνύμως κατηγοροῦνται, ἀλλ' οὐ τῶν πρώτων οὐσιῶν, ἀλλὰ τῶν οἰκείων ἀτόμων. τοῦτο δὲ οὐδὲ πάσῃ ὑπάρχει τῇ οὐσίᾳ οὐδὲ μόνῃ· πάσῃ μὲν γὰρ οὐχ 5 ὑπάρχει διὰ τὴν ἄτομον οὐσίαν ἀκατηγόρητον οὖσαν. ἀλλ' οὐδὲ μόνῃ· καὶ αἱ διαφοραὶ γὰρ συνωνύμως κατηγοροῦνται. πῶς οὖν ἴδιον τὸ μηδαμῶς ἴδιον; εἰ γὰρ μηδὲ πάσῃ μηδὲ μόνῃ ὑπάρχει, οὐδὲ ὅλως δύναται ἴδιον εἶναι, τοῦ ἰδίου πάσῃ καὶ μόνῃ καὶ ἀεὶ ὑπάρχοντος. | μήποτε οὖν ὡς ἕτερον 252r κοινὸν ὑπάρχει τῆς οὐσίας καὶ τῆς διαφορᾶς, ὡς ὅτε ἔλεγεν ὅτι κοινωνεῖ 10 ἡ οὐσία τῇ διαφορᾷ, καθὰ ἀμφότερα συνωνύμως κατηγοροῦνται. ἀλλ' ἐπειδὴ ὅσον ἀπὸ τοῦ λεχθέντος πέντε εὑρίσκονται τὰ ἴδια τῆς οὐσίας, τῶν ἐξηγητῶν ἓξ εἰωθότων λέγειν, εἰπὲ ὅτι κατεφρόνησε νῦν τῆς ἀντιδιαστολῆς τῆς οὐσίας πρὸς τὴν διαφορὰν καὶ ἀμφότερα ὡς οὐσίας ἔλαβε. καὶ μήποτε ἴδιον εὑρίσκεται τῆς οὐσίας καὶ μᾶλλον ἴδιον· τοῦ γὰρ πρώτου ἰδίου πάσῃ 15 μὲν ὑπάρχοντος μὴ μόνῃ δέ, τοῦτο μόνῃ ὑπάρχει οὐ πάσῃ δέ· τὰ γὰρ ἴδια στενοχωρεῖσθαι θέλοντα τῷ μόνῳ χαρακτηρίζεται καὶ οὐ τῷ παντί.

Ἐφ' οἷς ἀποροῦσιν ὅτι πῶς λέγεται τὰς διαφορὰς συνωνύμως κατηγορεῖσθαι, εἴ γε αἱ διαφοραὶ τοῦ οἰκείου ὀνόματος οὐ μεταδιδόασιν· οὐδεὶς γὰρ λέγει ὅτι ἄνθρωπος λογικότης. πρὸς ὅ φαμεν· διττὸν τὸ συνώνυμον παρὰ τῷ 20 Ἀριστοτέλει, ἢ τὸ μεταδιδοῦν ὀνόματος καὶ πράγματος ἢ τὸ συντελοῦν πρὸς ὕπαρξιν· οὕτω γὰρ αὐτὸς ἐν τῷ Περὶ τῆς ψυχῆς λόγῳ τὴν ψυχὴν συνωνύμως λέγει τοῦ ζῴου κατηγορεῖσθαι, ἐπειδὴ συντελεῖ πρὸς τὴν ὕπαρξιν αὐτοῦ, κἂν μὴ μεταδίδωσιν ὀνόματος καὶ πράγματος· οὐδεὶς γὰρ λέγει τὸ ζῷον ψυχήν, ἀλλ' οὐδὲ τὸν ὁρισμὸν τῆς ψυχῆς ἐπιδέχεται τὸ 25 ζῷον. ἀλλ' ἐπειδὴ ὁ Ἀριστοτέλης βούλεται καὶ τὴν διαφορὰν οὐ μόνον πράγματος ἀλλὰ καὶ ὀνόματος μεταδιδόναι, μήποτε μεταδίδωσί πως, εἰ καὶ παρωνύμως λέγεται ἀπὸ τῆς λογικότητος. ἢ καὶ ἄλλως· ὅτι ὥσπερ τὸ λευκὸν διττόν, τοῦτ' ἔστι τὸ λελευκωμένον ξύλον καὶ αὐτὴ ἡ λευκότης, μήποτε δυνάμεθα λέγειν ὅτι καὶ τὸ λογικὸν διττόν, τοῦτ' ἔστιν αὐτὴ ἡ 30 λογικότης καὶ τὸ λογικὸν ζῷον. ἢ καὶ ἄλλως· ὅτι κἂν μὴ δυνάμεθα εἰπεῖν τὸν ἄνθρωπον λογικότητα, λέγομεν αὐτὸν λογικότητα ἔχειν. ἔδειξεν οὖν ὁ λόγος ὅτι ἡ διαφορὰ συνωνύμως κατηγορεῖται κυρίως.

p. 3b10 Πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν.

Ἐπὶ μὲν τῶν πρώτων οὐσιῶν καταγνοὺς ὁ Ἀριστοτέλης τῶν πρώτων 35 δύο ἰδίων τῆς οὐσίας, τοῦ μὲν ἑνὸς ὡς πάσῃ μὲν ὑπάρχοντος μὴ μόνῃ δέ,

2 τὰ γὰρ—οὐσιῶν (3) in mrg. suppl. H 7 εἶναι ἴδιον (num. corr.) coll. P 10 ἀμφότεραι P 13 μήποτε scripsi: πότε libri 14 καὶ iter. H τοῦ γὰρ πρώτου iter. P 19 ὅτι om. KP λογικότης Urb. 35: λογικός HKP 21 αὐτὸς om. K ἐν τῷ Περὶ τῆς ψυχῆς λόγῳ] cf. B 1 p. 413a3 22 τοῦ ζῴου om. K συντελεῖσθαι H[1] 23 an μεταδιδῷ? 27 post λέγεται addas οἷην τὸ λογικὸν λέγεται 28 λελευκομένον H 30 λογικότης] λευκότης H an δυνώμεθα?

τοῦ δὲ δευτέρου ὡς μήτε πάσῃ μήτε μόνῃ ὑπάρχοντος, ἐφ' ἕτερον ἴδιον κατάγει τὸν λόγον καί φησι τρίτον ἴδιον τῆς οὐσίας ⟨τὸ⟩ τόδε τι σημαίνειν. δηλοῖ τὸ μὲν τόδε τὸ ὑποκείμενον· οὕτω γοῦν αὐτὸς ἐν ταῖς Φυσικαῖς τὴν ὕλην ὑποκείμενον καλεῖ· ἄμφω γὰρ ὡρισμένα, καὶ τὸ τόδε ὡς δείξει ὑπο-
5 πίπτον καὶ ἡ ὕλη ⟨ὡς⟩ ὡσαύτως μένουσα πάντων ἐν αὐτῇ τρεπομένων, εἴπερ ὁ λέβης δύναται μετασχηματισθῆναι καὶ γενέσθαι ἀνδριὰς καὶ ὁ ἀνδριὰς πάλιν μετασχηματιζόμενος ἕτερόν τι γενέσθαι οὐδὲν ἧττον μένοντος τοῦ χαλκοῦ, ὅπερ ἦν, πρὶν γένηται λέβης ἢ ἀνδριὰς ἤ τι τῶν τοιούτων. οὕτως ὁ Ἀριστοτέλης τὸ τόδε καὶ τὴν ὕλην ὑποκείμενα | καλεῖ. τὸ δὲ τὶ τὸ 252v
10 μερικὸν δηλοῖ. ἄμφω δέ, τόδε καὶ τί, τὸ μερικὸν ὑποκείμενον δηλοῖ, φημὶ τὴν ἄτομον οὐσίαν. τοῦτο δὲ τὸ ἴδιον οὐδὲ τῇ ὕλῃ ἁρμόζει διὰ τὸ καθολικὸν ὑποκείμενον αὐτὴν εἶναι καὶ ὅτι οὐκ ἔχει συμβεβηκότα τῷ ἑαυτῆς λόγῳ, ἅπερ ποιοῦσι τὸ μερικόν (καὶ ἁπλῶς εἰπεῖν οὐδὲ τὸ καθόλου ἁρμόζει τῇ ὕλῃ οὐδὲ τὸ μερικόν· ταῦτα γάρ εἰδοπεποιημένα ὀνόματα. ἡ δὲ ὕλη
15 οὐκ ἔχει καθ' ἕξιν τὰ εἴδη, ἀλλὰ κατ' ἐπιτηδειότητα), οὐδὲ τῇ θείᾳ ἁρμόζει οὐσίᾳ μηδενὶ ὑποκείμενον οὔσῃ, οὐδὲ ταῖς δευτέραις· αὗται γὰρ εἰ καὶ τῷ ἑνιαίῳ τῆς προφορᾶς δοκοῦσι τόδε τι σημαίνειν, ὅταν εἴπω 'ἄνθρωπος' ἢ 'ζῷον', ἀλλ' οὐ τόδε τι σημαίνουσιν ἀλλὰ τοιόνδε, τοῦτ' ἔστιν ὁμοιότητα, καθ' ἣν ἐοίκασιν οἱ ἄνθρωποι ἀλλήλοις, καθό εἰσιν ἄνθρωποι, καὶ τὰ ζῷα, καθὸ
20 ζῷα. καὶ μὴ νομίσῃς, ἐπειδὴ εἶπον τοιόνδε αὐτὰ σημαίνειν, τὸ δὲ τοιόνδε ποιότης, ἡ δὲ ποιότης συμβεβηκός, ὅτι αἱ δεύτεραι οὐσίαι συμβεβηκότα· κἂν γὰρ ποιότητα σημαίνωσιν, ἀλλ' οὐσιώδη ποιότητα. ἀλλ' ἐπειδὴ καὶ τὰ καθόλου συμβεβηκότα ὁμοιότητα σημαίνουσι τῶν κατὰ μέρος συμβεβηκότων, τίνι διαφέρουσι τῶν δευτέρων οὐσιῶν; καὶ λέγομεν ὅτι αἱ μὲν δεύτεραι
25 οὐσίαι ὁμοιότητα οὐσιώδη σημαίνουσι τὰ δὲ συμβεβηκότα ἐπουσιώδη· διττὴ γὰρ ἡ ποιότης, ἡ μὲν οὐσιώδης ἡ δὲ ἐπουσιώδης. μήποτε οὖν τὸ παρὸν ἴδιον ἄλλο ἐστὶν ἐγκώμιον τῆς οὐσίας τῆς ἀτόμου· μόνη γὰρ ἡ ἄτομος οὐσία πρὸς τῷ πᾶσιν ὑποκεῖσθαι τοῖς παρ' ἑαυτὴν ἑαυτῆς ἐστι μόνη, τὰ δὲ ἄλλα πάντα τῆς ἀτόμου οὐσίας εἶναι λέγεται.

30 Ταῦτα ὁ Ἀριστοτέλης καὶ ἕτερον οὐδέν. πέντε δέ τισιν ἔχομεν ἐπιστῆσαι· πρῶτον μὲν ὅτι πῶς λέγομεν τὴν οὐσίαν σημαίνειν, εἰ πρᾶγμα ἡ οὐσία, τὰ δὲ πράγματα σημαίνονται καὶ οὐ σημαίνουσι. καὶ λέγομεν ὅτι ὁ σκοπὸς ταῖς Κατηγορίαις οὐ περὶ πραγμάτων ᾗ πράγματα διαλαβεῖν, ἀλλ' ᾗ σημαίνονται ὑπὸ τοιῶνδε φωνῶν· ποτὲ μὲν γὰρ τὰ πράγματα ποιοῦσι
35 τὰ τῶν φωνῶν, οὐχ ὡς πράγματα σημαίνοντα, ἀλλ' ὡς τοιῶσδε ὀνομαζόμενα, οἷον Σωκράτης ἐν πλήθει θεωρούμενος τοῖς ἐπιζητοῦσιν αὐτόν

1 δὲ om. P 2 τὸ inserui 3 ἐν ταῖς Φυσικαῖς] v. Bonitzii Ind. p. 798a
4 τὸ om. P 5 ὡς inserui μέν.] μὲν οὖσα HP 6 μετασχημ. H
9 τὸ (ante μερ.)] Urb. 35: om. HKP 10 post τί add. μερικὸν HKP, quod eieci sec. Urb. 35 τὸ μερικὸν in mrg. suppl. H post μερικὸν add. δὲ K
13 καὶ ἁπλῶς—μερικόν (14) om. KP 16 τῷ] τὸ P 17 ἄνθρωπον KP
18 ἀλλ' οὐ] ἀλλὰ P 22 σημαίνουσιν HP 23 συμβεβηκότα om. K 24 post λέγομεν additum συμβεβηκότων del. P 27 alt. τῆς] τοῦ K 28 τῷ Urb. 35: τὸ HKP ἑαυτῆς Urb. 35: ἑαυτῇ HKP 35. 36 ὀνομαζ. Urb 35: νομιζόμενα HKP

(σημαίνουσι γάρ ποτε καὶ τὰ πράγματα φωνὰς ὡς ἐφελκόμενα τὰς οἰκείας προσηγορίας, σημαίνουσι δὲ καὶ τὰ πράγματα πράγματα, οἷον τὸ γάλα ὅτι τέτοκεν, ὁ καπνὸς ὅτι πῦρ), ποτὲ δὲ ⟨καὶ⟩ αἱ φωναὶ ποιοῦσι τὰ τοῦ πράγματος, οἷον Σωκράτης περιπατεῖ, οὐχ ὅτι τὸ Σωκράτης ὄνομα περιπατεῖ,
5 ἀλλ' ὅτι τὸ πρᾶγμα τὸ ἔχον τοιοῦτον ὄνομα ἐκεῖνο περιπατεῖ. δεύτερον ὅτι καὶ ἐκ τούτου φαίνεται τοῦ ἰδίου, τοῦ κατὰ τὴν ὁμοιότητα ἰδίου, οὐκ ἐκ τοῦ κατὰ τόδε τι, ὅτι οὐσίαι αἱ διαφοραί, οὐ μόνον ὅτι | οὐκ εἰσιν 253r ἐν ὑποκειμένῳ καὶ ὅτι συνωνύμως κατηγοροῦνται καὶ ὅτι μέρη οὐσιῶν εἰσιν, ἀλλ' ὅτι καὶ ἀνομοιότητα οὐσιῶν σημαίνουσιν· ὡς γὰρ αἱ δεύτεραι οὐσίαι
10 ὁμοιότητα σημαίνουσαι τῶν κατὰ μέρος οὐσιῶν οὐσίαι εἰσίν, οὕτω καὶ αἱ διαφοραὶ ἀνομοιότητα οὐσιῶν σημαίνουσαι οὐσίαι εἰσί· τῶν γὰρ ἀντιδιαιρουμένων μία ἡ ἐπιστήμη, τοῦτ' ἔστιν ὁμοιότητος καὶ ἀνομοιότητος. τρίτον ἐπιστήσωμεν ὅτι πῶς ἀνωτέρω ἐλέγομεν τὰ γένη καὶ τὰ εἴδη ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, νῦν δὲ ἐν τῷ ὁποῖόν τί ἐστι. καὶ λέγομεν ὅτι ἀμφό-
15 τερα ἀληθῆ· εἰ μὲν γὰρ λάβῃς αὐτὸ τὸ ἐγκατατεταγμένον πρᾶγμα καὶ οὐ τὸ σχετικὸν ἐν τοῖς κατὰ μέρος ζῷον ἢ τὸν ἄνθρωπον, ἐν τῷ τί ἐστι κατηγορεῖται, εἰ δὲ τὸ ἐξῃρημένον, τοῦτ' ἔστι τὸ πρὸ τῶν πολλῶν καὶ σχετικόν, ἐν τῷ ὁποῖόν τι ἐστι κατηγορεῖται· ὁμοιότητα γὰρ οὐσιῶν δηλοῖ· εἰ μὲν γὰρ αὐτὸ τὸ πρᾶγμα καθ' αὑτὸ σκοποῦμεν ἀσχέτως καὶ τὴν φύσιν
20 αὐτοῦ, τῷ τί ἐστι χρώμεθα (τοῦτο γὰρ ὁρισμοῦ πρόσρημα καὶ φύσεως καὶ τοῦ εἶναι δηλωτικόν), εἰ δὲ τὴν σχέσιν καὶ ὁμοιότητα ζητοῦμεν, ἣν ἔχει τὸ καθόλου πρὸς τὰ κατὰ μέρος, τῷ ὁποῖόν τί ἐστι χρώμεθα· ὁ γὰρ καθόλου ἄνθρωπος ἢ τὸ ζῷον, ὁμοιότητα δηλοῦντα τῶν οἰκείων μερῶν ἢ εἰδῶν, τοιόνδε τι σημαίνουσι καὶ ὁμοιότητα οὐσιώδη δηλοῦσι. τέταρτον
25 ἐπιστήσωμεν ὅτι ὁ μὲν Ἀριστοτέλης τόδε τι καλεῖ τὴν ἄτομον οὐσίαν, τοιόνδε τὴν δευτέραν, ὁ δὲ Πλάτων ὑπεναντίως αὐτῷ. καὶ λέγομεν ὅτι ἀμφότερα ἀληθῆ· ἑκάτερος γὰρ τὸ μὲν ὡρισμένον τόδε καλεῖ, τὸ δὲ ἀόριστον τοιόνδε. ἔστι δὲ ἐν ἑκατέρῳ καὶ ὡρισμένον καὶ ἀόριστον· ἐν μὲν τῇ ἀτόμῳ οὐσίᾳ ὡρισμένον μὲν τὸ ἓν τῷ ἀριθμῷ, ἀόριστον δὲ τῷ μηδὲ τὴν
30 περὶ αὐτῆς προσηγορίαν ἀναμένειν, οἷον Σωκράτης (ἐν ῥοῇ γὰρ καὶ ἀπορροῇ τὸ εἶναι ἔχει, ὥσπερ καὶ τὰ ἄλλα φυσικὰ ἐν παντὶ νῦν μεταβάλλει· ἐν γὰρ τῷ λέγειν 'κάλεσον τὸν καθήμενον' ἀνίσταται καὶ οὐκ ἀνέμεινε τὴν οἰκείαν προσηγορίαν), ἐπὶ δὲ τῆς δευτέρας οὐσίας ὡρισμένον τὸ ἀμετάβλητον οἷον τοῦ καθόλου ἀνθρώπου καὶ τοῦ ζῴου, ἀόριστον δὲ τῷ ἀλλάσσεσθαι τὸ
35 καθόλου, ὅταν πολλῶν ἔχωμεν ἔννοιαν· εἰ γὰρ εἴπω 'ἄνθρωπος', περιέλαβον

---

1 γὰρ Urb. 35: δέ HKP ποτε superscr. P ταῖς οἰκείαις προσηγορίαις K
2 σημαίνουσι . . τὰ πρ. πρ. Urb. 35: σημαίνονται . . τὰ πρ. ὑπὸ πράγματα (sic) HKP
3 καὶ Urb. 35: om. HKP 4 pr. σωκρ.—ὅτι τὸ om. P 13 ἀνωτέρω] p. 57,32 al.
14 κατηγορεῖσθαι—ἐστι in mrg. suppl. P 16 an σχετ. ⟨οἷον τὸ⟩ ? 17 τοῦτ' ἔστι] τοῦ τί ἐστι KP 19 σκοπῶμεν HP 20 πρόρρημα P 25 ἐπιστήσομεν P 26 Πλάτων] cf. Zelleri Phil. Gr. II p. 552 27 ὁρισμ. H
28 ὁρισμ. P alt. καὶ om. P 29 τὸ] τῷ P alt. τῷ Urb. 35: τὸ HKP
γὰρ om. P 35 ἔχωμεν scripsi: ἔχομεν HKP

τὸν Σωκράτην. πέμπτον δὲ καὶ τελευταῖον δεῖ ἐπιστῆσαι ὅτι παρὰ τὴν ἄγνοιαν τούτου τοῦ σημαινομένου γίνονται οἱ οὔτιδες παραλογισμοὶ κατὰ τὸν παρ' Ὁμήρῳ Ὀδυσσέα ἐν καιρῷ Οὖτιν αὑτὸν καλέσαντα. ἔχει δὲ ὁ παραλογισμὸς οὕτως· ὅστις ἐν Ἀθήναις, οὗτος οὐκ ἐν Μεγάροις, ἄνθρωπος δὲ 5 ἐν Ἀθήναις, ἄνθρωπος ἄρα οὐκ ἐν Μεγάροις. καὶ λέγομεν ὅτι παραλογισμός ἐστιν ἐν τῷ τίς· τὸ γὰρ ὅστις ὁ μὲν ἐπὶ τοῦ καθόλου βιάζεται αὐτῷ εἶναι, ὅπερ ἐστὶ ψεῦδος, ὁ δὲ ἐπὶ τοῦ μερικοῦ αὐτὸ λαμβάνει. | καὶ 253v ἀληθής ἐστιν ὁ λόγος τότε, ἐὰν τὸ μερικὸν λαμβάνωμεν· ὁ γὰρ τὶς ἄνθρωπος, φέρε εἰπεῖν Σωκράτης ἢ ἄλλος τις τῶν κατὰ μέρος ἀνθρώπων, 10 ὁ ὢν ἐν Ἀθήναις ἐν Μεγάροις οὐκ ἔστιν, ἵνα μὴ διασπασθῇ αὐτὸς ἑαυτοῦ. οὕτω δὲ δεῖ λέγειν· ὅστις ἐν Ἀθήναις, οὗτος οὐκ ἐν Μεγάροις· Σωκράτης ἐν Ἀθήναις, Σωκράτης ἄρα οὐκ ἐν Μεγάροις. ταῦτα ἔχει ἡ θεωρία.

p. 3b24 Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν ἐναντίον αὐταῖς εἶναι.

15 Ἐπειδὴ τὸ τρίτον ἴδιον τῆς οὐσίας, τὸ τόδε τι σημαίνειν, καὶ μόνῃ τῇ οὐσίᾳ ὑπάρχειν καὶ διὰ τοῦτο μᾶλλον ἴδιον αὐτῆς δοκοῦν εἶναι, δοκεῖ οὐχ ὡς πράγματι αὐτῇ ὑπάρχειν ἀλλ' ὡς φωνῇ σημαντικῇ (τὸ γὰρ σημαίνειν φωνῆς), οὐ πρότερον καταπαύει ὁ Ἀριστοτέλης τὸν περὶ τῶν ἰδίων λόγον, πρὶν ἂν εὕροι ἴδιον τῆς οὐσίας τὸ ὡς πράγματι αὐτῇ ὑπάρχον. καὶ ἐπειδὴ 20 ὡς πράγματι ὑπάρχει τῇ οὐσίᾳ τὸ τῶν ἐναντίων αὐτὴν εἶναι δεκτικήν, τῷ δὲ τῶν ἐναντίων αὐτὴν εἶναι δεκτικὴν ἕπεται τὸ μηδὲν ἔχειν ἐναντίον, τούτῳ δὲ ἕπεται τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, ταῦτα τὰ τρία ἴδια παραδοὺς τῆς οὐσίας καταπαύει τὸν περὶ τῆς οὐσίας λόγον καὶ τῶν ἰδίων αὐτῆς. καὶ ἕκτον μὲν καὶ κυρίως παραδίδωσι τελευταῖον ἴδιον τὸ τῶν 25 ἐναντίων δεκτικὴν αὐτὴν εἶναι, τέταρτον δὲ ἴδιον τῆς οὐσίας τὸ μηδὲν ἔχειν ἐναντίον. καὶ τοῦτο πιστοῦται ἐκ τῆς ἐπαγωγῆς· οὔτε γὰρ τῇ πρώτῃ, φησίν, ἐστί τι ἐναντίον οὔτε τῇ δευτέρᾳ. καὶ ταῦτα δι' ἑτέρας ἐπαγωγῆς πιστοῦται· τῇ γὰρ πρώτῃ, φησίν, οὐκ ἔστιν ἐναντίον, ἐπειδὴ Σωκράτει οὐδέν ἐστιν ἐναντίον, τῇ δευτέρᾳ οὐδέν ἐστιν ἐναντίον, ἐπειδὴ οὔτε ζῴῳ 30 οὔτε ἀνθρώπῳ· πολὺ γὰρ τὸ ἐπαγωγικὸν ἐν τῇ παρούσῃ πραγματείᾳ περὶ γενικωτάτων οὔσῃ· τὰ γὰρ γενικώτατα πρὸ αὐτῶν οὐδὲν ἔχει, πάντα δὲ μετὰ ταῦτα. ἡ δὲ ἐπαγωγὴ ἐκ τῶν δευτέρων καὶ μερικῶν τὸ καθόλου πιστοῦται, ἡ δὲ ἀπόδειξις οὐχ οὕτως, ἀλλ' ἐκ τῶν ἐπάνω τὰ κάτω. καὶ ἐπειδὴ παχυμερὴς ἡ ἐπαγωγὴ ὡς μὴ ἐπὶ πάντων ἀληθεύουσα,

1 post Σωκρ. addas καὶ Πλάτωνα καὶ Ἀλκιβιάδην ἐπιστῆναι HP 3 παρ' Ὁμήρῳ] ι 366 οὔτι P 6 τὸ γὰρ ὥστις (sic) in mrg. suppl. P 7 αὐτῷ] αὐτῶ H: αὐτὸ KP 9 ἄλλο HP 10 μὴ om. K 12 σωκράτης ἄρα οὐκ ἐν evan. H ταῦτα—θεωρία in mrg. suppl. H 13 αὐτ. ἐν. coll. Arist. 15 alt. τὸ om. K 17 αὐτῆς KP 19 ὑπ. αὐτῇ coll. K ἐπεὶ H 22 δέχεσθαι KP tert. τὸ om. K post ταῦτα add. γὰρ HP 23 ἰδίων—τελευταῖον (24) om. P 24 ante τελ. add. τὸ K 25 post οὐσίας add. ἐστὶ HP 27 φησίν] φύσει K 28 γὰρ om. H 29 τῇ δευτέρᾳ—ἐναντίον om. P 31 πρὸ αὐτῶν] πρὸ αὐτῶν Urb. 35: προσαιτῶν HKP

φέρε ἡμεῖς δι' ἑτέρου ἀναγκαστικωτέρου τρόπου τοῦτο ἀποδείξωμεν. δεῖ εἰδέναι ὅτι ἐγήγερται τοῖς πράγμασι φυσικὸς καὶ ἀκήρυκτος καὶ ἄσπονδος πόλεμος, ὅταν δύο τινῶν μαχομένων ἀλλήλοις ἑκάτερος ἐγκρατὴς βούληται γενέσθαι τοῦ ὑποκειμένου, μὴ δύνηται δὲ τὸ ὑποκείμενον ἀμφότερα ἐν τῷ 5 αὐτῷ νῦν δέξασθαι τὰ ἐναντία διὰ τὸ παρὰ μέρος αὐτὸ εἶναι τῶν ἐναντίων δεκτικόν. εἰ οὖν τὰ μαχόμενα περὶ ἓν ὑποκείμενον μάχονται, ὥς φησιν ὁ Πλωτῖνος (περὶ γὰρ τῶν τόπων ἡ μάχη) [δεῖ εἰδέναι ὅτι ὑποκείμενον νῦν λέγεται ὁ τόπος· ἕκαστον γὰρ ἐναντίον τόπον ἔχει ἴδιον, καὶ οὐδέποτε μάχονται τὰ ἐναντία πόρρω ἀφεστῶτα, ἀλλ' ἁπτόμενα | ἀλλήλων ἢ καὶ 254r 10 συμπλακέντα, καὶ ἐν ἑνὶ ὄντα τόπῳ μάχονται τί κρατήσει τοῦ τόπου· ἀδύνατον γὰρ ἀστασίαστα μένειν τἀναντία ἐν ἑνὶ ὄντα τόπῳ· ὑποκείμενον οὖν τὸν τόπον ἀκουστέον, ἐν ᾧ μάχονται τἀναντία, καὶ οὐ τὸ ἄποιον σῶμα], τὰ ἄρα μαχόμενα ἐν ὑποκειμένῳ· διὰ τὴν σὺν ἀντιθέσει ⟨ἄρα⟩ ἀντιστροφὴν ἐκ τοῦ ἑπομένου γενομένην τῷ μὴ ἐν ὑποκειμένῳ ⟨ὅσα μὴ ἐν ὑποκειμένῳ 15 ἐστίν, οὐκ ἔχει ἐναντίον ὡς τῆς ἀφορμῆς τοῦ μάχεσθαι ἀπηλλαγμένα· ἡ δὲ οὐσία οὐκ ἐν ὑποκειμένῳ⟩· οὐκοῦν τῇ οὐσίᾳ οὐκ ἔστιν ἐναντίον μαχόμενον. ἀλλὰ τοῦτο τὸ τέταρτον εἰρημένον ἴδιον πάσῃ μὲν ὑπάρχει τῇ οὐσίᾳ, οὐ μόνῃ δέ· οὐδὲ γὰρ ἀντιστρέφει ὁ λόγος· εἰ γὰρ καὶ πάντα τὰ μαχόμενα ἐν ὑποκειμένῳ, ἀλλ' οὐ πάντα τὰ ἐν ὑποκειμένῳ μάχονται ἀλλή- 20 λοις· τῷ γὰρ σχήματι οὐδέν ἐστιν ἐναντίον (οὐ γάρ ἐστι τρίγωνον τριγώνῳ ἐναντίον οὐδὲ τετράγωνον τετραγώνῳ, ἐπεὶ μηδὲ τὸ μᾶλλον καὶ ἧττον δέχονται, εἴ γε τὸ τρίγωνον οὐ γίνεται ἑαυτοῦ μᾶλλον τρίγωνον ἢ ἧττον, ἀλλὰ μεῖζον μὲν λέγεται τρίγωνον τριγώνου, μᾶλλον δὲ τρίγωνον τριγώνου οὐκ ἔστιν εἰπεῖν, εἴ γε πᾶν τρίγωνον τὸν ὁρισμὸν τοῦ τριγώνου ἐπιδέχεται), 25 οὐδὲ τοῖς μέσοις τῶν χρωμάτων, φαιῷ ἢ ξανθῷ· τὰ γὰρ ἐναντία τῇ πλείστῃ διαστάσει κρίνεται· πλεῖστον δὲ διέστηκεν οὐ τὸ μέσον τοῦ ἄκρου ἀλλὰ τὸ ἄκρον τοῦ ἄκρου. καὶ τῷ ὡρισμένῳ ποσῷ οὐδέν ἐστιν ἐναντίον, οἷον τῷ διπήχει ἢ τριπήχει. εἰ δὲ καὶ συγχωρήσομεν τῷ ἀορίστῳ ποσῷ εἶναι ἐναντίον, τὸ μικρὸν τῷ μεγάλῳ καὶ τὸ πολὺ τῷ ὀλίγῳ, δειχθήσεται ὅτι 30 οὐδὲ τούτοις ἐστί τι ἐναντίον, διότι τὸ μέγα ἐκ μικρῶν πολλῶν συνέστηκε καὶ τὸ πολὺ ἐξ ὀλίγων πολλῶν· εἰ οὖν περιέχουσιν ἑαυτά, οὐκ εἰσιν ἐναντία συστατικὰ ὄντα ἑαυτῶν· τὰ δὲ ἐναντία ἀεὶ φθαρτικὰ ἀλλήλων καὶ οὐδέποτε συστατικά. ταῦτα ὁ Ἀριστοτέλης καὶ ἕτερον οὐδέν.

Ἀποροῦσι δὲ τρία ἄπορα. πρῶτον μὲν πῶς λέγεται ἡ οὐσία μηδὲν 35 ἔχειν ἐναντίον· ἐν γὰρ τῷ Περὶ γενέσεως καὶ φθορᾶς φησι τὰ στοιχεῖα μάχεσθαι ἀλλήλοις, τὸ πῦρ τῷ ὕδατι καὶ τὸν ἀέρα τῇ γῇ. καὶ λύει ὁ

---

1 ἀναγκαστικοτέρου H: ἀναγωγικοῦ K: ἀναγωγικωτέρου P 5 παρὰ Urb. 35: κατὰ HKP 6. 7 ὁ Πλωτῖνος] cf. Enn. II, 4,6 sq. III, 6,18 extr. 7 δεῖ—σῶμα (12) delevi 10 ἐν om. H τί scripsi: τίς libri 11 ante ἐν add. καὶ KP 13 μαχώμενα H alt. ἄρα ex Urb. 35 inserui 14 ὅσα—οὐκ ἐν ὑποκειμένῳ (16) ex Urb. 35 inserui 18 οὐδὲ scripsi: οὔτε libri 24 εἰπεῖν om. HP ἐπειδέχεται H: δέχεται P 25 φαιὸν ἢ ξανθόν HP 28 τῷ διπήχει ἢ τριπήχει scripsi: τὸ δίπηχυ ἢ τρίπηχυ libri συγχωρήσωμεν H 30 τι] τὸ K συνέστηκε—πολλῶν (31) in mrg. suppl. P 31 αὐτά H 35 Περὶ γεν. καὶ φθορ.] cf. B 3 p. 330a30 sq.

Ἀλέξανδρος λέγων ‘οὐ καθόλου ἑαυτοῖς μάχονται τὰ στοιχεῖα· οὐ δήπου γὰρ καὶ κατὰ τὸ σῶμα, ἀλλὰ ποιότης ποιότητι, θερμότης ψυχρότητι καὶ ὑγρότης ξηρότητι’. ὁ δὲ Συριανὸς ἐπικρίνας πλέον φησὶν ‘οὐδὲ κατὰ τὰς ποιότητας μάχονται, εἰ οὐσιώδεις ληφθεῖεν· οὐ γὰρ ἁμιλλᾶται ἡ θερμότης
5 ψυχρότητί τινι, ἐὰν ἐν πυρὶ γένηται, ἢ ἐν ὕδατι ψυχρότης θερμότητι, ἐπεὶ ἦν ποτε εὑρεῖν καὶ πῦρ ψυχρόν. ἀλλὰ κἂν φθείρῃ ποιότης ποιότητα, ὡς ἐν ἀποίῳ σώματι δεῖ τότε αὐτὰς λαβεῖν· τότε γὰρ καὶ συμβεβηκότα εἰσὶ καὶ γίνονται καὶ ἀπογίνονται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου.’ δευτέρα ἀπορία· ὅτι εἰ τῇ οὐσίᾳ οὐδὲν | ἐναντίον ἐστί, πῶς ὁ λόγος καὶ ὁ θυμὸς 254v
10 μάχονται ἀλλήλοις; οὐσίαι γὰρ ταῦτα· τρία γὰρ μέρη τῆς ψυχῆς, λόγος, θυμὸς καὶ ἐπιθυμία, καὶ μάχεται ὁ θυμὸς καὶ ὁ λόγος, ὥς φησιν ἡ Μήδεια

θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

καὶ λέγομεν ὅτι οὐ κατὰ τὰς οὐσίας ἡ μάχη, ἀλλὰ κατὰ τὰς ἐνεργείας· θυμὸς γὰρ καὶ λόγος οὐσίαι, τὸ δὲ θυμοῦσθαι καὶ λογίζεσθαι ἐνέργειαι (εἰ
15 δὲ ἐπαπορεῖ τις λέγων ὅτι αἱ ἐναντίαι ἐνέργειαι ὑπὸ ἐναντίων δυνάμεων προβάλλονται, αἱ δὲ ἐναντίαι δυνάμεις ὑπ’ ἐναντίων οὐσιῶν, κακῶς λέγει· ἡ γὰρ αὐτὴ οὐσία ἐναντίας προβάλλεται ἐνεργείας, ὡς ἡ δόξα· αὐτὴ γὰρ τὸ ὅτι μόνον εἰδυῖα ποτὲ μὲν δοξάζει ὅτι ἡ ψυχὴ θνητή ἐστι, πεισθεῖσα δὲ ὑπὸ ἐπιστήμονος δοξάζει πάλιν τὸ ἀληθὲς ὅτι ἀθάνατος ἡ ψυχή)· καὶ ὅτι
20 οὐδέποτε συσπένδονται τὰ ἐναντία· ὁ δὲ θυμὸς εἴκει ποτὲ τῷ λόγῳ, καθώς φησιν Ὀδυσσεὺς

τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ’ ἔτλης.

τρίτη ἀπορία· εἰ μή ἐστί τι ἐναντίον τῇ οὐσίᾳ, πῶς λέγομεν ἐχθροὺς τοὺς ἀνθρώπους, εἴ γε οἱ ἄνθρωποι οὐσίαι εἰσί; καὶ λέγομεν ὅτι οὐ καθὸ οὐσίαι
25 μάχονται, ἀλλὰ συμβεβηκός τι ἐποίησεν αὐτοὺς ἐχθρούς, ἡ παροινία (αὕτη δὲ συμβαίνει, ἐπειδὴ καὶ ἡ γνῶσις αὐτὴ συμβαίνει), καὶ ὅτι οὐ συσπένδονταί ποτε τὰ ἐναντία, ὡς ἐπὶ πᾶν δὲ τὰς μεγίστας ἔχθρας μέγισται φιλίαι διαδέχονται, καὶ ὅτι ἑαυτοὺς ἐποίησαν συμβεβηκότα τῶν ἑαυτοῖς ὑπαρχόντων (ἔστι γὰρ αὐτῶν ἀκοῦσαι λεγόντων ὅτι ‘τὴν οὐσίαν μου ἥρπασας’), οὐσίαν καλοῦν-
30 τες τὰ χρήματα καὶ ἑαυτοὺς συμβεβηκότα ποιοῦντες, καὶ οὐδὲ εὐτυχῆ συμβεβηκότα ἀλλὰ συμβεβηκότα συμβεβηκότων, τοῦτ’ ἔστι τῶν ἰδίων πραγμάτων.

p. 3b33 **Δοκεῖ δὲ ἡ οὐσία οὐκ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον.**

Τὸ τέταρτον ἴδιον τῆς οὐσίας, τὸ μηδὲν ἔχειν ἐναντίον, ἀποκύει καὶ
35 ἄλλο ἴδιον, τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· τὰ γὰρ ἐναντία

2 τὸ om. K 3 οὐδὲ] οὐ K 4 εἰ Urb. 35: ἐὰν HKP 6 ποιότητι (alt. l.) P 7 αὐτὰς scripsi: αὐτὰ libri 11 ὁ (utrobique) om. H Μήδεια] Eur. Med. 1067 13 ὅτι om. P 14 εἰ — ἐνέργειαι (15) om. KP 16 καλῶς KP λέγει] ἔχει H 21 Ὀδυσσεύς] Hom. υ 18 22 ἄλλο ποτ’ ἔτλης Urb. 35: ἀλλ’ ὁπότερον θέλεις HKP 24 οἱ om. P ὅτι om. HP 26 γνῶσις αὐτὴ Urb. 35: αὐτῆς γνῶσις HKP 27 ποταὶ H 29 post ἥρπασας addita αὐτῶν ἀκοῦσαι λεγόντον del. P 30 εὐτυχῆ Urb. 35: ἐν τύχῃ HKP 32 οὐκ] μὴ Arist. 35 τὸ (ante ἧττον) om. H

τέλη εἰσιν, ⟨τὸ δὲ μᾶλλον καὶ ἧττον⟩ ὁδὸς ἐπὶ τἀναντία. καὶ καλεῖ μὲν ἐναντία, φέρε εἰπεῖν, τὸ λευκὸν καὶ τὸ μέλαν, ἃ καὶ τέλη εἶναι λέγει, μᾶλλον δὲ καὶ ἧττον τὴν ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν μεταβολὴν ἢ τοῦ μέλανος εἰς λευκόν, μὴ ἀθρόως γινομένην ἀλλ' ὁδῷ τινι κεχρημένην, 5 τῇ κατὰ πρόσβασιν ἐκ τοῦ λευκοῦ ἢ τοῦ μέλανος εἰς τὸ ἕτερον μεταποιήσει. ὅπου τοίνυν τὰ ἐναντία, ἐκεῖ καὶ τὸ μᾶλλον καὶ ἧττον, καὶ ὅπου τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐκεῖ καὶ τἀναντία. καὶ πάλιν ὅπου τἀναντία οὐκ εἰσίν, οὐδὲ μᾶλλον οὐδὲ ἧττον, καὶ ὅπου οὐδὲ μᾶλλον οὐδὲ ἧττον, ἐκεῖ οὐδὲ ἐναντία εἰσίν· ἀεὶ γὰρ ταῦτα τὰ τέσσαρα συμβαίνει ἀλλήλοις τὰ εἰρημένα. ἀλλὰ 10 ταῦτα ἀληθῆ καὶ κατὰ Πλάτωνα· ⟨κατὰ γὰρ Πλάτωνα⟩ πάντα ἔμμεσα λέγεται· οὐδὲν γὰρ ἀθρόως, φησί, μεταπηδᾷ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ πάντως ἐναντίον, οἷον τὸ λευκὸν οὐκ ἀθρόως μεταπηδᾷ, ἀλλ' ὁδῷ τινι κέχρηται καὶ γίνεται ἧττον λευκὸν καὶ ἔτι ἧττον καὶ ἧττον καὶ οὕτω | μέλαν. κατὰ 255r Ἀριστοτέλην δὲ οὐ πάντα ἔμμεσα τἀναντία, ἀλλ' οἶδε καὶ ἄμεσα ἐναντία, 15 εἰ καὶ δύο μόνα, ἄρτιον καὶ περιττὸν καὶ νόσον καὶ ὑγείαν. τινὲς δέ φασιν ὅτι καὶ τούτων εἰσὶ μέσα· τοῦ γὰρ ἀρτίου τοῦ δίχα διαιρουμένου μέσα τρία, ὁ ἀρτιάκις ἄρτιος, ὅστις ἕως μονάδος δίχα διαιρεῖται, ὡς ὁ τριάκοντα δύο εἰς δεκαὲξ καὶ ὀκτὼ καὶ τέσσαρα καὶ δύο καὶ μίαν, καὶ ὁ περισσάρτιος, ὅστις πολλὰς τομὰς ἀρτίας δεξάμενος εἰς περιττὸν ἀριθμὸν 20 λήγει, ὡς ὁ τεσσαράκοντα ὀκτὼ εἰς εἴκοσι τέτταρα καὶ δώδεκα καὶ ἓξ καὶ εἰς περιττὸν λήγει τὸν τρία, καὶ ὁ ἀρτιοπέριττος, ὃς δίχα μὲν διαιρεῖται, εὐθέως δὲ τὰ τμήματα αὐτοῦ περιττά εἰσιν, ὡς ὁ ὀκτὼ καὶ δέκα εἰς ἐννέα καὶ ἐννέα διαιρούμενος. ἀλλὰ τούτων μὲν τῶν ἀριθμῶν, φημὶ ἀρτίου καὶ περιττοῦ, μέσοι, ὥς φασιν, οἱ εἰρημένοι, νόσου δὲ καὶ ὑγείας ἡ ἀνακομιδή. ὁ δὲ 25 Ἀριστοτέλης εἰκότως φαίη ἂν πρὸς τούτους ὅτι ἁπλῶς ἀρτίου καὶ ἁπλῶς περιττοῦ οὐδείς ἐστι μέσος, ὑμεῖς δὲ τινὰ ἄρτιον ἐλάβετε· ὁ γὰρ ἀρτιάκις ἄρτιος τὶς ἄρτιός ἐστιν, οὐχ ἁπλῶς ἄρτιος. καὶ νόσου καὶ ὑγείας οὐδέν ἐστι μέσον· εἰ γὰρ καὶ νομίζεται εἶναι μέσον ἡ ἀνακόμισις κατὰ τοὺς ἰατρούς, οἳ τῷ πρὸς αἴσθησιν κατὰ φύσιν καὶ παρὰ φύσιν ἐξετάζοντες ὑγείαν καὶ 30 νόσον λέγουσι μέσην τὴν ἀνακόμισιν, ἀλλ' ὁ Ἀριστοτέλης τῷ ἀκριβεῖ κατὰ φύσιν καὶ παρὰ φύσιν κρίνων τὴν ὑγείαν καὶ τὴν νόσον οὐδὲν λέγει μέσον αὐτῶν εἶναι. ταῦτα ὁ Ἀριστοτέλης.

Ἔξωθεν δὲ ἀποροῦσιν ὅτι ἀνωτέρω ἔλεγεν ὅτι ἡ οὐσία ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, νῦν δὲ λέγει ὅτι οὐκ ἐπιδέχεται. καὶ λύομεν τὴν

---

1 τέλη scripsi: τέλους HKP (cf. Arist. Metaph. I 4 p. 1055a 12 sq.) τὸ δὲ μ. καὶ ἧττον ex Urb. 35 inserui 28 τέλους HP 4 γινομένη et κεχρημένη H 7 τὸ (ante ἧττον) om. K 8 καὶ ὅπου οὐδὲ] ὅπου δὲ P 10 κατὰ γὰρ Πλάτωνα inserui (cf. Tim. p. 67 E sq.) πάντα om. KP; an πάντα τἀναντία? (cf. v. 14) 11 οὐδὲν scripsi: οὐδὲ libri ἀπὸ τοῦ—μεταπηδᾷ (12) in mrg. suppl. H 15 εἰ καὶ om. K εἰ Urb. 35: ἢ HP ἄρτιον κτλ.] cf. Cat. c. 10 p. 12a4. 6 16 ὅτι om. KP 17. 18 τριακοστὸς δεύτερος libri 18 ὠκτὼ P 19 περισάρτιος H ὃς K: ὅτις P 20 ὁ om. HP τεσσαρακοστὸς ὄγδοος libri 21 τὸν om. K 24 ἀνακόμισις K 29 τῶι Urb. 35: τὸ HP: τὰ K ὑγείας καὶ νόσου K 30 ὁ om. H 31 παρὰ scripsi: πρὸς τὴν HKP 33 ἀνωτέρω] p. 2b7 34 τὸ (ante ἧττον) om. H

ἀπορίαν οὕτως· ὅτι καὶ ἐπιδέχεται καὶ οὔ· αὐτὴ γὰρ πρὸς ἑαυτὴν παραβαλλομένη οὐ λέγεται μᾶλλον καὶ ἧττον (ἄνθρωπος γὰρ ἀνθρώπου οὐ λέγεται μᾶλλον ἄνθρωπος, οὐδὲ αὐτὸς ἑαυτοῦ), ἡ μέντοι ἄτομος οὐσία πρὸς τὰς γενικὰς καὶ εἰδικὰς παραβαλλομένη μᾶλλον οὐσία ἐστί. δευτέρα ἀπορία·
5 ὅτι πῶς ὁ Ἀριστοτέλης ἀεὶ ἔθος ἔχων ἐν τῇ ἀποδόσει τῶν ἰδίων τῆς οὐσίας λέγειν εἴ τε μόνῃ ὑπάρχει ἢ οὐ μόνῃ καὶ εἰ πάσῃ ἢ οὐ πάσῃ, νῦν οὐδενὸς τούτων ἐμνήσθη; καὶ λέγομεν λύσιν τοιαύτην· ὅτι ὡς συνεπικριθὲν αὐτὸ ἔχομεν τῷ πρὸ τούτου ἰδίῳ, νῦν παρῆκεν αὐτό· εἰ γὰρ τῷ μηδὲν ἔχειν ἐναντίον, ὅπερ ἦν πρὸ τούτου ἴδιον, ἕπεται τὸ μὴ δέχεσθαι
10 τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐκεῖνο δὲ οὐ μόνῃ τῇ οὐσίᾳ ὑπῆρχεν, οὐδὲ τοῦτο μόνῃ τῇ οὐσίᾳ ὑπάρχει, ἀλλὰ καὶ τῷ ποσῷ· τὸ γὰρ τρίπηχυ ἢ τετράπηχυ οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐδὲ τὸ πέντε ἢ τὸ δέκα. τρίτη ἀπορία· εἰ τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται ἡ οὐσία, πῶς ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς λέγει τὸν ἀέρα ἧττον θερμὸν
15 ὡς πρὸς πῦρ, οὐσίαι δὲ ταῦτα; καὶ λύει ὁ Ἀλέξανδρος λέγων ὅτι οὐ καθὸ οὐσίαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπι|δέχονται, ἀλλὰ κατὰ τὰς ποιότητας. 255v ὁ δὲ Συριανὸς ὅτι οὐδὲ κατὰ τὰς ποιότητας τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχονται, ἐὰν οὐσιώδεις ληφθῶσιν· ἑκάστη γὰρ πλείστη ἐστὶν ἐν τῷ οἰκείῳ ὑποκειμένῳ, καὶ οὐ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσιν· εἰδοπεποίηνται γὰρ
20 ταῦτα καὶ ὑφέσεις εἰδῶν εἰσιν. ἢ καὶ ἄλλως· ὅτι τὸ ἧττον ὅπερ τὸ μᾶλλον γινόμενον οὐκ ἐξέστη τοῦ οἰκείου εἴδους, ὁ δὲ ἀὴρ ἀμετρίαν πυρίας θερμότητος ἐπιδεξάμενος ἀπώλεσε τὸ ἀὴρ εἶναι.

p. 4a10 Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ
25 ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν.

Ἕκτον ἴδιον τῆς οὐσίας τὸ μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ ἀριθμῷ δεκτικὴν εἶναι τῶν ἐναντίων παρὰ μέρος. καὶ καλῶς πρόσκειται τὸ παρὰ μέρος, ἐπειδὴ οὐχ ἅμα λευκαίνεται καὶ μελαίνεται ὁ Σωκράτης, οὐδὲ ἅμα νοσεῖ καὶ ὑγιαίνει. τὸ δὲ μίαν καὶ τὴν αὐτὴν τῷ ἀριθμῷ καλῶς πρόσκει-
30 ται, ἐπειδὴ καὶ ὁ ἀριθμὸς δέχεται τἀναντία, ἄρτιον καὶ περιττόν, ἀλλ' οὐχ εἷς τῷ ἀριθμῷ, ἀλλ' εἷς τῷ εἴδει. ἄλλως τε δὲ οὐδὲ ὡς ἐν ἀριθμῷ συνίσταται τὸ ἄρτιον καὶ περιττόν, ἀλλ' ὡς ἐν ὕλῃ τῇ δυναμένῃ καὶ εἰς ἄρτιον καὶ εἰς περιττὸν διαιρεῖσθαι· ὕλης γὰρ ἴδιον τὸ ἄλλοτε ἄλλο εἶδος

---

1 αὐτὴ scripsi: αὕτη HKP 2 γὰρ—ἄνθρωπος (3) iter. P 3 μέντι P 4 καὶ εἰδικὰς om. P ἰδικὰς H 5 τῶν ἰδίων om. KP 6 καὶ om. KP alt. εἰ scripsi: ἢ libri 8 alt. τῷ] τὸ HP 10. 12 τὸ (ante ἧττον) om. H 13 τὸ ἧττον P 14 ἐν τῷ Περὶ γεν. καὶ φθ.] cf. B 3 p. 330b25 15 πρὸς] πυρὸς K ὅτι om. KP 16 τὴν ποιότητα KP 19 ante εἰδοπ. add. ὡς P 21 ἀμετρίαν om. KP πυρίαν K 22 ἀὴρ] ἀεὶ K 26 οὖσαν iter. P 27 δεκτικὸν P καὶ om. K 29 δὲ om. HP τῷ ἀρ.] τῷ ὁρισμῷ P: om. K 30 ἄρτιον om. P 31 εἴδει] ὑποκειμένῳ K ἄλλως τε δὲ Urb. 35: τῷ ποτε HP: om. K 32 καὶ περιττόν—ἄρτιον (33) in mrg. suppl. H ante περιττόν add. τὸ K

δέχεσθαι καὶ εἰδοποιεῖσθαι. τὸ ἄρτιον τοίνυν καὶ τὸ περιττὸν εἴδη νοείσθωσαν. οὐκοῦν ὁ ἀριθμὸς ὕλῃ ἀναλογεῖ δεχόμενος τὰ εἴδη ταῦτα καὶ ποτὲ μὲν ἄρτιος ποτὲ δὲ περιττὸς γινόμενος. κἀπὶ τῶν λοιπῶν παραδειγμάτων ἀναλόγως νοητέον τὸ εἰρημένον· τὸ γὰρ πηχυαῖον ξύλον καὶ εἰς
5 ἄρτιον διαιρεῖται καὶ εἰς περιττόν. καὶ οἱ ἄρτιοι δὲ ἵπποι δύνανται καὶ περιττοὶ γενέσθαι ἑτέρου προσθήκῃ. ἀλλὰ καὶ τὸ χρῶμα εἰ καὶ δέχεται τἀναντία, οἷον λευκὸν καὶ μέλαν, ἀλλ' οὐχ ἓν τῷ ἀριθμῷ ὄν, ἀλλὰ τῷ εἴδει ἕν. τοῦτο δὲ τὸ ἴδιον μόνῃ τῇ οὐσίᾳ ὑπάρχει διὰ τοιοῦτον λόγον· τὸ τῶν ἐναντίων δεκτικὸν συμβεβηκότων ἐστὶ δεκτικόν (πάντα γὰρ τἀναντία
10 συμβεβηκότα), τὸ συμβεβηκότων δεκτικὸν συμβεβηκόσιν ὑπόκειται, τὸ συμβεβηκόσιν ὑποκείμενον οὐσία ἐστί, μόνῃ ἄρα ⟨τῇ⟩ οὐσίᾳ ὑπάρχει τοῦτο. οὐ πάσῃ δέ· αἱ γὰρ δεύτεραι οὐσίαι ἄτρεπτοι οὖσαι οὐ δέχονται τἀναντία. ἀλλ' οὐδὲ πάσαις ταῖς ἀτόμοις τοῦτο ὑπάρχει· τὰ γὰρ οὐράνια ἄτρεπτα ὄντα οὐ δέχονται τἀναντία. ἀλλ' οὐδὲ πᾶσαι αἱ ἐνταῦθα ἄτομοι οὐσίαι
15 ἐπιδέχονται τἀναντία, ὥς τινες ὑπέλαβον τὸν κύκνον, εἰ τύχοι, κατὰ τὸ λευκὸν μὴ μεταβάλλοντα. πρὸς οὓς ῥητέον ὅτι εἰ καὶ τὴν ἐναντιότητα ταύτην μὴ ἐπιδέχεται, ἀλλ' οὖν ἑτέραν δέχεται, τὴν κατὰ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ὑγρὸν καὶ ξηρόν. ταῦτα ἐν τούτοις.

Ἀπορεῖ δὲ πρὸς ἑαυτὸν ὁ Ἀριστοτέλης ὅτι οὐ μόνῃ ⟨τῇ⟩ οὐσίᾳ ὑπάρχει
20 τοῦτο· δοκεῖ γὰρ καὶ ὁ λόγος καὶ ἡ δόξα ἐπιδέχεσθαι τἀναντία, ὧν ὁ μὲν λόγος ποσὸν ἡ δὲ δόξα ποιόν, ἄμφω δὲ λόγοι, ἀλλ' ὁ μὲν προφορικὸς 256r ὁ δὲ ἐνδιάθετος· ὁ γὰρ λόγος ὁ εἰπὼν ὅτι 'Σωκράτης κάθηται' ἀληθεύει μὲν καθημένου, ψεύδεται δὲ ἀναστάντος. ὁμοίως καὶ ἐπὶ τῆς δόξης ἔχει. καὶ λύει αὐτὸς καὶ κατὰ ἔνστασιν καὶ κατὰ ἀντιπαράστασιν. καὶ ἄρχεται ἀπὸ
25 τῆς ἀντιπαραστάσεως ὡς συμβαλλομένης πρὸς τὴν ἔνστασιν. ἔχει δὲ οὕτως· εἰ καὶ δῶμεν ὅτι καὶ ἡ δόξα καὶ ὁ λόγος ἐπιδέχεται τἀναντία, ἀλλ' ὁ τρόπος τῆς ὑποδοχῆς διάφορος· ἡ μὲν γὰρ οὐσία κατὰ τὴν ἑαυτῆς μεταβολὴν δέχεται τἀναντία, ὁ δὲ λόγος καὶ ἡ δόξα αὐτὰ μὲν ἀκίνητα πάντῃ τε καὶ πάντως διαμένει, τοῦ δὲ πράγματος μεταβάλλοντος λέγεται αὐτὰ
30 μεταβάλλειν δίκην τοῦ δεξιοῦ γενομένου ἀριστεροῦ τῇ τοῦ ἑτέρου μεταστάσει. δεῖται οὖν προσδιορισμοῦ ὁ λόγος· δεῖ γὰρ προσθεῖναι κατὰ τὴν οἰκείαν ἑαυτῆς μεταβολήν, ὡς εἶναι τὸν λόγον τοιοῦτον· ὅτι μία καὶ ἡ αὐτὴ οὖσα τῷ ἀριθμῷ ἡ οὐσία δεκτική ἐστι τῶν ἐναντίων παρὰ μέρος κατὰ τὴν οἰκείαν ἑαυτῆς μεταβολήν. ἔστι δὲ καὶ ἄλλως λῦσαι τὴν ἀπορίαν ταύτην, ὅτι οὐ
35 διέμεινεν ὁ αὐτὸς λόγος· ἄλλος γάρ ἐστιν ὁ εἰπὼν ὅτι 'Σωκράτης κάθηται' καὶ ἄλλος ὁ εἰπὼν ὅτι 'Σωκράτης οὐ κάθηται' ἀναστάντος αὐτοῦ· ὁ γὰρ λόγος ἅμα ἐρρήθη καὶ οὐκ ἔστιν· οὐδὲ γὰρ ἀναμένει τὴν τοῦ πράγματος

---

1 εἴδει H 3 κἀπὸ P 7 pr. τῷ] τὸ P 8 τῇ om. HP 9 ἐναντίον (pr. l.) K 10 ante δεκτ. additum ἐστι del. H 11 μόνως KP τῆι inserui ex Urb. 35: om. HKP 14 ἀλλ'—τἀναντία (15) in mrg. suppl. H 15 τύχει HP 19 μόνηι τῆι Urb. 35: μόνῃ H: μόνως KP 20 τοῦτο om. K 24 καὶ (post αὐτὸς) om. K 28. 29 πάντοτε καὶ H 30 μεταβάλειν H 32 ἡ om. HP 35 ὁ σωκρ. H 37 ἐρέθη (sic) H

μεταβολήν, ἵνα ἀληθεύσῃ ἢ ψεύσηται. ὁμοίως δὲ καὶ ἡ δόξα ἄλλη ἐστὶν ἡ κατὰ προχείρισιν ἡ λέγουσα 'Σωκράτης κάθηται' καὶ ἄλλη πάλιν προχειρίζεται ἡ λέγουσα ὅτι 'Σωκράτης', ἀναστάντος αὐτοῦ, 'οὐ κάθηται'. εἰ δὲ καὶ δῶμεν ὅτι ἡ δόξα ἐπιδέχεται ἀλήθειαν καὶ ψεῦδος, ἀλλ' οὐχὶ ἡ δόξα
5 καθ' ἑαυτὴν ἀληθεύει ἢ ψεύδεται, ἀλλ' ἡ ψυχὴ κατὰ τὴν δόξαν· οὐ γὰρ ἡ δόξα καθ' ἑαυτὴν δοξάζει, ἀλλ' ἡ ψυχὴ τῇ δόξῃ δοξάζει· ὥσπερ γὰρ οὐ λέγομεν τὴν χεῖρα ὑφαίνειν ἀλλὰ τὸν ἄνθρωπον τῇ χειρί, οὕτως οὐδὲ ἡ δόξα δοξάζει ἀλλ' ἡ ψυχὴ τῇ δόξῃ δοξάζει. αὕτη ἡ ἀντιπαράστασις. ἡ δὲ ἔνστασις τῆς ἀντιπαραστάσεως λαβομένη τῆς λεγούσης ὅτι ὁ λόγος καὶ
10 ἡ δόξα ἀκίνητα μένει, ἀλλὰ τῇ τοῦ πράγματος περὶ οὐσίαν μεταβολῇ δεκτικὰ γίνεται τῶν ἐναντίων, φησὶν ὅτι οὐ δέχονται τἀναντία· οὐδὲν γὰρ αὐτὸ μὴ μεταβάλλον δύναται τἀναντία δέξασθαι, ἐπεὶ τί κωλύει τἀναντία συνυπάρχειν ἀλλήλοις, οἷον λευκότητα καὶ μελανίαν ἐν ἑνὶ ὑποκειμένῳ; καὶ ἔστι τελεωτέρα ἡ ἔνστασις τῆς ἀντιπαραστάσεως, ὅτι προσδιορισμοῦ οὐκ
15 ἐδεήθη. καὶ ταῦτα μὲν ἐν τούτοις.

Εἰκότως δὲ ἀπορήσει τις πρὸς τὸν Ἀριστοτέλην ὅτι 'τί φῄς, Ἀριστότελες; ὁ λόγος οὐκ ἐπιδέχεται ἀλήθειαν καὶ ψεῦδος;' καὶ φαίη ἂν ὁ Ἀριστοτέλης ὅτι οὐδὲ ὁ λόγος ἀληθεύει καὶ ψεύδεται ἅμα οὐδὲ τὸ πρᾶγμα μόνον, ἀλλ' ἡ συμπλοκὴ τοῦ λόγου καὶ τοῦ πράγματος· ἡ γὰρ συμφωνία τῶν
20 δύο ποιεῖ τἀληθές, ἡ δὲ | ἀσυμφωνία τὸ ψεῦδος· ὡς γὰρ τὸ ὑποδεδέσθαι 256v οὐκ ἐν τῷ ποδὶ μόνον οὐδὲ ἐν τῷ ὑποδήματι μόνον, ἀλλ' ἐν τῇ ἐφαρμογῇ τοῦ ποδὸς πρὸς τὸ ὑπόδημα, οὕτω καὶ ἐπὶ λόγου καὶ πράγματος ἔχει.

Ἀποροῦσι δέ τινες τέσσαρας ἀπορίας, πρώτην μὲν ὅτι 'πῶς λέγεις, ὦ Ἀριστότελες, ὅτι ἡ οὐσία μόνη ἐπιδέχεται τἀναντία; ἰδοὺ γὰρ καὶ
25 ἡ γραμμὴ ἐπιδέχεται εὐθύτητα καὶ καμπυλότητα'. πρὸς ὅ φαμεν ὅτι ποία γραμμή; εἰ μὲν ἡ μαθηματική, τοῦτ' ἔστιν ἡ ἐπινοίᾳ λαμβανομένη, αὕτη ἄλλοτε ἄλλη ἐπινοεῖται. εἰ δὲ ἡ φυσική, ἡ ὕλη κατὰ τὴν γραμμὴν ἐδέξατο. ἔτι ἡ δευτέρα ἀπορία· ὅτι 'ἰδοὺ ἡ αὐτὴ πρᾶξις, οἷον ἡ ἀκρατής, καὶ φαύλη ὡς πρὸς τὸν σπουδαῖον καὶ ἐπαινετὴ ὡς πρὸς
30 τὸν ἀκόλαστον'. καὶ ἔστιν ἡ λύσις ὅτι αὕτη ὡς ἐν τῷ αὐτῷ νῦν ἀμφότερα ἔχουσα δεδεγμένη ἐστὶ τἀναντία, ἐκεῖ δὲ πρόσκειται τὸ δεκτική, καὶ ὅτι πρὸς ἄλλο καὶ ἄλλο παραβαλλομένη τἀναντία δοκεῖ ἔχειν, οὐ καθ' αὑτήν, διὸ καὶ δυνάμει, οὐκ ἐνεργείᾳ. τρίτη ἀπορία· ὅτι 'πῶς ἡ αὐτὴ κίνησις ἐπιδέχεται καὶ ταχυτῆτα καὶ βραδυτῆτα;' καὶ λέγομεν ὅτι οὐχ ἡ μία τῷ
35 ἀριθμῷ· ἄλλη γὰρ ἡ ταχεῖα καὶ ἄλλη ἡ βραδεῖα. τετάρτη ἀπορία 'πῶς ὁ χρόνος', φησίν, 'ἐπιδέχεται φῶς καὶ σκότος καὶ ἡμέραν καὶ νύκτα;'

---

1 ἀληθεύσει H 2 πρόχείρησιν HK¹P 3 ἀναστ. αὐτοῦ post καθ. ponas 4 οὐχ H alt. ἡ om. P 5 ἀλλ' — δοξάζει (6) om. P 11 δέχ.] δέδεκται K αὐτὸ Urb. 35: αὐτῶν HKP 12 μεταβάλλων P¹ κολύει P 14 τελειωτέρα H 17 alt. ὁ om. P 22 τοῦ λόγου (sed τοῦ del.) H 23 λέγει 24 ὁ ἀριστοτέλης K 26 pr. ἡ om. H: superscr. P 27 ἐποινοία H εἰ δὲ ἡ] εἰ δὲ H: ἡ δὲ P 29 pr. καὶ om. K 30 ἀμφώτερα P 32 παραβαλλ. Urb. 35: παραλαμβανομένη HKP 33 πῶς — ἀπορία (34) om. K 34 οὐχ ἡ Paris. 1917: οὐχὶ HP 36 νύκτα καὶ ἡμέραν (καὶ post σκότος om.) KP

καὶ λέγομεν ὅτι οὐχ ὁ χρόνος ἀλλ' ὁ ἀὴρ ἐστιν ὁ ταῦτα ἐπιδεχόμενος. ὁ δὲ ἀὴρ οὐσία ἐστί. ταῦτα καὶ περὶ οὐσίας. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Περὶ ποσοῦ.

5 p. 4b20 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον τὸ δὲ συνεχές.

Μετὰ τὴν οὐσίαν περὶ ποσοῦ διαλαμβάνει ὁ Ἀσιστοτέλης. ἓξ δέ τινα δεῖ ζητῆσαι ἐπὶ τῆς παρούσης κατηγορίας, πρῶτον μὲν τὴν τάξιν αὐτοῦ τὴν πρὸς τὴν οὐσίαν, δεύτερον εἰ γένος τὸ ποσὸν συνεχοῦς καὶ διωρισμένου, τρίτον εἰ τούτων ἐστὶ μόνων γένος ἢ καὶ τῆς ῥοπῆς, ὥς φησι Πλάτων καὶ 10 Ἀρχύτας καὶ Πτολεμαῖος ὁ ἀστρονόμος, τέταρτον τί ἐστι συνεχὲς καὶ τί διωρισμένον, πέμπτον εἰ ὑγιῶς ἔχει ἡ διαίρεσις τοῦ διωρισμένου, ἕκτον εἰ ὑγιῶς ἔχει ἡ διαίρεσις τοῦ συνεχοῦς. ὧν ἓξ ἡ παροῦσα θεωρία τὰ ⟨πρῶτα⟩ δύο ζητήσει, ⟨πρῶτον⟩ τίς ἡ τάξις, τοῦτ' ἔστιν ὅτι διὰ τί μετὰ τὴν οὐσίαν περὶ ποσοῦ διαλαμβάνει. καὶ λέγομεν τούτου ἓξ αἰτίας, πρώτην ὅτι ἡ οὐσία δύο 15 ἑαυτῆς ἰδίοις τῷ ποσῷ κοινωνοῦσα, τῷ μηδὲν ἔχειν ἐναντίον καὶ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, κατ' ἄμφω ταῦτα τοῦ ποιοῦ διαφέρει· τῷ γὰρ ποιῷ οὐδὲν τούτων ὑπάρχει· εἰ οὖν κοινωνεῖ τὸ ποσὸν τῇ οὐσίᾳ, τὰ δὲ κοινωνοῦντα δεῖ πλησίον ἀλλήλων εἶναι, εἰκότως μετὰ τὴν οὐσίαν περὶ ποσοῦ διαλέγεται. δευτέρα αἰτία, ὅτι ἡ ὕλη ἀνείδεος οὖσα καὶ ἄποιος 20 πρότερον ποσοῦται καὶ εἶθ' οὕτως ποιοῦται. τρίτη, ὅτι ἡ ὕλη τὸ μὲν ποιὸν ἴσχυσε διαφυγεῖν (ἄποιος γάρ), τὸ δὲ ποσὸν οὐ διέφυγε· μία γὰρ τῷ ἀριθμῷ, τὸ δὲ μία καὶ τὸ ἓν κατὰ Ἀριστοτέλην ποσά. τετάρτη, ὅπερ δεύτερον δεῖ λεχθῆναι ἐν ταῖς αἰτίαις, ὅτι ἔδει πληρωθῆναι τὸν περὶ πολλοῦ καὶ ὀλίγου λόγον καὶ μικροῦ καὶ μεγάλου, παρέλκοντα μὲν ἐν τῷ περὶ | 25 τῆς οὐσίας λόγῳ (ἐκεῖ γὰρ μέμνηται αὐτῶν), νῦν δὲ κατεπείγοντα. εἰ δὲ 257r ἀπορήσεις λέγων ὅτι 'καὶ ποιότητος ἐμνήσθη ἐν τῇ οὐσίᾳ καὶ πρὸ τοῦ ποσοῦ, ὅτε ἔλεγεν ὅτι αἱ δεύτεραι οὐσίαι τοιόνδε τι καὶ ποιότητα σημαίνουσι, καὶ διὰ τί μὴ τὸ ποιὸν τοῦ ποσοῦ προέταξεν;', ἐρῶ σοι κἀγὼ ὅτι ποιότητος ἐμνήσθη, οὐ τῆς νῦν προκειμένης τῆς ποιούσης μίαν κατηγορίαν τοῦ συμ-30 βεβηκότος, ἀλλὰ ποιότητος οὐσιώδους· περὶ γὰρ οὐσίαν τὸ ποιὸν ἀφορίζουσιν αἱ δεύτεραι οὐσίαι. πέμπτη αἰτία, ὅτι ἔδει περὶ ποσοῦ διαλαβεῖν μετὰ τὴν οὐσίαν, ἐπειδὴ καὶ ἡ οὐσία τὸ πρῶτον καὶ δεύτερον ἐπιδέχεται, τὸ δὲ πρῶτον καὶ δεύτερον τοῦ ποσοῦ. ἕκτη αἰτία, ὅτι καὶ αὐτὴ ἡ τάξις τοῦ ποσοῦ, ἐπειδὴ καὶ ὁ ἀριθμὸς ὁ ποιῶν τὴν τάξιν. ἐν οἷς τὸ πρῶτον κεφάλαιον.

---

1 καὶ λέγ. ὅτι om. P 4 tit. om. K 7 an αὐτῆς? 8 γένους HP τὸ superscr. K: om. HP 9 τούτον H[1] μόνον H Πλάτων] cf. Tim. p. 52 E sq. 10 Ἀρχύτας] cf. Zelleri Ph. Gr. V p. 103 Πτολεμαῖος] fortasse spectat librum Περὶ ῥοπῶν, cf. Simpl De coelo p. 710,14 (Heiberg) 12. 13 πρῶτα et πρῶτον addidi 15 αὐτῆς KP alt. τῷ om. HP 16 ante ἧττον add. τὸ P 23 δευτέραν K αἰτ.] ἐναντίαις K 27 ἔλεγεν] p. 3b15 31 τοῦ ποσοῦ P 32 pr. καὶ om. P 32. 33 ante δεύτ. add. utrobique τὸ H 33 τοῦ ποσοῦ Paris. 1917: ποσοῦ HKP

Δεύτερον κεφάλαιον, εἰ γένος τὸ ποσὸν συνεχοῦς καὶ διωρισμένου· δόξει γὰρ αὐτῶν μὴ εἶναι γένος, ἐπειδὴ ἐν τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις τὰ εἴδη οὐ δέονται ἀλλήλων, οἷον τὸ λογικὸν οὐ δέεται τοῦ ἀλόγου οὐδὲ τὸ ἄλογον τοῦ λογικοῦ πρὸς ὕπαρξιν· ἀνθρώπου γὰρ ἀναιρεθέντος μένει ἵππος καὶ βοῦς καὶ 5 τὰ τοιαῦτα, καὶ πάλιν τούτων ἀναιρεθέντων μένει ἄνθρωπος. τὸ δὲ συνεχὲς ποσὸν δεῖται τοῦ διωρισμένου, ἐπειδὴ παντὸς σώματος τρία εἰσὶ διαστάσεις, καὶ τὸ μὲν σῶμα τοῦ συνεχοῦς ποσοῦ τὸ δὲ τρία τοῦ διωρισμένου ποσοῦ. καὶ λέγομεν ὅτι τὸ σῶμα τριῶν ἐδεήθη διαστάσεων, οὐ τοῦ τρία ἀριθμοῦ· συνέβη γάρ τηνάλλως τρεῖς αὐτὰς εἶναι, ἐπεὶ εἰ τὰ τρία ὡς τρία συνίστων 10 τὸ σῶμα, ἔδει τὰ τυχόντα τρία συνιστᾶν τὸ σῶμα, οἷον λευκόν, μέλαν καὶ ξανθόν. δευτέρα ἔνστασις, ὅτι οὐ γένος τὸ ποσὸν συνεχοῦς καὶ διωρισμένου· ἐν γὰρ τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις τὰ εἴδη τάξιν οὐκ ἐπιδέχονται, ὁ δὲ Ἀριστοτέλης τὸ διωρισμένον τοῦ συνεχοῦς προτάσσει. πρὸς ὅ φαμεν ὅτι οὐ κατὰ τὴν τοῦ κοινοῦ φύσιν ἐδέξαντο τάξιν· ὁμοίως γὰρ ποσὸν αὐτῶν 15 ἑκάτερον· ὥσπερ γὰρ τὸ λογικὸν καὶ ἄλογον ὁμοίως ζῷον, προτέτακται δὲ τὸ λογικὸν διὰ τὴν ἀξίαν, οὕτω καὶ τὸ διωρισμένον προτέτακται τοῦ συνεχοῦς, ἐπειδὴ τὸ διωρισμένον ἑνὶ ἑαυτοῦ εἴδει, τῷ ἀριθμῷ, διὰ πάντων διήκει τῶν ὄντων· ἕκαστον γὰρ τῶν ὄντων ἢ ἕν ἐστιν ἢ πολλά.

p. 4b20 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι συνεχὲς τὸ δὲ διωρισμένον.

20 Τρίτον ἦν τῶν προτεθέντων τὸ ζητῆσαι εἰ τούτων μόνων γένος ἐστὶν ἢ καὶ ῥοπῆς, ὡς Πλάτων εἶπε. καὶ λέγομεν ὅτι οὐ δύναται ἡ ῥοπὴ τρίτον εἶδος εἶναι τοῦ ποσοῦ, ἐπειδὴ ἡ ῥοπὴ πάθος ἐστὶ τοῦ συνεχοῦς ποσοῦ· πᾶν γὰρ σῶμα ἢ κοῦφον ἢ βαρύ· ὥσπερ γὰρ ἡ θερμότης οὐσιώδης ποιότης ἐστὶν ἐν πυρὶ καὶ ἀρτιότης καὶ περιττότης * * ποιότητές εἰσιν οὐσιώδεις ἐν 25 σώματι διὰ τὸ πᾶν σῶμα ἢ κοῦφον εἶναι ἢ βαρύ. καὶ ἄλλως δὲ τοῦτο δεικτέον ὅτι οὐκ εἰσιν εἴδη τοῦ ποσοῦ ἡ κουφότης καὶ ἡ βαρύτης, ἀλλὰ πάθος, ἐπειδὴ τὸ διωρισμένον εὐθὺς ἐν τοῖς θείοις καὶ ἀύλοις καὶ νοητοῖς | θεωρεῖται, ἐν οἷς οὐκ ἔστι ῥοπή. πρῶτον οὖν τὸ διωρισμένον εἶδος τοῦ 257v ποσοῦ, δεύτερον δὲ τὸ ἀντικείμενον τῷ διωρισμένῳ, ὅ ἐστι συνεχές, τοῦτ' 30 ἔστι γραμμή, ἐπιφάνεια, σῶμα. οὐδὲν δὲ τοιοῦτον κοῦφόν ἐστιν ἢ βαρύ, οὐ γραμμή, οὐκ ἐπιφάνεια, οὐ τὸ μαθηματικὸν σῶμα, οὐ τὸ ἄποιον σῶμα, ἀλλὰ τὸ πεποιωμένον μόνον. πάθη οὖν καὶ οὐ ποσὰ ἁπλῶς αἱ ῥοπαί.

Τέταρτον ἦν τὸ ζητῆσαι τί συνεχὲς καὶ τί διωρισμένον, καὶ εἰ ὑγιῶς

---

2 ἐν om. K διαιρ.] διωρισμένοις HP 5 ὁ ἄνθρ. K 7 τὸ δὲ — ποσοῦ om. P 8 ὅτι τὸ σῶμα om. KP 9 τηνάλλως scripsi: τινι ἄλλως libri τρεῖς K²: τρισὶν HK¹P εἰ] ἐὰν libri 10 pr. τὸ] τὼ P¹ 12 διαιρ.] διαιρούμενα καὶ P ἐπιδέχ.] δέχ. H¹ 15 ζῶα H 17 ἑνὶ — εἴδει in spatio om. K 19 διωρ. τὸ δὲ συν. coll. Arist. (cf. v. 13) 21 Πλάτων] cf. p. 185,8 24 post περιττότης defectum signavi, suppleveris ποιότητες οὐσιώδεις εἰσὶν ἐν ἀριθμῷ, οὕτως καὶ ἡ κουφότης καὶ ἡ βαρύτης οὐσιώδεις scripsi: ποσώδεις libri 26 ἡ βαρ. καὶ ἡ κουφ. coll. K 27 νοητ.] νοεροῖς KP 29 ὅ] ὅτι KP 30 ἐπιφάνεια — γραμμή (31) in mrg. suppl. P 32 μόνον] σῶμα KP

ἔχουσιν αἱ τούτων ὑπογραφαί, ἑξῆς εἰπεῖν δέον. συνεχὲς τοίνυν ἔστιν εἰπεῖν οὗ τὰ μόρια πρὸς ἕνα κοινὸν ὅρον συνάπτει, τοῦτ' ἔστι τὸ σημεῖον· ἐὰν γὰρ διέλῃς τὴν γραμμὴν εἰς ὁσαοῦν τμήματα, τὰ μόρια αὐτῆς κατὰ τὸ σημεῖον συνάπτει ἀλλήλοις. δεῖ δὲ τὰ μόρια τοῦ συνεχοῦς δυνάμει λαβεῖν
5 καὶ οὐκ ἐνεργείᾳ, ἐπεὶ ἐὰν ἐνεργείᾳ λάβωμεν αὐτά, ποιοῦμεν τὸ συνεχὲς διωρισμένον, καὶ φθαρτικὸς ἔσται ὁ ὁρισμὸς τοῦ μεριστοῦ, ποιήσομεν δὲ καὶ τὰ οὐράνια, συνεχῆ ὄντα καὶ ἀπαθῆ, φθαρτικὰ καὶ μεριστά. οὐ μόνον δὲ τὰ μόρια τοῦ συνεχοῦς δυνάμει δεῖ λαβεῖν, ἀλλὰ καὶ τὰς στιγμάς, ἤτοι τὰ σημεῖα, δυνάμει δεῖ λαβεῖν, οὐκ ἐνεργείᾳ· εἰ γὰρ
10 ἐνεργείᾳ λάβωμεν αὐτά, ποιήσομεν πάλιν τὸ συνεχὲς διωρισμένον· πέρατα γὰρ τῶν γραμμῶν τὰ σημεῖα, οὐκοῦν καὶ τῶν μερῶν τῶν γραμμῶν· γραμμαὶ γὰρ καὶ ταῦτα. καὶ ταῦτα μὲν περὶ τοῦ συνεχοῦς. διωρισμένον δέ ἐστιν οὗ τὰ μόρια οὐ συνάπτει πρὸς ἕνα κοινὸν ὅρον· τὰ γὰρ μόρια τοῦ πέντε καὶ τοῦ τρία οὐ συνάπτει πρὸς ἕνα κοινὸν ὅρον. δεῖ δὲ κἀν-
15 ταῦθα μόρια ἐνεργείᾳ λαβεῖν καὶ οὐ δυνάμει· ἐὰν γὰρ λάβῃ τις μόρια δυνάμει, ποιήσει τὸ διωρισμένον συνεχές, καὶ ἔσται ὁ ὁρισμὸς αὐτοῦ φθαρτικός.

Πέμπτον δεῖ ζητῆσαι εἰ ὑγιῶς ἔχει ἡ διαίρεσις τοῦ διωρισμένου· διαιρεῖται γὰρ τὸ διωρισμένον εἰς ἀριθμὸν καὶ λόγον· ἑκάτερον δὲ τούτων δι-
20 ωρισμένον, ὁ μὲν ἀριθμὸς ἐξ ἀνάγκης· εἰ γὰρ ἦν συνεχές, ἔδει εἶναι κοινὴν μονάδα τὴν ποτὲ μὲν μετὰ τοῦδε ποτὲ δὲ μετὰ τοῦδε λαμβανομένην, ὡς ἐπὶ τῶν μερῶν τοῦ ἐννέα, τοῦ τρία καὶ τοῦ ἕξ, ἔδει εἶναι μονάδα μέσην τὴν συνάπτουσαν, ἥτις μετὰ μὲν τοῦ ἓξ λαμβανομένη ἑπτὰ αὐτὸν ποιεῖ μετὰ δὲ τοῦ τρία τέσσαρα αὐτὸν ποιεῖ, καὶ εὑρίσκεται ὁ ἐννέα δέκα
25 καὶ οὗτος ἕνδεκα, ὅπερ ἄτοπον· οὐδὲ γὰρ ὡς ἐπὶ τοῦ σημείου κἀνταῦθα ἡ αὐτὴ ἀναλογία σώζεται· τὸ γὰρ σημεῖον οὔτε προστεθὲν αὔξει οὔτε ἀφαιρούμενον μειοῖ τὸ ποσόν, ἤγουν τὸν ἀριθμόν. καὶ ὁ λόγος δὲ διωρισμένος ἐστίν, εἴ γε πάντως μεταξὺ δύο συλλαβῶν ἐστι σιωπή· ἐν γὰρ τῷ φίλος τῆς φι συλλαβῆς ἡ ἐκφώνησις ἄλλη ἐστὶ παρὰ τὴν λος ἐκφώνησιν
30 τῆς συλλαβῆς. ἡ οὖν παῦλα τῆς ἐκφωνήσεως τῆς πρώτης συλλαβῆς σιωπὴ αὐτῆς ἐστι, καὶ τότε ἄρχεται ἐκφωνεῖσθαι ἡ δευτέρα συλλαβή. καὶ ταύτην νοητέον σιωπὴν μέσην δύο συλλαβῶν ἀνομοίως ἐκφερομένων διὰ τὴν τῶν συμφώνων ἀνομοιότητα· καὶ μεταξὺ γὰρ δύο ἐναντίων κινήσεών ἐστιν ἠρεμία, ὡς ἐν τῷ σφυγμῷ δείκνυται. εἰ δὲ καὶ μή ἐστι μέσον | σύμφωνον 258r
35 μεταξύ, ὡς ἐν τῷ 'ἀπὸ ὅρους', ἀλλ' ἵνα γένωνται δύο συλλαβαὶ καὶ δύο ἐκφωνήσεις, σιωπὴν ἀνάγκη γενέσθαι μέσον αὐτῶν τὴν διαιροῦσαν αὐτάς·

---

6 ὁρισμὸς] ἀριθμὸς KP (cf. v. 16) 6. 10 ποιήσωμεν H 7 καὶ (post δὲ) om. P 8 ἀλλὰ—λαβεῖν (9) om. KP 9. 10 εἰ γὰρ ἐνεργεία om. P 15 λάβει (alt. l.) H 16 ἔσται om. P 22. 24 τρία et τέσσαρα scripsi: τρεῖς et τέσσαρας libri (cf. p. 188,30) 23 μετὰ] μεταξὺ K 24 αὐτὸν ποιεῖ om. K 24. 25 ἔννατος δέκατος . . ἑνδέκατος libri 28 σιωπή in spatio om. K 29. 30 an παρὰ τὴν ἐκφ. τῆς λος συλλ.? 32 ἀνομοίων KP 34 ἡ ἠρεμ. H σφιγμῷ K (cf. Arist. De spir. 4 p. 482b14sq.) 35 ἀπὸ ὅρους] ἀπόρους HP γένονται P

οὐκ ἂν γὰρ ἐζήτουν οἱ γραμματικοὶ ἐπὶ τῶν μέσων φωνῶν, ποῖά εἰσιν ἀρκτικὰ καὶ ποῖα ληκτικά.

Ἕκτον ἦν κεφάλαιον, εἰ ὑγιῶς ἔχει ἡ διαίρεσις τοῦ συνεχοῦς· διαιρεῖται γὰρ εἰς πέντε, εἰς γραμμὴν ἐπιφάνειαν σῶμα τόπον χρόνον. φασὶ δέ τινες 5 ὅτι ἀτελής ἐστιν ἡ διαίρεσις αὐτοῦ καὶ πλεονάζουσα κατὰ ἄλλο καὶ ἄλλο· τῆς γὰρ κινήσεως οὐκ ἐμνήσθη ποσοῦ οὔσης καὶ τῆς ἐπιφανείας δὶς ἐμνήσθη, καὶ ὀνόματι καὶ διὰ τοῦ τόπου. πρὸς ὅ φαμεν ὅτι τὴν κίνησιν ὡς ἀτελῆ παρῆκεν (ἀεὶ γὰρ εἴς τι ὁρμᾷ ἡ κίνησις, αἱ δὲ κατηγορίαι ἐν τῷ γεγονέναι ἔχουσι τὸ εἶναι καὶ τέλειαί εἰσι), καὶ ὅτι τῶν ὁμωνύμων ἡ 10 κίνησις· ἔστι γὰρ ἐν οὐσίᾳ καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ (ἐν οὐσίᾳ μὲν ὡς γένεσις καὶ φθορά, ἐν ποσῷ δὲ ὡς αὔξησις καὶ φθίσις, ἐν ποιῷ ὡς ἀλλοίωσις ἡ κατὰ τὸ θερμὸν καὶ ψυχρὸν καὶ τὰς λοιπὰς ποιότητας), ἔστι δὲ καὶ κατὰ τόπον κίνησις. ἐπειδὴ οὖν ὁμώνυμος ἡ κίνησις καὶ ἐπὶ διαφόρους ἀνάγεται κατηγορίας, εἰκότως ταύτης οὐκ ἐμνήσθη νῦν οὐδὲ εἶπεν αὐτὴν τοῦ ποσοῦ 15 εἶναι. ὕστερον δὲ μετὰ τὴν παράδοσιν τῶν κατηγοριῶν περὶ αὐτῆς διαλαμβάνει. ἀντιδιέστειλε δὲ καὶ τὸν τόπον τῇ ἐπιφανείᾳ, ὡς μήπω δείξας ὅτι ὁ τόπος ἐπιφάνειά ἐστιν, ὅπερ δείκνυσιν ἐν τῇ Φυσικῇ· ὁ γὰρ Πλάτων καὶ οἱ ἀπ' αὐτοῦ τὸν τόπον σῶμα ἔλεγον εἶναι τριχῇ διαστατόν.

p. 4b20 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον τὸ δὲ συνεχές.

20 Διελὼν ὁ Ἀριστοτέλης τὸ ποσὸν εἰς συνεχὲς καὶ διωρισμένον καὶ τὸ διωρισμένον εἰς ἀριθμὸν καὶ λόγον καὶ τὸ συνεχὲς εἰς πέντε, εἰς γραμμὴν ἐπιφάνειαν σῶμα τόπον καὶ χρόνον, ὥστε εἶναι ἑπτὰ πάντα τὰ εἴδη τοῦ ποσοῦ, δύο μὲν τοῦ διωρισμένου καὶ πέντε τοῦ συνεχοῦς, ὅτι τὰ δύο τοῦ διωρισμένου καὶ τὰ πέντε τοῦ συνεχοῦς, πιστοῦται ἐκ τοῦ ὁρισμοῦ ἑκατέρου. 25 καὶ ὀφείλων ἐπὶ τοῦ ἀριθμοῦ καὶ τοῦ λόγου δεῖξαι ὅτι καὶ ποσὰ καὶ διωρισμένα, ἐπὶ μὲν τοῦ ἀριθμοῦ ὁμολογουμένως λαβὼν ὅτι ποσὸν ἐκ τοῦ πάντας ἐν τῇ συνηθείᾳ θέλοντας γνῶναι τὸν ἀριθμὸν τῶν ἀνθρώπων ἢ ἵππων ἐρωτᾶν πόσοι εἰσὶν ὡς τοῦ ἀριθμοῦ ποσοῦ ὄντος, τὸ ἕτερον κατασκευάζει ὅτι διωρισμένον· εἰ γὰρ ἦν, φησίν, ὁ ἀριθμὸς συνεχής, ἔδει εἶναι κοινὴν 30 μονάδα, οἷον ἐπὶ τῶν μερῶν τοῦ ἐννέα, λέγω δὲ τοῦ ἓξ καὶ τοῦ τρία, ἥτις μετὰ μὲν τοῦ ἓξ λαμβανομένη ἑπτὰ αὐτὸν ποιεῖ μετὰ δὲ τοῦ τρία τέσσαρα, καὶ εὑρίσκεται ὁ ἐννέα δέκα καὶ οὗτος ἕνδεκα, καὶ τοῦτο ἐπ' ἄπειρον· οὐδὲ γὰρ ὡς ἐπὶ τοῦ σημείου κἀνταῦθα ἔχει τις εἰπεῖν· τὸ γὰρ σημεῖον ἀμερὲς ὂν μεριστῇ προστιθέμενον τῇ γραμμῇ οὐκ αὔξει αὐτὴν οὐδὲ 35 ἀφαιρούμενον μειοῖ, καὶ ἡ γραμμὴ ἀπλατὴς οὖσα πλάτει προστιθεμένη πλάτος οὐ ποιεῖ, καὶ ἡ ἐπι|φάνεια τῷ βάθος ἔχοντι προστιθεμένη ἀβαθὴς 258v

---

2 καταληκτ. P 6 ποσοῦ—ἐμνήσθη (7) in mrg. suppl. P 8 ὁρμᾷ scripsi: ὁρᾷ libri 11 δὲ om. K 12 τὸ om. K 17 ἐν τῇ Φυσικῇ] Δ 2 p. 209a31 sq. Πλάτων] v. Zelleri Phil. Gr. II p. 615 20 διελὸν H 23 post ὅτι add. δὲ HP: eras. K 24 τὰ om. K ὁρ.] διορισμοῦ K 29 διορισμ. P 30 tert. τοῦ om. K 31 μὲν om. KP λαμβανομένου H δὲ om. K τέσσαρες libri 32 ἔννατος δέκατος , ἑνδέκατος libri (cf. p. 187,24) 34 μεριστῇ scripsi: μεριστῷ libri

οὖσα βάθος οὐ ποιεῖ. καὶ ταῦτα μὲν ἐν τούτοις. πάλιν ὀφείλων ἐπὶ τοῦ
λόγου δεῖξαι ὅτι καὶ ποσόν ἐστι καὶ διωρισμένον, ὡς ὁμολογούμενον λαμ-
βάνει ὅτι ὁ λόγος διωρισμένος, εἴ γε πάντως μεταξὺ δύο συλλαβῶν ἐστι
σιωπή, ὡς ἤδη εἴρηται, ὅτι δὲ ποσὸν ὁ λόγος δείκνυσι λέγων ὅτι ποσὸν
5 ὁ λόγος, εἴ γε καταμετρεῖται μακρᾷ καὶ βραχείᾳ συλλαβῇ· εἴπερ δὲ τὸ
μετρούμενον ποσόν, ὁ λόγος ἄρα ποσόν. διὸ ἀποροῦσιν ὅτι ἤρκει εἰπεῖν
βραχείᾳ συλλαβῇ λόγος ὁ καταμετρούμενος ⟨καταμετρεῖται⟩· ἡ γὰρ βραχεῖα
καὶ αὐτὴν καταμετρεῖ τὴν μακράν· * * ἔστι γὰρ μακρὰ παρὰ τοῖς μουσικοῖς
τεσσάρων χρόνων, ἣν καὶ δίσημον καλοῦσιν ὡς διπλασίαν τῆς παρὰ τοῖς
10 μετρικοῖς μακρᾶς, καὶ βραχεῖά ἐστι παρ' αὐτοῖς τριῶν χρόνων ὡς τριπλασία
οὖσα τῆς παρὰ τοῖς μετρικοῖς βραχείας· ἡ δὲ τοιαύτη βραχεῖα τὴν τοιαύτην
μακρὰν οὐ καταμετρεῖ· οὐδὲ γὰρ ὁ τρία τὸν τέσσαρά ποτε μετρεῖ, ὡς μὴ
ὢν αὐτοῦ μέρος· τὸ γὰρ μετρητικὸν μέρος τοῦ ἀριθμοῦ μέρος αὐτοῦ θέλει
εἶναι, ἐπεὶ οὐ λέγεται μετρεῖν αὐτὸν κατὰ τοὺς ἀριθμητικούς· μέρος γὰρ
15 αὐτοί φασιν αὐτοῦ οὐ τὸ τυχὸν αὐτοῦ, ἀλλ' ὅπερ ἐστὶν ἥμισυ τρίτου, καὶ
τὰ ὅμοια. διὸ καὶ ἑνικῶς λέγεται μέρος καὶ οὐ μέρη. αὐτὸ δὲ τοῦτο
μέρος λέγεται, ἐπειδὴ ἐν πολλαπλασιασμῷ γεννᾷ ἀριθμὸν ἀπαρτίζοντα, ὡς
μὴ λείπειν ἢ πλεονάζειν, οἷον τρὶς μία τρία, τρὶς δύο ἕξ· ἀπαρτίζειν γάρ
ἐστι τὸ ἀναπληροῦν καὶ τελειοῦν, ὡς μὴ λείπειν ἢ πλεονάζειν· ἄρτιον γὰρ
20 τὸ τέλειον καὶ ἀνελλιπὲς καὶ ἀπλεόναστον παρὰ τοῖς παλαιοῖς. οὔτε δὲ
παρ' αὐτοῖς τοῖς μετρικοῖς ἀεὶ ἡ μακρὰ δύο χρόνων, ἀλλ' οἴδασι μακρὰν
καὶ ἑνὸς ἥμισυ χρόνου, ὡς τὴν $\overline{\alpha\iota}$ δίφθογγον καὶ τὴν $\overline{\omicron\iota}$· μακρᾶς γὰρ
οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε πρὸ δύο συλλαβῶν πίπτει τόνος,
* * ὡς μὴ οὐσῶν τελείων μακρῶν· Ὅμηροι γὰρ καὶ Μήδειαι πρὸ δύο ἔχουσι
25 τὸν τόνον, ἐπειδὴ αὗται αἱ δίφθογγοι κοιναί εἰσιν. προστιθεμένου δὲ τοῦ
$\overline{\sigma}$ ἐπὶ τῆς δοτικῆς τῶν πληθυντικῶν, ἐπειδὴ καὶ τοῦτο ἥμισυ ἔχει χρόνου,
ἀναπληροῦται ἡ δίφθογγος καὶ τελεία μακρὰ γίνεται καὶ καταβιβάζει τὸν
τόνον, Ὁμήροις καὶ Μηδείαις. ἡμῶν τοίνυν λεγόντων τοιαύτην μακράν,
τὴν ἑνὸς ἥμισυ χρόνου ἡ ἑνὸς χρόνου βραχεῖα οὐδέποτε καταμετρεῖ· οὐ γὰρ
30 μέρος τὸ ἓν τοῦ ἑνὸς ἥμισυ· οὐδὲ γὰρ ἥμισυ αὐτοῦ ἐστιν, οὐ τρίτον, οὐ
τέταρτον, οὐκ ἄλλο οὐδὲν τῶν ἐφεξῆς τοιοῦτον· πᾶν γὰρ μέρος ἀριθμοῦ
μετρητικὸν τούτων τῶν εἰρημένων ἓν θέλει εἶναι. διὸ οὐδὲ ὁ τρία ποτὲ μετρεῖ

---

4 εἴρηται] p. 187,28 ante ποσὸν add. τὸ H 7 post συλλαβῇ additum εἴπερ δὲ del. P 7 καταμετρεῖται inserui 8 post μακράν defectum signavi, suppleveris πρὸς ὅ φαμεν ὅτι οὐ πᾶσα βραχεῖα καταμετρεῖ τὴν μακράν. 9 τῆς] τοῖς HP 10 μακρᾶς—μετρικοῖς (11) om. P 11 τῆς scripsi: τοῖς libri 12 οὐδὲ—μετρεῖ in mrg. suppl. K τρεῖς libri 13 ὃν PK μετριτικ. H[1] 18 οἷον —πλεονάζειν (19) om. K τρὶς utrobique scripsi: τρεῖς libri μίαν H τρία] τρεῖς libri 19 ἀποπληρ. H 20 τέλιον P 22 ἥμισυ] ἡμίσει P: an ἡμίσεως? 23 post τόνος defectum signavi: πρὸ δὲ τούτων τίθενται ἐπὶ τέλους κειμένων in mrg. suppl. K[2]: conicias ex Olymp. τῶν δὲ $\overline{\alpha\iota}$ καὶ $\overline{\omicron\iota}$ διφθόγγων ἐν τέλει εὑρισκομένων πρὸ δύο πίπτει τόνος 25 τὸν om. K 26 ἡμίσει P 29. 30 ἥμισυ) an ἡμίσεως? 30 τὸ] τοῦ P οὐ (ante τρίτον)] οὐδὲ K 32 μετριτικ. H τρεῖς libri

τὸν τέσσαρα· οὐ γὰρ μέρος αὐτοῦ, οὐχ ἥμισυ, οὐ τρίτον, οὐδὲ ἓν τῶν τοιούτων· οὐδὲ γὰρ ἀπαρτίζει αὐτὸν ἀνελλιπῶς καὶ ἀπλεονάστως, οἷον τρὶς μία τρία λείπει (πάλιν γὰρ ὁ αὐτός ἐστι), τρὶς δύο ἓξ πλεονάζει. ταῦτα μὲν περὶ τοῦ διωρισμένου.

5 Τὸ δὲ συνεχὲς διαιρεῖ εἰς τὰ πέντε. καὶ ὅτι ἕκαστον τούτων συνεχές, δείκνυσιν ἐκ τῶν ὑπογραφῶν· ἡ γραμμὴ συνεχής, ὅτι τὰ μέρη αὐτῆς πρὸς ἕνα κοινὸν ὅρον συνάπτουσι, * * τὴν γραμμήν. τὸ σῶμα συνεχές, ὅτι τὰ μόρια αὐτοῦ | πρὸς ἕνα κοινὸν ὅρον συνάπτουσι, τὴν ἐπιφάνειαν. ὁ χρόνος 259r συνεχής, ὅτι τὰ μόρια αὐτοῦ πρὸς ἕνα κοινὸν ὅρον συνάπτει, τὸ νῦν· τὸ 10 γὰρ νῦν ἀμερὲς ὂν συνάπτει τὸ παρεληλυθὸς τῷ μέλλοντι· ὃ γάρ ἐστι σημεῖον ἐν γραμμῇ, τοῦτο μονὰς ἐν τῷ ἀριθμῷ καὶ ἐπὶ χρόνου τὸ νῦν· ἀμερῆ γὰρ τὰ τρία. διαφέρουσι δὲ τὸ σημεῖον καὶ τὸ νῦν τῆς μονάδος, ὅτι ἡ μὲν μονὰς προστιθμένη τῷ ἀριθμῷ αὔξει αὐτὸν ἀφαιρουμένη δὲ μειοῖ, τὸ δὲ σημεῖον τοῖς μεγέθεσι προστιθέμενον οὐ ποιεῖ αὐτὰ μείζονα οὔτε 15 ἀφαιρούμενον ἐλάττονα. ὡσαύτως δὲ καὶ τὸ νῦν οὔτε προστιθέμενον τῷ χρόνῳ αὔξει αὐτὸν οὔτε ἀφαιρούμενον μειοῖ. ὁμοίως καὶ ὁ τόπος συνεχής· εἰ γὰρ τὸ ἐν τόπῳ συνεχές, ἤγουν τὸ σῶμα, καὶ ὁ τόπος συνεχής· εἰ γὰρ μὴ ὁ τόπος συνεχὴς τοῦ ἐν τόπῳ συνεχοῦς ὄντος, ἔσται μέρος τοῦ ἐν τόπῳ μὴ ὂν ἐν τόπῳ. καὶ εἰ ὁ τόπος συνεχὴς καὶ τὸ ἐν τόπῳ μὴ συνεχές, 20 ἔσται μέρος τοῦ τόπου μὴ ὂν τόπος· οἷον ἵνα τόπον μὲν λάβωμεν τὸ κεράμιον, ἐν τόπῳ δὲ τὸν ἐν αὐτῷ οἶνον ἢ ὕδωρ ἢ τοιοῦτόν τι· ἐὰν οὖν ὁ τόπος, τοῦτ' ἔστι τὸ κεράμιον, μὴ ᾖ συνεχές, ἀλλ' οἷον κοσκινοειδές, ἔσται μέρος τοῦ ἐν αὐτῷ οἴνου μὴ ὂν ἐν τόπῳ. ταῦτα ἔχει ἡ θεωρία.

p. 4b20 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον τὸ δὲ συνεχές.

25 Προτάττει τὸ διωρισμένον, οἷον ἀριθμὸν καὶ λόγον, τοῦ συνεχοῦς ποσοῦ· ἀυλότερος γὰρ ὁ ἀριθμὸς τοῦ μεγέθους ὡς δυνάμενος ἀσυγχύτως διάφορα σχήματα ἐπιδέξασθαι, ὅπερ ἀυλίας ἴδιον· ὁ γὰρ αὐτὸς ἀριθμὸς κύκλος ἅμα καὶ τετράγωνος δύναται εἶναι. ἔστι δὲ κύκλος μὲν ὁ ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενος καὶ εἰς τὸ αὐτὸ λήγων νόμῳ κύκλου, ὡς ὁ τριακονταέξ 30 (ἑξάκις γὰρ ἓξ τριακονταέξ· ἰδοὺ ἀπὸ τοῦ αὐτοῦ ἤρξατο καὶ εἰς τὸ αὐτὸ λήγει), καὶ ὁ εἰκοσιπέντε· πεντάκις ⟨γὰρ⟩ πέντε εἰκοσιπέντε. τετράγωνος δέ ἐστιν ὁ ἀπὸ ἀριθμοῦ ἑαυτὸν πολυπλασιάσαντος γενόμενος, ὡς ὁ ἐννέα· τρὶς γὰρ τρία ἐννέα. τὸ δὲ φθάσαν μέγεθος κυκλικῶς μετασχηματισθῆναι ἄλλο εἶδος οὐ δέχεται, εἰ μὴ πρότερον ἀφανισθῇ τὸ ἄλλο σχῆμα πρὸ αὐτοῦ.

---

1 τέσσαρες libri 2 τρὶς] τρεῖς libri (cf. p. 189,18) 3 μίαν HK τρία] τρεῖς libri 4 διορισμ. P 5 διαιρεῖται K 7 lac. signavi, inseras τὸ σημεῖον, ἡ ἐπιφάνεια συνεχής, ὅτι τὰ μέρα αὐτῆς πρὸς ἕνα κοινὸν ὅρον συνάπτουσι 11 μηνὰς P alt. ἐν om. HP 13 ἀφαιρουμένῳ P 14 οὔτε] οὕτως HP 16. 18 συνεχής] συνεχεῖς H¹ 20 οἷον om. KP post οἷον addita τόπον μὲν del. H 25 διορισμ. P 27 ἐπιδέξ.] ἐπι superscr. H 29 ὁ om. HP 31 pr. εἰκοσιπέντε scripsi: εἰκοστὸς πέμπτος libri γὰρ inserui 32 τρὶς] τρεῖς HP 33 τρία] τρεῖς libri

p. 4b24 Ἔτι δὲ παρὰ ταῦτα τόπος καὶ χρόνος.

Διὰ τί ὥσπερ τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν καὶ τὸ σῶμα κατὰ συνέχειαν ἠρίθμησεν, μὴ καὶ τὸν τόπον καὶ τὸν χρόνον ἐφεξῆς αὐτοῖς κατὰ συνέχειαν ἠρίθμησεν, ἀλλ' ἀντιδιέστειλε; καὶ λέγομεν δύο αἰτίας· ἢ ὅτι ἐν ἑνὶ
5 τὰ τρία θεωροῦνται· ἐν γὰρ τῷ σώματι ἡμῶν γραμμὴ καὶ ἐπιφάνεια, ὁ δὲ τόπος καὶ ὁ χρόνος περὶ ἡμᾶς καὶ ἔξωθεν. ἢ καὶ ἄλλως· ὅτι τὰ μὲν τρία ταῦτα γεωμετρίας εἰδέναι, τόπον δὲ καὶ χρόνον φυσιολογίας· ἡ γὰρ φυσιολογία περὶ κίνησιν καταγίνεται (ἔστι γὰρ ἡ φύσις ἀρχὴ κινήσεως καὶ μεταβολῆς ἢ ἠρεμίας), ἡ δὲ γεωμετρία περὶ τὸ ἀκίνητον καὶ συνεχὲς καταγίνεται ποσόν.
10 ἔτι δὲ καὶ ἡ ἀστρονομία· | ἡ γὰρ ἀστρονομία τόπον εὑροῦσα χρόνον ζητεῖ, 259v οἷον ἐν λέοντι πότε ἐστὶν ὁ ἥλιος. ποτὲ δὲ χρόνον εὑρὼν ὁ φυσικὸς τόπον ζητεῖ, οἷον μετὰ δέκα ἡμέρας ποῦ ἔσται ἡ σελήνη.

p. 4b34 Λέγω δὲ αὐτὸν τὸν μετὰ φωνῆς λόγον.

Ὁ λόγος διάφορα σημαίνει· λέγεται γὰρ λόγος καὶ ὁ ἐνδιάθετος, καθὸ
15 καὶ τοὺς ἀγγέλους φαμὲν λογικούς, καὶ ὁ προφορικός, περὶ οὗ ὁ λόγος ὁ προκείμενος. λέγεται καὶ ὁ ἀποτάδην λόγος, οἷον ὁ ῥητορικὸς καὶ ὁ ἰατρικός. λέγεται λόγος καὶ ἡ σχέσις τῶν μεγεθῶν, ὡς ὅταν λέγωμεν ὅτι ὃν λόγον ἔχει τόδε τὸ μέγεθος * *, τοιόνδε πρὸς ἄλλο μέγεθος. λέγεται λόγος καὶ ἡ αἰτία, καθὸ καὶ ὁ Πλάτων φησὶ 'τέχνην δὲ ἐγὼ οὐ καλῶ, ὃ
20 ἂν ᾖ ἄλογον πρᾶγμα'. διὰ τοῦτο οὖν εἶπε λόγον τὸν μετὰ φωνῆς, τοῦτ' ἔστι τὸν ἐκφωνούμενον, πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων σημαινομένων, ἵνα δείξῃ ὅτι οὗτος ὁ λόγος ὁ μετὰ φωνῆς ὑπὸ διωρισμένον ποσὸν ἀνάγεται, οὐ μὴν καὶ τὰ ἄλλα σημαινόμενα τοῦ λόγου, τοῦτ' ἔστιν ὁ ἐνδιάθετος καὶ ἡ σχέσις καὶ ἡ αἰτία. ἀποροῦσι δέ τινες λέγοντες πῶς ὁ Ἀριστοτέλης
25 φησὶ τὸν λόγον τὸν μετὰ φωνῆς τοῦ ποσοῦ εἶναι· ὁ γὰρ λόγος διανοίας ἐστὶ σημαντικός, καὶ διὰ τοῦτο σύνθετός ἐστιν ὡς συγκείμενος ἐξ ὀνομάτων καὶ ῥημάτων· νῦν δὲ οὐ περὶ συνθέτων φωνῶν ἐστιν ὁ λόγος τῷ Ἀριστοτέλει, ἀλλὰ περὶ τῶν ἁπλῶν φωνῶν· αὐτὸς γὰρ ὁ Ἀριστοτέλης λέγει ὅτι τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων τὸ μὲν οὐσίαν σημαίνει τὸ δὲ
30 ποσὸν καὶ τὰ ἑξῆς· πῶς οὖν τὸν λόγον φησὶ τοῦ ποσοῦ εἶναι σύνθετον ὄντα καὶ κατὰ συμπλοκὴν ὀνομάτων καὶ ῥημάτων; καὶ λέγομεν ὅτι ἐνταῦθα μέμνηται τοῦ λόγου οὐχ ὡς συνθέτου, ἀλλ' ὡς διωρισμένου ἁπλῶς καὶ συγκειμένου ἐκ συλλαβῶν, ὡς καὶ αὐτὸς ὁ Ἀριστέλης δηλοῖ λέγων ὅτι τὸ καταμετρεῖσθαι μακρᾷ καὶ βραχείᾳ συλλαβῇ τὸν μετὰ φωνῆς λόγον δείκνυσιν

---

1 χρ. καὶ τόπος coll. Arist. 2 post τί add. δὲ K 10 ἡ γὰρ ἀστρονομία om. KP 11 pr. ὁ om. HP τόπον om. P 14 ὁ om. H 16 ἀποστάδην HP οἷον superscr. H ῥιτορ. P 17 λέγομεν (alt. l.) P 18 defectum signavi, suppleveris πρὸς τόδε τὸ μέγεθος τοιόνδε—μέγεθος in mrg. suppl. P² 19 Πλάτων] Gorg. p. 465 A 20 ἄλογον] ἄλλο K 21 post σημ. add. λόγων HP 24 λέγοντες om. KP 28 λέγει] p. 1b25 33 ὁ om. K

αὐτὸν τοῦ διωρισμένου ποσοῦ. καὶ δῆλον ὅτι λόγον ἐνταῦθά φησι καὶ τὸ ἓν ὄνομα καὶ τὸ ἓν ῥῆμα καὶ ἁπλῶς τὴν μίαν λέξιν καὶ τὴν ἄσημον φωνήν, εἴπερ καὶ ταῦτα καταμετρεῖται μακρᾷ καὶ βραχείᾳ συλλαβῇ. ἐν δὲ τῷ Περὶ ἑρμηνείας διαλαμβάνει τὸ σύνθετον καὶ σημαντικόν· ὁριζόμενος
5 γάρ φησι 'λόγος ⟨ἐστὶ⟩ φωνὴ σημαντική, ἧς τῶν μερῶν τι σημαντικόν ἐστι κεχωρισμένον'.

p. 4b26 Οἷον ὁ πέντε εἰ ἔστι τῶν δέκα μόριον, πρὸς οὐδένα κοινὸν ἔχει ὅρον.

Εὐλόγως ὑποθετικῶς τὸν λόγον προήγαγεν ὁ πέντε εἰ ἔστι τῶν
10 δέκα μόριον, διότι ὁ πέντε οὐ μόνον τοῦ δέκα δύναται μέρος εἶναι, ἀλλὰ καὶ τοῦ δεκαπέντε καὶ τοῦ εἴκοσι καὶ ἄλλων πολλῶν, καὶ ὅτι οὐκ ἔστιν ὡρισμένον μέρος ὁ πέντε· δυνατὸν γὰρ τοῦ δέκα μέρη λαβεῖν τὸν ἑπτὰ καὶ τρία καὶ τὸν ἓξ καὶ τέσσαρα.

p. 5a3 Τὰ γὰρ τοῦ ἐπιπέδου μόρια πρός τινα κοινὸν ὅρον
15 συνάπτει, τὴν γραμμήν.

Παρὰ μὲν τοῖς παλαιοῖς ταὐτὸν εἶναι δοκεῖ ἐπιφάνεια καὶ ἐπίπεδον· ἐπὶ τοῦ αὐτοῦ γὰρ καὶ τὸ τῆς ἐπιφανείας καὶ τὸ τοῦ ἐπιπέδου λαμβάνουσιν ὄνομα. | παρὰ δὲ τοῖς νεωτέροις διακέκριται ἐπιφάνεια ἐπιπέδου· τὸ μὲν 260r γὰρ ἐπίπεδον ἐπὶ μόνης τῆς ὁμαλῆς ἐπιφανείας λαμβάνουσι τῆς ἐξ ἴσου ταῖς
20 ἑαυτῆς εὐθείαις κειμένης, τὴν δὲ ἐπιφάνειαν καὶ ἧς τὰ μέσα τοῖς ἄκροις ἐπιπροσθεῖ καὶ † τῆς ἐλαχίστης τῶν παθῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, κοίλων τυχὸν ἢ κυρτῶν. κοινοτέρα οὖν παρὰ τοῖς νέοις ἡ ἐπιφάνεια, φερομένη καὶ κατὰ τῆς ὁμαλῆς ἐπιφανείας, ἥτις ἐστὶν ἐπίπεδον, καὶ κατὰ τῆς κοίλης καὶ κυρτῆς.

25 p. 5a4 Ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ σώματος ἔχοις ἂν λαβεῖν κοινὸν ὅρον, γραμμὴν ⟨ἢ⟩ ἐπιφάνειαν, πρὸς ὃν τὰ τοῦ σώματος μόρια συνάπτει.

Τὰ δὲ μέρη τοῦ σώματος συνάπτει πρὸς κοινὸν ὅρον, τὴν ἐπιφάνειαν,

---

2 alt. τὴν superscr. H 4 ὁριζόμενος — τι (5) om. KP 5 φησι] De interpr. p. 16b26 ἐστὶ inserui post σημαντική add. κατὰ συνθήκην Arist. (sed cf. Ammon. p. 58,4. 19) 6 ante κεχωρ. add. λέγων K 7. 9 ὁ] τὰ Arist. 8 κοινὸν ὅρον συνάπτει Arist. 10 διότι] διὰ τοῦτο HP μόνος HP τοῦ] τῶν K 11 ὅτι superscr. K 12 ὁρισμένον P γὰρ om. KP 13 τρία] τρεῖς libri (καὶ τρεῖς in mrg. suppl. P²) τὸν] τῶν P τέσσαρες libri 15 συνάπτουσι K τὴν γραμμήν om. Arist. 17 alt. τοῦ om. H 19. 20 ταῖς . . εὐθείαις scripsi: τῆς . . εὐθείας libri 20 τὴν δὲ ἐπιφάνειαν post ἐπιπροσθεῖ transponas 21 τῆς ἐλαχ. — ἐχ. corrupta sunt, conicias τῆς λαχούσης τῶν γραμμῶν τὰ αὐτὰ πάθη ἐχουσῶν 23 ἐπίπεδος HP 26 ἢ Arist.: om. HKP ὃν] ἃ Arist. 28 δὲ] an γάρ?

διὰ ταύτην δὲ καὶ πρὸς γραμμήν. τῆς ἐπιφανείας κατὰ βάθος διαιρούσης τὰ σώματα, αὐτῆς δὲ παντελῶς ἀδιαστάτου οὔσης κατὰ βάθος, ἐξ ἀνάγκης καὶ τὰ μέρη τοῦ σώματος ἀδιαστάτως καὶ κατὰ βάθος συνάπτουσι πρὸς ἄλληλα κατὰ τὴν ἐπιφάνειαν, κἀνταῦθα πάλιν δυνάμει τῆς διαιρέσεως ἤτοι
5 τῆς ἐπιφανείας λαμβανομένης, ἵν' ᾖ τὸ σῶμα συνεχές. διὰ δὲ τὴν ἐπιφάνειαν καὶ πρὸς γραμμὴν συνάπτουσι τὰ τοῦ σώματος μόρια· ἐπειδὴ γὰρ κατὰ τοὺς γεωμέτρας ῥυεῖσα ⟨ἡ⟩ γραμμὴ ποιεῖ τὴν ἐπιφάνειαν, δεῖ τὸν διαιροῦντα τὸ σῶμα κατὰ τὴν ἐπιφάνειαν ἄρξασθαι ἀπὸ τῆς γραμμῆς καὶ ταύτην οἱονεὶ ἐπισύροντα ποιεῖν ἐπιφάνειαν καὶ δι' αὐτῆς τέμνειν τὸ
10 σῶμα. ἐπειδὴ οὖν καθ' ὅλην ἑαυτὴν ἡ ἐπιφάνεια τέμνει τὸ σῶμα, ἀνάγκη καὶ κατὰ τὸ πέρας αὐτῆς, λέγω δὴ τὴν γραμμήν, συνάπτειν τὰ τοῦ σώματος ἄκρα.

p. 5a6 Ἔστι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῶν τοιούτων.

Νῦν δείκνυσιν ὅτι συνεχῆ ποσὰ ὁ τόπος καὶ ὁ χρόνος· καὶ τούτων
15 γὰρ τὰ μέρη πρός τινα κοινὸν ὅρον συνάπτουσι· τοῦ μὲν χρόνου τὰ μέρη τὸ νῦν ἀδιάστατον ὑπάρχον παντελῶς συνάπτει δι' ἑαυτοῦ, τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα, τοῦ δὲ τόπου τὰ μέρη συνάπτει ἡ γραμμή, διότι ἐπιφάνειά τις εἶναι δοκεῖ ὁ τόπος, τῆς δὲ ἐπιφανείας τὰ μόρια κατὰ τὴν γραμμὴν συνάπτει.

20 p. 5a9 Τόπον γάρ τινα τὰ τοῦ σώματος μόρια κατέχει, ἃ πρός τινα κοινὸν ὅρον συνάπτει· οὐκοῦν καὶ τὰ τοῦ τόπου μόρια, ⟨ἃ⟩ κατέχει ἕκαστον τῶν τοῦ σώματος μορίων, καὶ πρὸς τὸν αὐτὸν ὅρον συνάπτει, πρὸς ὃν καὶ τὰ τοῦ σώματος μόρια.

Κατασκευάζει ὅτι καὶ τὰ τοῦ τόπου μόρια ὡς συνεχοῦς ὄντος πρός
25 τινα κοινὸν ὅρον συνάπτει ἀπὸ τῶν ἐν τόπῳ. τοῦ δὲ ἐν τόπῳ τὰ μέρη εἰ πρός τινα κοινὸν ὅρον συνάπτει, ἀνάγκη καὶ τὸν τόπον ἔχειν τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτοντα· εἰ γὰρ τὸ μὲν ἐν τόπῳ συνεχὲς εἴη, ὁ δὲ τόπος μὴ εἴη συνεχής, ἀλλὰ διεσπασμένος, συμβήσεται μέρος τοῦ ἐν τόπῳ, ὃ οὐκ ἔστιν ἐν τόπῳ. εἰ οὖν ἕκαστον, φησί, τῶν τοῦ σώματος
30 μορίων τινὰ τόπον κατέχει καὶ ταῦτα τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, ἀνάγκη καὶ τὰ μόρια τοῦ τόπου πρός τινα κοινὸν ὅρον συνάπτειν. ὥστε συνεχὴς ἂν εἴη καὶ ὁ τόπος· πρὸς γὰρ ἕνα κοινὸν ὅρον αὐτοῦ τὰ | μόρια συνάπτει· τῶν ⟨γὰρ⟩ συνεχῶν κοινὸς ὁρισμός ἐστι τὸ πρός τινα 260v

1 ταύτης K καὶ om. P 2 αὐτῆς δὲ ante τῆς ἐπιφ. (1) ponas 5 ἦν P δὲ om. KP 7 ἡ inserui 20 τόπον ex Arist. correxi: τόπος ὧν HKP τὰ] τῶν K 22 ἃ om. HKP καὶ om. Arist. 23 καὶ om. P 25 ἐπισυνάπτει H δὲ] an γάρ? 26 εἰ om HP συνάπτει — ὅρον (27) om. P 27 ἐν τόπῳ om. P 29 ὃ scripsi: καὶ libri 30 post μόρια add. τοῦ τόπου P 31 ἀνάγκη — συνάπτειν suppl. P[2] 32 εἴη] ἢ HP 33 γὰρ inserui

κοινὸν ὅρον αὐτῶν τὰ μόρια συνάπτειν· ἐφήρμοσε δὲ καὶ τῷ τόπῳ οὗτος ὁ ὁρισμός· ὁ ἄρα τόπος συνεχής ἐστιν.

p. 5a15 Ἔτι δὲ τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκε.

5 Πρώην διελὼν ὁ Ἀριστοτέλης τὸ ποσὸν εἰς συνεχὲς καὶ διωρισμένον καὶ τὸ συνεχὲς εἰς πέντε, εἰς γραμμήν, ἐπιφάνειαν, σῶμα, τόπον καὶ χρόνον, καὶ τὸ διωρισμένον εἰς δύο, εἰς ἀριθμὸν καὶ λόγον, νῦν ἐπιδιαιρεῖ τὸ ποσὸν εἰς θετὸν καὶ ἄθετον, καὶ τὸ θετὸν εἰς γραμμήν, ἐπιφάνειαν, σῶμα, τόπον, οὐκέτι εἰς πέντε (ἀφεῖλε γὰρ τὸν χρόνον), τὸ δὲ ἄθετον εἰς τρία, εἰς 10 ἀριθμὸν καὶ λόγον καὶ χρόνον. ἄξιον δὲ ἐπιζητῆσαι διὰ τί ἡ ἀφαίρεσις τοῦ χρόνου αἰτία γέγονε τῆς τοῦ ποσοῦ ἐπιδιαιρέσεως. καὶ λεκτέον ὅτι δύο ὄντων ἄκρων ἐναντίων ἀλλήλοις, συνεχοῦς καὶ διωρισμένου, καὶ ὡς οἱ παροιμιαζόμενοί φασιν ὅλῳ καὶ παντὶ λέγοντες διαφέρειν τὰ ἄγαν διεστῶτα, τοῦτ' ἔστι τοῖς ἐναντίοις εἴδεσι τοῦ ποσοῦ τὸ μὲν ὅλον ἐπὶ τοῦ συνεχοῦς 15 τάττοντες τὸ δὲ πᾶν ἐπὶ τοῦ διωρισμένου, καὶ τοῦ Πλάτωνος πάντα ἔμμεσα λέγοντος τὰ ἐναντία, ἵνα καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχοιντο, ἔδει εἶναι μέσον τι τοῦ συνεχοῦς καὶ τοῦ διωρισμένου· μέσον δὲ συνεχοῦς καὶ διωρισμένου ὁ χρόνος· ὡς μὲν γὰρ κίνησις συνεχὴς ὁ χρόνος (πᾶσα γὰρ κίνησις συνεχής), ὡς δὲ ἀριθμηθεῖσα κίνησις τῷ πάλιν καὶ πάλιν ἀριθμεῖσθαι 20 διωρισμένος ὁ χρόνος. τρισὶ δέ τισι χαρακτηρίζει τὸ θετὸν ὁ Ἀριστοτέλης, τῷ ὅλον ἅμα ὑφεστάναι καὶ δείξει ὑποπίπτειν καὶ τῷ ἐπιδέχεσθαι τὰ ἓξ θετικὰ ἐπιρρήματα. δείξωμεν ⟨οὖν⟩ τὰ τρία ἐπὶ ἑκάστου εἴδους τῶν συνεχῶν· ἡ γραμμὴ ὅλη ἅμα ὑφέστηκε σπιθαμιαία οὖσα ἢ πλεῖον ἢ ἔλαττον, καὶ ἡ ἐπιφάνεια ὁμοίως καὶ τὸ σῶμα. ἀλλὰ καὶ δείξει ὑποπίπτει ἡ γραμμὴ ὡς 25 δακτύλῳ δεικνυμένη, καὶ ἡ ἐπιφάνεια καὶ τὸ σῶμα. καὶ τὰ ἓξ θετικὰ ἐπιρρήματα ἐπιδέχεται ἡ γραμμή· εἰπεῖν γὰρ ἔχομεν ὅτι τῆς γραμμῆς τὸ μὲν πρόσω τὸ δὲ ὀπίσω καὶ τὸ μὲν δεξιὰ τὸ δὲ ἀριστερὰ καὶ τὸ μὲν ἄνω τὸ δὲ κάτω, καὶ ἐπὶ τῆς ἐπιφανείας ὁμοίως καὶ τοῦ σώματος τὰ αὐτὰ ἐροῦμεν. τὸ δὲ ἄθετον ὅλον ἅμα οὐχ ὑφέστηκεν οὐδὲ δείξει ὑποπίπτει 30 οὐδὲ τὰ ἓξ θετικὰ ἐπιρρήματα ἐπιδέχεται· ἰδοὺ γὰρ ὁ χρόνος ὅλος ἅμα οὐχ ὑφέστηκε· δεῖ γὰρ φθαρῆναι τὸ σήμερον, ἵνα γένηται τὸ αὔριον. οὐδὲ ὁ λόγος ἅμα ὑφέστηκε· τὸ μὲν γὰρ αὐτοῦ εἴρηται καὶ οὐκ ἔστι τὸ δὲ μέλλει. καὶ ἐπὶ τοῦ ἀριθμοῦ τοῦ ἀριθμοῦντος, ἐπειδὴ οὗτος ἢ ἐν δόξῃ ἐστὶν ἢ ἐν προφορᾷ, τὸ μὲν αὐτοῦ εἴρηται καὶ οὐκ ἔστι τὸ δὲ γίνεται. ἀλλ' 35 οὐδὲ δείξει οὐδὲν τούτων ὑποπίπτει· ὃ γὰρ οὐδὲν ὑπομένει ἤτοι καταλιμπάνεται, πῶς τοῦτο δακτύλῳ | ἔδει δειχθῆναι; οὐδὲ τὰ θετικὰ ἐπιρρή- 261r

3 ἔτι δὲ τὰ] ὅτι τὸ HKP 8 post alt. θετὸν addas εἰς τέσσαρα 9 οὐκ ἔστι H 10 ἡ πρὸς ἀφαίρεσιν HP 13 ὅλῳ καὶ παντὶ] cf. Plat. Phaedo. p. 79 E al. 15 pr. τοῦ om. K Πλάτωνος] cf. p. 181,10 πάντως K 20 διωρισμένον H ante τρισὶ add. ὡς P 21 alt. τῷ] τὸ HK 22 δείξομεν K οὖν inserui 25 ἐπιθετικὰ P 30 ὅλον K 31 δεῖ—ὑφέστηκε (32) in mrg. suppl. H 32 καὶ om. H

ματα οὐδὲν τῶν τριῶν ἐπιδέχεται· πῶς γὰρ τοῦ μὴ ὄντος ὅλως τὸ μὲν ἄνω τὸ δὲ κάτω εἴποι τις ἄν, ἢ δεξιὰ ἢ ἀριστερά; ἀλλ' εἰ ἄρα τάξιν τινὰ τὰ εἴδη τοῦ διωρισμένου ἐπιδέχονται· τοῦ μὲν γὰρ λόγου πρότερον τὸ προοίμιον τῆς διηγήσεως καὶ ἐπὶ τοῦ ἀριθμοῦ τὸ ἓν τῶν δύο πρότερον καὶ 5 ἐπὶ τοῦ χρόνου τὸ σήμερον τοῦ αὔριον πρότερον. διὸ καὶ ἀποροῦσιν ὅτι διὰ τί μὴ διεῖλε τὸ ποσὸν εἰς τεταγμένον καὶ ἄτακτον. καὶ λέγομεν ὅτι ἡ τάξις δι' ὅλων τῶν εἰδῶν τοῦ ποσοῦ διῆλθε, συνεχῶν τε καὶ διωρισμένων· ἐπὶ πάντων γὰρ ἁρμόζει λέγειν τὸ πρῶτον καὶ τὸ δεύτερον. εἰ οὖν τάξις ἐστὶν ἐν πᾶσι, πῶς τὸ ἔχον τάξιν εἰς τεταγμένον καὶ ἄτακτον εἶχε 10 διαιρεῖσθαι; καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἐπιδιαιρεῖ δὲ τὸ ποσὸν καὶ ἄλλως λέγων ὅτι τοῦ ποσοῦ τὸ μέν ἐστι κυρίως ποσὸν τὸ δὲ φαινόμενον, καὶ κυρίως μὲν ποσὸν οὗ τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον ἀμέσως κατηγορεῖται· τὸ γὰρ μέγα καὶ μικρὸν ἐπὶ πάντων λέγομεν τῶν συνεχῶν, μεγάλην γραμμὴν καὶ μικρὰν ἐπιφάνειαν 15 καὶ σῶμα καὶ τόπον λέγοντες κυρίως, πολὺ δὲ καὶ ὀλίγον ἐπὶ ἀριθμοῦ καὶ λόγου καὶ χρόνου κυρίως λέγεται. ταῦτα μὲν κυρίως ποσά. ⟨φαινόμενα δὲ ποσὰ⟩ ὧν τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον οὐκ ἀμέσως ἀλλὰ διὰ μέσου ἑνὸς τῶν ἑπτὰ εἰδῶν τοῦ ποσοῦ κατηγορεῖται, οἷον πολλὴν λέγομεν λευκότητα διὰ μέσου τῆς ἐπιφανείας· πολὺ γὰρ τὸ λευκὸν οὐ δι' ἑαυτὸ 20 ἀλλὰ διὰ τὴν ἐπιφάνειαν· εἰ γὰρ τὴν ἐπίτασιν τοῦ λευκοῦ ὡς λευκοῦ θέλομεν σημᾶναι, οὐ λέγομεν πολὺ λευκὸν ἀλλὰ λευκῶν λευκὸν ἢ λευκότατον. καὶ τὸν πόλεμον τὸν Τρωϊκὸν μέγαν λέγομεν οὐ δι' ἑαυτὸν ἀλλὰ διὰ τὸν χρόνον· καὶ τὴν πρᾶξιν μικρὰν λέγομεν διὰ τὸν χρόνον, οὐ δι' ἑαυτήν· ἢ γὰρ ἡμερησία ἢ μηνιαία ἢ ἐνιαυσιαία. ταῦτα ἔχει ἡ παροῦσα 25 θεωρία.

p. 5a32 Καὶ οὕτως τάξιν μὲν ἄν τινα, θέσιν δὲ οὐ πάνυ λάβοις.

Ἐπειδὴ ᾔσθετο ὁ Ἀριστοτέλης ὅτι ἐπὶ τοῦ φυσικοῦ ἀριθμοῦ τοῦ ἀριθμουμένου, οἷον ἵππων δέκα ἢ ἀνθρώπων ἢ ξύλων ἢ λίθων, ὅτι ἔστι θέσιν λαβεῖν καὶ δεῖξαι ποῦ κεῖται, διὰ τοῦτο ἐκόλασεν αὐτὸ εἰπὼν ὅτι 30 θέσιν ἐπὶ τούτου οὐ πάνυ λάβοις ἄν.

p. 5b11 Ἔτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον.

Μετὰ τὰς τρεῖς διαιρέσεις τοῦ ποσοῦ, τὴν εἰς συνεχὲς καὶ διωρισμένον καὶ εἰς θετὸν καὶ ἄθετον καὶ κυρίως ποσὸν καὶ φαινόμενον ποσόν, μετάγει

1 πῶς] ἐπὶ H 2 εἰ scripsi: ἢ libri 3 ὡρισμ. HP 5 ὅτι om. K 6 τεταμένον P 13 ante μικρὸν add. τὸ K 16 μὲν] δὲ οὐ in ras. K φαινόμενα δὲ ποσὰ inserui 17 ὧν] οὗ HP 21 λευκῶν] scribas μάλα 21. 22 λευκότατ.] λευκότητα K 23 πρᾶξιν scripsi: παράταξιν libri 26 μὲν ἄν τινα] τινὰ ἂν ἔχοι Arist. λάβῃς HP: λάβοις ἂν Arist. 29 δεῖξαι scripsi: δείξει libri 31 Ἔτι] Ὅτι P 32 καὶ om. KP 33 εἰς om. K

τὸν λόγον ἐπὶ τὰ ἴδια τοῦ ποσοῦ. καὶ ἤδη μὲν ἀνωτέρω ἓν ἴδιον ἡμῖν παρεδίδου τοῦ ποσοῦ, τὸ μετρεῖσθαι, ὅτε ἔλεγεν ὅτι ὁ λόγος καταμετρεῖται μακρᾷ καὶ βραχείᾳ συλλαβῇ καὶ διὰ τούτου ποσὸν ἐδείκνυτο ὁ λόγος ὡς παντὸς ποσοῦ μετρουμένου. ὅτι δὲ τοῦτο ἓν ἴδιον ἡμῖν παρέδωκε, δηλοῖ
5 διὰ τοῦ ἔτι, λέγων ἔτι δὲ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον, ὡς ἂν κατὰ τὸ σιω|πώμενον ἑνὸς ἡμῖν ἰδίου τοῦ ποσοῦ παραδεδομένου. ἀλλ' 261v ἔχομεν, φασί τινες, καὶ τὸ δεύτερον ἴδιον παραδεδομένον ἀνωτέρω ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ, ὅτε ἔλεγεν ὅτι ἴδιον τῆς οὐσίας τὸ μηδὲν ἔχειν ἐναντίον, τοῦτο δὲ πάσῃ μὲν τῇ οὐσίᾳ ὑπάρχει, οὐ μόνῃ δέ· ὑπάρχει γὰρ
10 καὶ τῷ ποσῷ. καὶ λέγομεν ὅτι ἀμφέβαλλεν ἐκεῖ ⟨εἰ⟩ οὐδέν ἐστι τῷ ποσῷ ἐναντίον, λέγων 'εἰ μή τις φαίη τὸ μέγα τῷ μικρῷ καὶ τὸ πολὺ τῷ ὀλίγῳ ἐναντίον'· ταῦτα γὰρ οὐκ ἐναντία. ὅτι δὲ οὐκ ἐναντία οὐδὲ ποσὰ ἀλλὰ τῶν πρός τι, δείκνυσι καὶ κατ' ἔνστασιν καὶ κατὰ ἀντιπαράστασιν. καὶ κατὰ μὲν ἔνστασιν ὅτι οὐ ποσὰ ἀλλὰ τῶν πρός τι, κατὰ δὲ ἀντιπαράστασιν ὅτι
15 οὐκ ἐναντία ἀλλὰ τῶν πρός τι, ὡς εἶναι κοινὸν καταγώγιον ἐνστάσεως καὶ ἀντιπαραστάσεως τὰ πρός τι· εἰ γὰρ δείξομεν ὅτι πρός τι, οὐ ποσά (ἀντιδιῄρηται γὰρ τὸ ποσὸν τοῖς πρός τι), καὶ εἰ δείξομεν πάλιν ὅτι πρός τι, οὐκ ἐναντία· τετραχῶς γὰρ τῶν ἀντικειμένων λαμβανομένων ἀντιδιῄρηται τὰ ἐναντία τοῖς πρός τι.

20 Δεῖ εἰδέναι ὅτι δύο ἐπιχειρήμασι κέχρηται ἡ ἔνστασις, πρῶτον μὲν λέγουσα ὅτι μέγα καὶ μικρόν, πολὺ καὶ ὀλίγον πρὸς ἄλλο λέγονται, τὸ ποσὸν καθ' αὑτό· τὸ ἄρα μέγα καὶ μικρὸν οὐ ποσά. δεύτερον δὲ ἐπιχείρημα, ὅτι τὸ μέγα καὶ τὸ μικρὸν καὶ πολὺ καὶ ὀλίγον ἀόριστα· μέχρι γὰρ πόσου μέγα καὶ μέχρι πόσου μικρόν, ἄδηλον εἰπεῖν· τὸ δὲ ποσὸν
25 ὡρισμένον ποσὸν δηλοῖ· ὅταν γὰρ βουλώμεθα τὸν ἀριθμὸν μαθεῖν τῶν ζητουμένων, λέγομεν ὅτι πόσα εἰσί· τὸ ἄρα μικρὸν καὶ μέγα, τὸ πολὺ καὶ ὀλίγον οὐκ εἰσι ποσά. ταῦτα μὲν ἡ ἔνστασις. ἡ δὲ ἀντιπαράστασις τέτρασι κέχρηται ἐπιχειρήμασι, πρῶτον λέγουσα· τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον αὐτὰ ἅπερ εἰσὶν ἑτέρων εἶναι λέγονται, τὰ δὲ ἐναντία οὐ πρὸς ἕτερον
30 λέγονται, οἷον τὸ μέλαν οὐ λέγεται πρὸς λευκὸν μέλαν, ἀλλὰ λευκῷ ἐναντίον, καὶ ἐπὶ τοῦ λευκοῦ ὁμοίως· τὸ ἄρα μέγα καὶ μικρὸν οὐκ ἐναντία. δεύτερον ἐπιχείρημα· εἰ τὸ μέγα καὶ μικρὸν ἐναντία, συνυπάρξουσι τὰ ἐναντία τοῦ αὐτοῦ δυναμένου καὶ μικρὸν εἶναι καὶ μέγα πρὸς ἄλλο καὶ ἄλλο. τρίτον ἐπιχείρημα· εἰ τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον
35 ἐναντία, ἔσται τι ἑαυτῷ ἐναντίον τοῦ αὐτοῦ δυναμένου καὶ μεγάλου εἶναι

---

2 ὅταν K ἔλεγεν] p. 4b33 4 ἑνὸς K 5 λέγειν K δὲ om. Arist. 6 κατὰ τὸ σιωπώμενον Paris. 1917: κατασιωπώμενον HKP ἑνὸς ἡμῖν ποσοῦ παραδεδομένου (ἰδίου τοῦ om.) Paris. 1917: ἓν ἡμῖν ἴδιον τοῦ ποσοῦ παραδεδομένον (παραδιδόμενον K) HKP 8 ἔλεγεν] p. 3b23 9 ante πάσῃ add. καὶ K 10 ἀμφέβαλεν P εἰ inserui 11 λέγων] p. 3b30 alt. τὸ] τῷ P 12 ὅτι — ἐναντία om. KP 13 κατὰ (ante ἀντιπαρ.) om. K 14 κατὰ δὲ — πρός τι (15) om. KP 15 κοινὸν om. K 16 γὰρ om. K 17 τοῖς scripsi: τῶν libri 18 γὰρ erasum K 21 πολύ τε KP 22 post μικρὸν fort. inseras καὶ πολὺ καὶ ὀλίγον (sed cf. v. 31) 24 δὲ scripsi: γὰρ libri 26. 27 ante μέγα add. τὸ KP, ante ὀλίγον K

καὶ μικροῦ κατὰ τὸν αὐτὸν χρόνον πρὸς ἄλλο καὶ ἄλλο. τέταρτον ἐπιχείρημα, ὃ οὐ λέγει ἡ λέξις ἀλλ' ἡμεῖς· εἰ τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον ἐναντία, οὐκέτι τὰ ἐναντία φθαρτικά εἰσιν ἀλλήλων, ἀλλὰ σωστικά· πολλὰ γὰρ μικρὰ ἓν μέγα ποιοῦσι καὶ πολλὰ ὀλίγα πολύ· τὰ δὲ ἐναντία ἀεὶ 5 φθαρτικά εἰσι.

p. 6a12 Μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ δοκεῖ περὶ τὸν τόπον ὑπάρχειν.

Ἐλευθερώσας ὁ Ἀριστοτέλης τὸ ποσὸν ἐναντιότητος, τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον, καὶ ποσὰ δοκοῦντα εἶναι καὶ ἐναντία, κατὰ 10 ἀλήθειαν δείξας μηδὲ ποσὰ ὄντα | μηδὲ ἐναντία διὰ τῆς ἐνστάσεως καὶ 262r ἀντιπαραστάσεως, παραινεῖ διὰ τούτων τῷ θέλοντι ἐναντιότητα ἐν τῷ ποσῷ ἀποθέσθαι μὴ ἐπιχειρεῖν ἀπὸ τοῦ μεγάλου καὶ μικροῦ καὶ πολλοῦ καὶ ὀλίγου, ἀλλ' ἀπὸ τοῦ τόπου· ὁ γὰρ τόπος ὁμολογουμένως ποσόν, καὶ ἐναντίον ὁ ἄνω τόπος τῷ κάτω τόπῳ. πρὸς ὅ φαμεν ὅτι οὐκ ἐναντίος ὁ 15 ἄνω τόπος τῷ κάτω τόπῳ· τὸ γὰρ ἄνω καὶ κάτω διττόν, τὸ μὲν πρὸς τὴν φύσιν τὸ δὲ πρὸς ἡμᾶς· πρὸς ἡμᾶς μέν, ὅτι τὸ ἄνω καὶ κάτω τοῖς ποσὶν ὁρίζομεν καὶ τῇ κεφαλῇ, ἄνω μὲν λέγοντες τὸ ὑπὲρ κεφαλὴν ἡμισφαίριον κάτω δὲ τὸ ὑπὸ τοῖς ποσί. τὸ δὲ πρὸς τὴν φύσιν ἄνω καὶ κάτω· ἄνω μὲν ὅλος ὁ οὐρανὸς ἐφ' ὃν ᾄττει τὰ κοῦφα, κάτω δὲ ἡ γῆ ἐφ' ἣν 20 ᾄττει τὰ βαρέα. οὔτε δὲ τὸ πρὸς ἡμᾶς ἄνω καὶ κάτω ἐναντία διὰ τρία ἐπιχειρήματα, ἃ καὶ ἐπὶ τῆς ἀντιπαραστάσεως ἐλέγομεν. ὧν πρῶτον τόδε· τὸ ἄνω καὶ κάτω ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, τὰ δὲ ἐναντία ἅπερ ἐστὶν ἑτέρων εἶναι οὐ λέγεται, ὡς εἴρηται· τὸ ἄνω καὶ κάτω ἄρα οὐκ ἐναντία. δεύτερον ἐπιχείρημα· εἰ τὸ ἄνω καὶ κάτω ἐναντία, συνυπάρξουσι 25 τὰ ἐναντία τοῦ αὐτοῦ ἄνω καὶ κάτω δυναμένου εἶναι. τρίτον· εἰ τὸ ἄνω καὶ κάτω ἐναντία, ἔσται τι ἑαυτῷ ἐναντίον δυνάμενον καὶ ἄνω καὶ κάτω εἶναι κατὰ τὸν αὐτὸν χρόνον πρὸς ἄλλο καὶ ἄλλο. οὕτω μὲν δείκνυμεν ὅτι τὸ πρὸς ἡμᾶς ἄνω καὶ κάτω ἐναντία οὐκ εἰσιν. ἀλλ' οὐδὲ τὸ πρὸς τὴν φύσιν ἄνω καὶ κάτω ἐναντίον· μηδὲ γὰρ λεγέτω τις ὅτι τὰ πέρατα τῶν ἐναντίων 30 κινήσεων ἐναντία καὶ πέρας μὲν τῆς ἐπὶ τὰ ἄνω κινήσεως ὁ ἄνω τόπος τῆς δὲ ἐπὶ τὰ κάτω ἡ κάτω τόπος. μή τις ταῦτα λεγέτω· πέρατα γὰρ τῶν ἐναντίων κινήσεων οὐχ οἱ τόποι, ἀλλ' αἱ ἠρεμίαι. εἰ δὲ καὶ δῶμεν ὅτι πέρατα τῶν ἐναντίων κινήσεων οἱ τόποι ὁ ἄνω καὶ ὁ κάτω, οὐκ ἄντικρυς αὐτοὶ οἱ τόποι, ἀλλὰ τὸ ἄνω καὶ κάτω γενέσθαι. ἄλλο δὲ τὸ ἄνω 35 παρὰ τὸ ἄνω γενέσθαι· τὸ γὰρ ἄνω τόπος καὶ ὑπὸ τὸ ποσὸν ἀνάγεται, τὸ

1 ἐπιχείριμα H 2 ante πολὺ add. τὸ P 6. 7 π. τ. τόπον δοκ. coll. Arist. 9 καὶ (ante πολὺ) om. P 10 ἀλίθειαν H ὄντα] εἶναι K 10. 11 καὶ ἀντιπαραστάσεως in mrg. suppl. P² 11 ἐναντιότητος P 12 πολοῦ H 13 ἀλλ'] καὶ KP 15 τῷ] τῶν P 17 ὁριζόμενον HK¹P 19 ὁ om. P 21 ante ἀντιπαρ. add. γῆς H 23 εἴρηται] p. 196,29 25 εἶναι δυν. coll. P 28 οὐκ — ἐναντίον (29) suppl. P² οὐδὲν P τὸ om. KP 30 τῆς ἐπὶ τὰ] τοῦ ἑπτὰ P 31 τῆς] τοῖς P 35 τὸ (ante ποσὸν) om. K

δὲ ἄνω γενέσθαι ἐν τόπῳ ἐστὶ γενέσθαι καὶ ὑπὸ τὴν ποῦ κατηγορίαν ἀνάγεται. τὰ αὐτὰ καὶ ἐπὶ τοῦ κάτω λεκτέον, ἄλλο τὸ κάτω γενέσθαι καὶ ἄλλο τὸ κάτω· τὸ μὲν γὰρ ἐν τόπῳ τοπικόν, τὸ ἐν τόπῳ γενέσθαι τῷ κάτω, καὶ ὑπὸ τὴν ποῦ κατηγογίαν τελεῖ, τὸ δὲ κάτω τόπος καὶ ὑπὸ τὸ
5 ποσὸν ἀνάγεται. δείξομεν δὲ ὅτι οὐδὲ τῷ τόπῳ ὡς τόπῳ ἐστί τι ἐναντίον, διὸ οὐδὲ ὁ ἄνω τόπος τῷ κάτω ὡς τόπῳ ἐναντίον· ὥσπερ γὰρ καὶ πόλεις ἐχθρὰς λέγομεν ἀλλήλαις οὐ διὰ τὰ κτίσματα καὶ τοὺς τόπους, ἀλλὰ διὰ τοὺς ἐνοικοῦντας πολεμίους ὄντας, οὕτως οὐδὲ ὁ ἄνω τόπος τῷ κάτω ἐναντίος ὡς τόπῳ, ἀλλ' εἰ ἄρα διὰ τὰ ἐν αὐτοῖς σώματα ἐναντία ὄντα
10 λέγονται καὶ αὐτοὶ ἐναντίοι. τοῦτο πρῶτον. δεύτερον δὲ ὅτι ἄνω τόπος ἐστὶν ἡ κοίλη ἐπιφάνεια τῆς σε|ληνιακῆς σφαίρας κάτω δὲ τόπος ἡ γῆ, 262v ἅπερ οὐκ ἐναντία· τὰ γὰρ ἐναντία μεταβάλλειν θέλουσιν εἰς ἄλληλα, πότε δὲ ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας μεταβάλλει εἰς τὴν γῆν ἢ τοὐναντίον; τρίτον ὅτι τὰ ἐναντία περὶ ἓν ὑποκείμενον μάχονται· ποῖον δὲ
15 ὑποκείμενον κοινὸν ἔχει ἡ γῆ καὶ ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας; οὕτω δειξάντων ἡμῶν ὅτι οὐκ ἐναντίος ὁ ἄνω τόπος τῷ κάτω ὡς τόπῳ, δειχθήσεται ὅτι οὐδὲ τὸ ἄνω γενέσθαι τῷ κάτω γενέσθαι ἐναντίον· οὐδὲ γὰρ ἐναντίον τὸ ἄνω γενέσθαι τὸ πῦρ τῷ κάτω γενέσθαι· τὸ μὲν γὰρ ἄνω τὸ πῦρ γενέσθαι κατὰ φύσιν, τὸ δὲ κάτω τὸ πῦρ γενέσθαι παρὰ φύσιν.
20 οὐκ ἐναντία δὲ ταῦτα· ⟨δεῖ γὰρ τὰ ἐναντία⟩ ἢ ἄμφω κατὰ φύσιν εἶναι ἢ ἄμφω παρὰ φύσιν, ἵνα ἰσοσθενῆ ὦσι καὶ μάχωνται ἀλλήλοις. ταῦτα δὲ ἔοικε καὶ ὁ Ἀριστοτέλης διὰ τῆς λέξεως αἰνίττεσθαι λέγων οὕτως· μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ δοκεῖ περὶ τὸν τόπον γενέσθαι καὶ ὑπάρχειν· διὰ ⟨γὰρ⟩ τοῦ εἰπεῖν ὅτι περὶ τὸν τόπον ᾐνίξατο ὅτι
25 οὐχ οἱ τόποι αὐτοὶ μάχονται ἀλλὰ τὰ ἐν τοῖς τόποις, διὰ δὲ τοῦ εἰπεῖν ὅτι δοκεῖ ἐδήλωσεν ὅτι δοκοῦσιν οἱ τόποι μάχεσθαι, κατὰ ἀλήθειαν μὴ μαχόμενοι.

p. 6a12 Μάλιστα δὲ τῷ ποσῷ ἡ ἐναντιότης δοκεῖ περὶ τὸν τόπον ὑπάρχειν.

30 Ἐλέγξας ὁ Ἀριστοτέλης τοὺς λέγοντας ὅτι ἐναντίος ὁ ἄνω τόπος τῷ κάτω, καὶ κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν ἀνελὼν τὸ ἐπιχείρημα τὸ λέγον 'τὰ πέρατα τῶν ἐναντίων κινήσεων ἐναντία εἰσί', νῦν τὸ αὐτὸ καὶ δι' ἑτέρου ἐπιχειρήματος κατασκευαζόμενον ἐλέγχει. τὸ δὲ ἐπιχείρημά ἐστι τοιοῦτον· ὁ οὐρανὸς τῆς γῆς πλεῖστον διέστηκεν· εἰ γὰρ καὶ μείζονα

---

3 ἐν τόπῳ τοπικόν, τὸ eicias 6 τῷ ex τὸ corr. P καὶ om. K 7 τὸ κτίσμα K 8 πολελεμίους P 9 ἐναντίως (pr. l.) P εἰ scripsi: ἢ libri 11 σεληνικῆς P 13 κοίλως H ante μεταβ. add. οὐ HKP; correxi ex Laur. 72,5 15 σελήνης K[1] 17 τῷ] τοῦ HKP: τὸ Laur. 72,5 19 τὸ δὲ — φύσιν in mrg. suppl. P 20 δεῖ — ἐναντία ex Laur. 72,5 inserui 21 ὦσι scripsi: εἰσι libri μάχονται HK 22 ὁ om. K ἐνίττ. P 23 περὶ τὸν τ. δοκεῖ ὑπ. Arist. (cf. v. 28) 24 γὰρ inserui τοῦ scripsi: τὸ libri 28 ἡ ἐν. τοῦ ποσοῦ π. τ. τόπον δοκ. Arist. (cf. v. 23) 32 καὶ iter. H 34 διέστικε H

διάστασιν τῆς ἐκ τοῦ κέντρου ἔστι λαβεῖν, τὴν ὅλην διάμετρον, ἀλλ' ὡς κύκλος κέντρου καὶ πέριξ μέσου πλεῖστον διέστηκε· τὰ δὲ πλεῖστον διεστῶτα ἐναντία· ὁ οὐρανὸς ἄρα τῇ γῇ ἐναντίος. ὅτι δὲ ἐναντίος, δῆλον· τὸ γὰρ συμβὰν τούτοις, λέγω δὲ ἡ πλείστη διάστασις, ὁρισμὸς γέγονε τῶν ἐναντίων. 5 πρὸς ὅ φαμεν ὅτι οὐκ ἀρκεῖ ἡ πλείστη διάστασις πρὸς τὸ ποιῆσαι τὰ ἐναντία· εἰ γὰρ τῇ πλείστῃ διαστάσει τὰ ἐναντία κρίνεται καὶ ἐκ τούτου δείκνυται ὁ οὐρανὸς τῇ γῇ ἐναντίος, ἐπειδὴ μείζω τῆς ἐκ τοῦ κέντρου πρὸς τὸν κύκλον διαστάσεως ἔστι λαβεῖν, τὴν ὅλην τοῦ κύκλου διάμετρον, ἔσται τὰ πρὸς ἡμᾶς ἄνω καὶ κάτω μᾶλλον ἐναντία, τοῦτ' ἔστι τὸ ὑπὲρ γῆν 10 ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν, ὡς τὴν ὅλην διάμετρον διεστῶτα, ἤπερ τὰ πρὸς τὴν φύσιν, τοῦτ' ἔστιν ὅλος ὁ οὐρανός, ἐφ' ὃν ᾄττει τὰ κοῦφα, καὶ ἡ γῆ, ἐφ' ἣν βρίθει τὰ βαρέα, μόνην τὴν ἐκ τοῦ κέντρου ⟨διάστασιν⟩ διεστῶτα· διπλασία γὰρ ἡ πᾶσα τοῦ κύκλου διάμετρος τῆς ἐκ τοῦ κέντρου πρὸς τὸν | κύκλον 263r διαστάσεως. ἀλλὰ καὶ τὸ πῦρ οὐκέτι τῷ ὕδατι ἐναντίον ἔσται, ἀλλὰ 15 μᾶλλον τῇ γῇ πλεῖστον διεστώσῃ· πρῶτον μὲν γὰρ πῦρ, εἶτα ἀήρ, μετ' αὐτὸν ὕδωρ καὶ τότε ἡ γῆ. οὐκέτι οὖν κατὰ τὰς ποιότητας ἐναντία ἀλλήλοις εἰσὶ πῦρ καὶ ὕδωρ διὰ τὸ τὸ μὲν πῦρ θερμὸν εἶναι καὶ ξηρὸν τὸ δὲ ὕδωρ ὑγρὸν καὶ ψυχρόν, ἀλλὰ πῦρ καὶ γῆ μᾶλλον ἐναντία διὰ τὸ πλεῖστον ἀλλήλων διεστάναι, εἴπερ ποιήσομεν τὰ πρὸς ἡμᾶς ἄνω καὶ κάτω μᾶλλον 20 ἐναντία ὡς διπλασίονα διάστασιν ἀφεστηκότα τοῦ φύσει ἄνω καὶ κάτω, τὴν ὅλην διάμετρον. οὐκ ἀρκεῖ οὖν τὸ τοπικῶς διεστάναι πλεῖστον, ἀλλὰ καὶ τῇ φύσει δεῖ πλεῖστον διεστάναι. καὶ οὐδὲ τοῦτο ἀρκεῖ μόνον· ἰδοὺ γὰρ οὐσία καὶ συμβεβηκὸς καὶ ὂν καὶ μὴ ὂν τῇ φύσει πλεῖστον διεστήκασι καὶ οὐκ εἰσιν ἐναντία, τοὐναντίον δὲ καὶ σωστικὴ ἡ οὐσία τοῦ συμβεβηκότος 25 ἐν αὐτῇ τὸ εἶναι ἔχοντος. ἀλλὰ χρὴ καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεσθαι. καὶ οὐδὲ τοῦτο ἀρκεῖ μόνον· ἰδοὺ γὰρ λευκότης καὶ θερμότης ὑπὸ ἓν γένος ἀνάγονται καὶ οὐκ εἰσιν ἐναντία. ἀλλὰ δεῖ αὐτὰ καὶ ἐν ἑνὶ ὑποκειμένῳ εἶναι· θερμότης γὰρ καὶ λευκότης οὐκ εἰσιν ἐν ἑνὶ ὑποκειμένῳ· ἡ μὲν γὰρ θερμότης ἐν ἀποίῳ σώματι ἡ δὲ λευκότης ἐν πεποιωμένῳ σώματι ὡς 30 δευτέρα ποιότης· πρῶτον γὰρ ἐν ἀποίῳ σώματι ἐπιγίνεται θερμότης ἢ ψυχρότης ἢ ξηρότης ἢ ὑγρότης, καὶ τότε λευκότης ἢ μελανία. ἀλλ' οὐδὲ τοῦτο ἀρκεῖ· ἰδοὺ γὰρ ἡ λευκότης ἡ ἐν κύκνῳ καὶ ἡ μελανία ἡ ἐν κόρακι ἐν ἑνὶ ὑποκειμένῳ εἰσίν (ἐν γὰρ πεποιωμένῳ σώματι), καὶ οὐκ εἰσιν ἐναντία, ἐπειδὴ οὐ μεταβάλλονται εἰς ἄλληλα· δεῖ οὖν καὶ εἰς ἄλληλα μετα- 35 βάλλειν. οὐκ ἀρκεῖ οὖν ἐπὶ τῶν ἐναντίων ἡ τοπικὴ πλείστη διάστασις, ἀλλὰ χρεία καὶ τῇ φύσει πλεῖστον διεστάναι καὶ τὰ ἄλλα τὰ εἰρημένα ἔχειν, ἵνα γένωνται ἐναντία· εἰ μὴ γὰρ ταῦτα πάντα συνδράμῃ, οὐκ εἰσιν ἐναντία. ἀλλὰ ταῦτα τείνει ἤτοι ἁρμόζει πρὸς Πλάτωνα τὰ λεχθέντα ἐπι-

1 τῆς K[1]: τὴν HK[2]P ἔστι — κέντρου (2) in mrg. suppl. P[2] τὴν ὅλην om. P
7 μείζω scripsi: μείζων libri 8 διάμετρον] διάστασιν K 9 ἔσται] ἔστι KP
10 ἤπερ] εἴπερ H 12 διάστασιν inserui 16 οὖν] γὰρ KP ποιότιτας H
19 post μᾶλλον add. δὲ K 21 ante οὐκ add. καὶ H 30 ἐπιγίν.] γίνεται H
34. 35 μεταβάλειν K 36 τῇ] αὐτῇ H[1] 38 Πλάτωνα] cf. Tim. p. 31 B sq.

χειρήματα ὑπὸ τῶν κατασκευαζόντων ὅτι ἐναντίος ὁ οὐρανὸς τῇ γῇ ὡς πλεῖστον διεστὼς τῷ τόπῳ· ἕπεται γὰρ τῷ Πλάτωνι τὰ ἐναντία ὁρίζοντι τῇ πλείστῃ τοῦ τόπου διαστάσει μὴ λέγειν τὸ ὕδωρ τῷ πυρὶ ἐναντίον κυρίως ἐναντίον ἀλλὰ τὴν γῆν τῷ πυρὶ ἐναντίαν ὡς πλεῖστον διεστῶσαν·
5 τὰ γὰρ πλεῖστον ἀλλήλων διεστῶτα κατ' αὐτὸν ἐναντία, τὰ δὲ τῇ θέσει μέσα καὶ τῇ φύσει μέσα λέγονται. καὶ ταῦτα μὲν περὶ τοῦ δευτέρου ἰδίου τοῦ ποσοῦ.

Τὰ δὲ δύο ἴδια τοῦ ποσοῦ, τὸ μετρεῖσθαί φημι καὶ τὸ μηδὲν ἔχειν ἐναντίον, ἀπεκύησαν ἡμῖν ἄλλα δύο ἴδια, τὸ μὲν μηδὲν ἐναντίον ἔχειν τὸ
10 μὴ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι, τὸ δὲ μετρεῖσθαι τὸ ἴσον καὶ | ἄνισον· τὰ γὰρ τῷ αὐτῷ μετρούμενα εἰ μὲν ἰσάκις μετρεῖται, λέγεται ἴσα, 263v εἰ δὲ ἀνισάκις, λέγεται ἄνισα. * * τοῦ ποσοῦ, τὸ ἴσον φημὶ καὶ ἄνισον· καὶ μόνῳ γὰρ τῷ ποσῷ ἁρμόζει καὶ παντὶ καὶ ἀεί, τῶν ἄλλων ἰδίων τοῦ ποσοῦ καὶ τῇ οὐσίᾳ ὑπαρχόντων· κυρίως γὰρ ἐπὶ ποσοῦ τὸ ἴσον καὶ ἄνισον
15 λέγεται, ἐπὶ δὲ ποιοῦ τὸ ὅμοιον καὶ ἀνόμοιον· κατεχρήσατο γὰρ ὁ ποιητὴς ἐπὶ διαθέσεως εἰπὼν

ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι.

ἐπὶ δὲ τῆς οὐσίας τὸ ταὐτὸν καὶ θάτερον ἁρμόζει λέγειν. ἀλλ' ⟨εἰ⟩ ἐπὶ ποσοῦ, τινές φασι, κυρίως ἴδιον τὸ ἴσον καὶ ἄνισον ὡς παντὶ ποσῷ ἴδιον
20 ὑπάρχον, πῶς λέγομεν μονάδας ἴσας καὶ σημεῖα ἴσα; ἀεὶ γὰρ ταῦτα ποσὰ ὄντα ἴσα εἰσίν, ἄνισα δὲ οὐδέποτε γίνονται. πρὸς ὅ φαμεν ὅτι διττὸν τὸ ἴσον, τὸ μὲν πεφυκὸς ἀνισοῦσθαι, οἷον ἐπὶ δύο εὐθειῶν ἐὰν ἡ μία εὐθεῖα λάβῃ προσθήκην, μείζων γίνεται τῆς ἑτέρας, τὸ δὲ μὴ πεφυκὸς ἀνισοῦσθαι, ὡς αἱ μονάδες· αὗται γὰρ ἴσαι εἰσὶ μόνως μὴ δυνάμεναι γενέσθαι ἄνισοι·
25 προσθήκην γὰρ λαμβάνουσα ἡ ἑτέρα μονὰς μείζων οὐ γίνεται τῆς ἑτέρας. τὸ οὖν ἴσον τὸ μὴ πεφυκὸς ἀνισοῦσθαι ταῖς μονάσιν ἁρμόζει καὶ τοῖς σημείοις. ἢ ὅτι οὐδὲ ποσὰ ταῦτα κυρίως οὐδὲ τὸ ἴσον αὐτοῖς ἁρμόζει διὰ τοῦτο, ἀλλ' εἰ ἄρα τὸ ταὐτόν. καὶ ὅτι ἀρχαὶ ποσοῦ τὸ μὲν διωρισμένου τὸ δὲ συνεχοῦς. ταῦτα καὶ περὶ ποσοῦ.

30
Ἀρχὴ τῶν πρός τι.

p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται.

Ἐπειδὴ τὰ πρός τι καὶ λέγεται καὶ διδάσκεται καὶ ἔστι καὶ γένος ἐστὶ καὶ συναριθμεῖται ταῖς δέκα κατηγορίαις ἰσάριθμα τούτοις κεφάλαια
35 ζητήσωμεν· ⟨ἐπειδὴ μὲν λέγεται, ζητήσωμεν⟩ περὶ τῆς ἐπιγραφῆς αὐτῶν

---

4 κυρίως ἐναντίον om. K 9 μὲν om. K 11 ante ἄνισον add. τὸ KP 12 defectum signavi, suppleveris τοῦτο δὲ μάλιστα ἂν εἴη ἴδιον 15 λέγεται] γίνεται H[1] ὁ ποιητὴς] Hom. P 720 18 λέγων P εἰ ex Laur. 72,5 inserui 20 ὑπάρχων H 23 μεῖζον P 27 ante ποσὰ add. τὰ H 28 εἰ scripsi: ἢ libri 35 ἐπειδὴ — ζητήσωμεν inserui αὐτῶν superscr. H

πῶς δεῖ ἐπιγράφειν, Περὶ τοῦ πρός τι ἑνικῶς ἢ Περὶ τῶν πρός τι πληθυντικῶς, ὡς ὁ Ἀριστοτέλης πανταχοῦ, κἂν ταῖς ὑπογραφαῖς λέγων πρός τι δὲ τὰ τοιαῦτα λέγεται κἂν τοῖς ἰδίοις ἴδιον δὲ τῶν πρός τι. ἐπειδὴ δὲ διδάσκεται, ζητήσωμεν ποίῳ τρόπῳ κέχρηται διδασκαλίας, ἆρα 5 οἵῳ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ἢ ἑτέρῳ. ἰστέον ὅτι ἀπεξενωμένῃ παρὰ τὴν εἰωθυῖαν αὐτῷ κέχρηται διδασκαλίᾳ. ἐπειδὴ δὲ ἔστι τὰ πρός τι, ζητήσωμεν περὶ τῆς φύσεως ἤτοι ὑπάρξεως αὐτῶν, πῶς εἰσιν, ἆρα φύσει ἢ ἡμεῖς αὐτὰ ποιοῦμεν· δόξα γάρ τις γέγονεν ἡ λέγουσα μὴ εἶναι τὰ πρός τι φύσει, ἀλλ' ἐκ τῆς πρὸς ἡμᾶς γίνεσθαι αὐτὰ σχέσεως. ἐπεὶ τοίνυν 10 γένος ἐστί, ζητήσωμεν τὰ εἴδη αὐτῶν ἤτοι ἀπαριθμησώμεθα· ὅπου γὰρ γένος, πάντως καὶ εἶδος. ἐπειδὴ δὲ συνηρίθμηται ταῖς ἄλλαις κατηγορίαις, τὴν τάξιν αὐτῶν τὴν πρὸς τὰς λοιπὰς κατηγορίας ζητήσωμεν. ὅθεν καὶ δεῖ ἄρξασθαι διὰ τὴν τοῦ λόγου συνέχειαν ἀπὸ τοῦ πέμπτου, ἵνα τὸ πέρας τῶν φθασάντων ἀρχὴ τῶν | μελλόντων γένηται. τοῦ δὲ πέμπτου πρώτου 264r 15 γενομένου καὶ τὰ λοιπὰ ὑποποδιζόντων ἡμῶν τὴν αὐτὴν ἐχέτω τάξιν, τὸ τέταρτον δεύτερον, τὸ τρίτον τρίτον, τὸ δεύτερον τέταρτον, τὸ πρῶτον πέμπτον.

Τρεῖς τοίνυν δόξαι γεγόνασι περὶ τῆς τάξεως αὐτῶν· Ἀνδρόνικος μὲν μὲν γὰρ ὁ Ῥόδιος τελευταίαν ἀπονέμει τοῖς πρός τι τάξιν, λέγων αἰτίαν 20 τοιαύτην· τὰ πρός τι ὕλην οἰκείαν οὐκ ἔχει (παραφυάδι γὰρ ἔοικεν οἰκείαν φύσιν μὴ ἐχούσῃ ἀλλὰ παραπλεκομένῃ τοῖς ἔχουσιν οἰκείαν ῥίζαν), αἱ δὲ ἐννέα κατηγορίαι οἰκείαν ὕλην ἔχουσιν· εἰκότως οὖν τελευταίαν ὤφειλον ἔχειν τάξιν. Ἀρχύτας δὲ ὁ Ταραντῖνος τετάρτην ἀπονέμει αὐτοῖς τάξιν, ἐπειδὴ οὐσία καὶ ποιὸν καὶ ποσὸν καθ' αὑτά εἰσι, τὰ δὲ πρός τι σχετικά 25 εἰσι, προηγεῖται δὲ τὰ καθ' αὑτὰ τῶν ἐν σχέσει· πρῶτον γὰρ γίνεταί τις ἄνθρωπος καὶ τότε πατήρ, πρῶτον γίνεται ἀριθμὸς καὶ τότε διπλάσιος ὡς ἀριθμός. Ἀριστοτέλης δὲ ἐν τῇ ἀπαριθμήσει τετάρτην αὐτοῖς καὶ αὐτὸς ἀπονέμει τάξιν δι' ἣν αἰτίαν εἶπεν Ἀρχύτας, ἐν δὲ τῇ διδασκαλίᾳ τρίτην αὐτοῖς ἀπονέμει τάξιν διὰ τέσσαρας αἰτίας. ὧν ἡ πρώτη τοιαύτη ἐστίν· 30 ἐπειδὴ κατέληξεν ὁ περὶ ποσοῦ λόγος εἰς τὸ ἴσον καὶ ἄνισον, ταῦτα δὲ πρός τι. δευτέρα, ὅτι ἐδεήθημεν τοῦ ὁρισμοῦ τῶν πρός τι ἐν τῷ περὶ ποσοῦ λόγῳ, ἡνίκα ἐδείκνυμεν τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον μὴ ὄντα ποσὰ ἀλλὰ τῶν πρός τι. τρίτη αἰτία, ἵνα μὴ ὃ πεπόνθαμεν ἐν τῷ περὶ ποσοῦ λόγῳ καὶ εἰς τὰς ἐν αὐτῷ σχέσεις, τὸ μέγα φημὶ καὶ τὸ μικρὸν 35 καὶ πολὺ καὶ ὀλίγον, καὶ ὑπὸ τὸ ποσὸν ἀνήγομεν αὐτὰ δι' ἄγνοιαν τῶν

---

1 ἑνικῶς—πρός τι om. P 2 ὡς—πρός τι eicias; cf. p. 206,4 3 ἴδιον δὲ τῶν πρός τι apud Arist. non legitur τῶν] τὸν HP¹ 5 ἰστέον—διδασκαλίᾳ (6) eicias 6 διδασκαλίαν HK¹P 11 παντὸς P ἄλαις H 12 λοιπὰς] ἄλας (sic) H 15 ὑποποδειξόντ. H 19 τοῖς b: τῶν HKP 21 περιπλεκ. K 24 εἰσι—αὐτὰ (25) in mrg. suppl. P² 27 ἐν τῇ ἀπαριθ.] p. 1b26 αὐτοῖς superscr. H 28. 29 ante τάξιν additum δόξαν del. H (utrobique) 28 δι' ἣν—τάξιν (29) (εἶπεν om.) in mrg. suppl. P² 29 ἀπονέμοι H 30 κατέλιξεν H τοῦ ποσοῦ K 32 ἐδείκνυμεν] p. 196,13 35 ἀνάγομεν KP

πρός τι, τὸ αὐτὸ πάθωμεν καὶ ἐπὶ τῆς ποιότητος καὶ τὸ ὅμοιον καὶ ἀνόμοιον νοήσωμεν ποιότητος εἶναι, μὴ ὄντα κατ' ἀλήθειαν ἀλλὰ τῶν πρός τι· τὸ γὰρ ὅμοιον ὁμοίῳ ὅμοιον καὶ τὸ ἀνόμοιον ἀνομοίῳ ἀνόμοιον λέγεται. τετάρτη αἰτία, ὅτι καὶ αὐτὰς τὰς ποιότητας δόξα τις ἔλεγε μὴ εἶναι καθ' 5 αὑτὰς ἀλλὰ τῶν πρός τι, ἡ λέγουσα νόμῳ γλυκὺ νόμῳ πικρὸν καὶ θερμόν· τὸ γὰρ πῦρ οὐ καθ' αὑτὸ θερμόν (τῇ γὰρ σαλαμάνδρᾳ οὐ θερμόν), οὐδὲ τὸ μέλι γλυκύ· τῷ γὰρ ἰκτεριῶντι πικρόν. εἰ οὖν καὶ αὗται αἱ ποιότητες τῶν πρός τι, πῶς οὐ δικαίως τρίτην σχοῖεν τὰ πρός τι τάξιν; ἐν οἷς ἡ θεωρία.

10 p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται.

Δεύτερον ἦν κεφάλαιον ἀπαριθμήσασθαι τὰ εἴδη τῶν πρός τι. δέκα τοίνυν τὰ εἴδη τῶν πρός τι, ταυτότης, ἀνισότης, γένεσις, μέθεξις, ὕφεσις, πεῖσις, κρίσις, θέσις, ἀσυμμετρία, ἡ πρὸς τὸ γένος ἀναφορά· ἐπὶ τοῦ ποσοῦ γὰρ μόνου τὴν διαιρετικὴν ἐφύλαξε τάξιν ὁ Ἀριστοτέλης διελὼν εἰς συνεχὲς καὶ 15 διωρισμένον, | οὐ μὴν καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν, ἀλλὰ μόνον ἀπαριθμεῖται τὰ εἴδη καὶ τὰ σημαινόμενα αὐτῶν. καὶ εἰκότως, ἐπειδὴ σκοπὸς ταῖς Κατηγορίαις οὐ τὴν φύσιν τῶν πραγμάτων καθὸ πράγματα διδάξαι, ἀλλὰ καθὸ τοιῶσδε ὀνομάζονται. διὸ οὐδὲ τὴν διαίρεσιν κατὰ τάξιν εἰς ἀντιδιαιρούμενα πεποίηκε, καὶ ἡ αἰτία εἴρηται. ἣν δὲ ἔχουσι τάξιν φυσικὴν 20 αἱ κατηγορίαι ἐν τῇ προόδῳ, τοιαύτην ἔχουσι καὶ τὰ πρός τι· ἐν αὐταῖς γὰρ ἔχουσι τὸ εἶναι. μνησθεὶς δὲ ἑνὸς ἀφ' ἑκάστης ἀντιθέσεως κελεύει καὶ τὸ λοιπὸν ἐννοεῖν ἡμᾶς, οἷον μνησθεὶς ταυτότητος ἑτερότητα ἐπιτρέπει νοεῖν σε, καὶ ἐπὶ ἀνισότητος ὡσαύτως καὶ τῶν λοιπῶν ἀντιθέσεων ἀναλόγως. ταὐτὸν καὶ θάτερον οὐσίαι, ταυτότης δὲ καὶ ἑτερότης πάθη οὐσιῶν· τὰ οὖν 25 μετέχοντα τῆς ταυτότητος διὰ τὴν ὁμοιότητα καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχονται, καὶ τὰ μετέχοντα τῆς ἑτερότητος ἀνομοίως τὸν ὁρισμὸν τῆς ἑτερότητος ἐπιδεχόμενα· καὶ ταῦτα οὖν κἂν ἑτερότητα ἔχωσι, πρὸς κοινώνυμον λεχθήσονται. καὶ ἐπὶ τῶν λοιπῶν ἀντιθέσεων ἀναλόγως νοητέον· καὶ τὰ ἀνόμοια γὰρ ἀνόμοια ὡς ἕνα ὁρισμὸν ἐπιδεχόμενα τὸν τῆς ἀνομοιό- 30 τητος. κἂν παρέλιπεν ὁ Ἀριστοτέλης τὴν διαίρεσιν κατὰ τὴν τάξιν τῶν γενικωτάτων καὶ ὑπαλλήλων καὶ μέχρι τῶν ἀτόμων προαγωγὴν ἐπὶ τῶν κατηγοριῶν, ὁ τεχνίτης καὶ ταύτην θηρᾷ διὰ μεθόδου τεχνικῆς. ἔστι δὲ ταὐτότης μέν, ὅταν πρὸς κοινώνυμον γίνηται ἡ σύγκρισις, οἷον φίλος φίλου φίλος, ἐχθρὸς ἐχθροῦ ἐχθρός· οὐδὲ γὰρ ὁμώνυμα ταῦτα λεκτέον (ἔχουσι

264v

3 καὶ τὸ ἀνόμ. ἀνομ. ἀνόμοιον om. KP 4 λέγει K 8 τρίτη P τὰ om. K 11 ἦν] οὖν H[1]P τὰ om. HP 14 γὰρ scripsi: καὶ libri μόνον H διαιρετηκὴν HP τάξιν in mrg. suppl. H 18 διὸ — τεχνικῆς (32) eicias 20 ἔχουσι—πρός τι om. KP καὶ] κατὰ H[1] 21 γὰρ om. K 22 ἐπιτρέπειν HP 26 τῆς ἑτερ.—ὁρισμὸν om. (in mrg. ἀνομίας τὸν ὁρισμὸν m.[2] add.) P 27 ἐπιδεχ.] γρ. ἐπιδέχονται in mrg. K[2] ταῦτα] αὐτὰ HP 30 περιέλιπεν H[1] 31 μέχρη HP[1] προαγωγὴ HP 33 γένηται K 34 λεκταίον H

γὰρ πρᾶγμα κοινόν, τὴν φιλίαν), οὐδὲ συνώνυμα· οὐδὲ γὰρ αὐτά τινος νῦν κατηγορήσαμεν οὐδὲ ἄλλο τι αὐτῶν κατηγορήσομεν. ἀνισότης δέ, ὅταν τὸ μεῖζον ἐλάττονος μεῖζον ᾖ καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον, γένεσις δὲ ⟨ὡς⟩ πατὴρ υἱοῦ πατήρ, μέθεξις δέ, ὡς τὸ μετέχον μετεχομένου μετέχει καὶ τὸ μετε-
5 χόμενον ὑπὸ τοῦ μετέχοντος μετέχεται, ὕφεσις δὲ ὡς δεσπότης δούλου δεσπότης, πεῖσις δέ, ὅταν ὁ τύπτων τυπτόμενον τύπτῃ καὶ ὁ τυπτόμενος ὑπὸ τοῦ τύπτοντος τύπτηται, κρίσις δέ, ὅτι ἐπιστήμη ἐπιστήμονος ἐπιστήμη (τὸ γὰρ κρίνειν ἐπιστήμης), θέσις δέ, ὅτι τὸ ἀριστερὸν δεξιοῦ ἀριστερὸν καὶ τὸ δεξιὸν ἀριστεροῦ δεξιόν, ἀσυμμετρία δέ, ὅταν εἴπωμεν ὅτι ὃ ἀδύνατον ὑφ' ἡμῶν
10 ὁρᾶσθαι, τοῦτο καὶ ἡμεῖς ἀδυνατοῦμεν ὁρᾶν, ὡς τὸ ἐν βυθῷ ὄστρακον καὶ τὸν ἀέρα ἀχρωμάτιστον ὄντα· ταῦτα γὰρ ἀδυνάτως ἔχει ὑφ' ἡμῶν ὁραθῆναι, καὶ ἡμεῖς ἀδυνατοῦμεν αὐτὰ ὁρᾶν. διὰ δὲ τὴν πρὸς τὸ γένος ἀναφοράν, ὅταν τὴν γραμματικὴν εἴπωμεν τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἐπιστήμην· οὐδεὶς γὰρ λέγει 'γραμματική ἐστι τῶν ὀκτὼ | μερῶν τοῦ λόγου' 265r
15 ἀλλὰ 'γραμματική ἐστιν ἐπιστήμη τῶν ὀκτὼ μερῶν τοῦ λόγου'· ἡ γὰρ ἐπιστήμη τῶν πρός τι, ἡ δὲ γραμματικὴ οὐ τῶν πρός τι ἀλλὰ ποιότης καὶ καθ' αὑτήν. καὶ οἶδεν ὁ Ἀριστοτέλης τὸ τοιοῦτον σημαινόμενον τῶν πρός τι ἐπιτελεῖν τῆς ποιότητος τὸ διὰ τὴν τοῦ γένους ἀναφοράν· οὕτω γὰρ καὶ ἡ ἀνάκλισις οὐ δι' ἑαυτὴν τῶν πρός τι, ἀλλ' ὡς θέσις· πᾶσα γὰρ θέσις
20 τῶν πρός τι. καὶ ἡ γραμματικὴ οὖν οὐ δι' ἑαυτὴν τῶν πρός τι, ἀλλὰ διὰ τὸ γένος, φημὶ τὴν ἐπιστήμην. διὸ καὶ ἀποροῦσιν, εἰ τὰ τῶν ἐπάνω κατηγορούμενα καὶ τῶν ὑποκάτω κατηγορεῖται ἐξ ἀνάγκης (ὡς τὸ ζῷον ἐπειδὴ ἀνθρώπου κατηγορεῖται, ἐξ ἀνάγκης καὶ Σωκράτους), διὰ τί τὰ πρός τι κατηγορούμενα τῆς ἐπιστήμης μὴ καὶ τῆς γραμματικῆς κατηγορεῖται.
25 καὶ λέγομεν ὅτι ἡ ἐπιστήμη τῆς γραμματικῆς ὡς ποιότης κατηγορηθήσεται, ἡ δὲ ποιότης καθ' αὑτὴν καὶ οὐ πρός τι· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη καθ' αὑτὴν μὲν ποιότης ὡς ἕξις ἐν ψυχῇ ἤτοι διάθεσις, πρὸς ἄλλο δὲ ἡ ἐπιστήμη καὶ ἡ τέχνη τῶν πρός τι· ἐπιστητοῦ γὰρ καὶ τεχνητοῦ. διὸ καὶ ἡ γραμματικὴ ποιότης καθ' αὑτὴν καὶ οὐ ⟨τεχνητοῦ⟩ τέχνη.

30 Δυνατὸν δὲ ταῦτα καὶ ἀντιτεταγμένως διελεῖν καὶ τεχνικῶς, ὅτι τῶν πρός τι τὰ μὲν φύσει, ὡς πατὴρ καὶ υἱός, τὰ δὲ τύχῃ, ὡς δοῦλος καὶ δεσπότης, τὰ δὲ τέχνῃ, ὡς ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη, τὰ δὲ προαιρέσει, ὡς φίλος φίλου φίλος. δυνατὸν δὲ ὑπὸ ταῦτα τὰ τέσσαρα ἀναγαγεῖν τὰ δέκα τὰ λεχθέντα πρῶτον. ἐν οἷς καὶ τὸ δεύτερον κεφάλαιον.

35 Τρίτον ἦν κεφάλαιον τὸ ζητῆσαι περὶ τῆς ὑπάρξεως αὐτῶν, ἆρα φύσει εἰσὶν ἢ ἡμεῖς ποιοῦμεν αὐτά· διάφοροι γὰρ δόξαι γεγόνασιν· οἱ μὲν γὰρ πάντα τὰ ὄντα πρός τι εἰρήκασιν, οἱ δὲ ἀμφότερα καὶ πάντα τὰ ὄντα πρὸς

---

2 κατηγορίσωμεν (alt. l.) H 3 ἡμίσεως P ὡς inserui 5 δεσπότου (alt. l.) P 6 τύπτῃ] τύπτει P ὁ τυπτόμενος] τὸ τυπτόμενον K 10 post ὄστρακον addita καὶ τὸ ἐν βυθῷ ὄστρακον del. K 13 post ἀναφορὰν fort. addas πρός τί ἐστιν 14 οὐδῆς H 18 an διελεῖν? 19 ἀλλ' — πρός τι (20) in mrg. suppl. P2 pr. θέσις] θέσεις H 21 ἀποροῦμεν K 24 καὶ μὴ coll. KP 29 τεχνητοῦ inserui 30 ἀντιτεταγμένος P1 διελθεῖν K 33 ἀνάγειν K

τι καὶ οὐδὲν τῶν ὄντων πρός τι, οἱ δὲ τινὰ μὲν πρός τι τινὰ δὲ οὐ πρός τι· Πρωταγόρας μὲν ὁ σοφιστὴς πάντα τὰ ὄντα πρός τι εἶπε λόγῳ τοιούτῳ χρώμενος· ἕκαστον, φησί, πρὸς ἄλλο παραβαλλόμενον τὴν οἰκείαν ἀπολαμβάνει φύσιν· ὁ γὰρ τράχηλος τῆς περιστερᾶς ὁ μέλας τῷ ἐν σκιᾷ ὁρῶντι 5 μέλας φαίνεται τῷ δὲ ἐν φωτὶ ὁρῶντι ἡλιοειδὴς καὶ φοινικοῦς ὁρᾶται. καὶ τὸ πῦρ οὐ πᾶσι θερμόν· τῷ γὰρ ξύλῳ θερμὸν τῇ δὲ σαλαμάνδρᾳ οὐ θερμὸν οὐδὲ τῷ ἀμιάντῳ. τὸ μέλι οὐ πᾶσι γλυκύ· τοῖς γὰρ ἰκτεριῶσιν οὐ γλυκύ. πρὸς ὅ φαμεν ὅτι πρῶτον εἰσὶ τὰ πράγματα, καὶ οὕτω πρὸς ἕτερον παραβάλλονται· τὰ γὰρ χρώματα νυκτὸς μέν εἰσι χρώματα, ὁρατὰ δὲ οὔκ εἰσιν. ἐκέχρητο δὲ 10 καὶ δευτέρῳ λόγῳ λέγων οὕτως· αἱ φυσικαὶ τῶν πραγμάτων εἰκόνες, λέγω δὴ τὰ κατοπτρικὰ εἴδωλα, ὁρῶντι μὲν εἰσί, μὴ ὁρῶντι δὲ οὐκ εἰσίν. ἀλλ' ὁ αὐτὸς λόγος καὶ πρὸς ταῦτα· πρῶτον γὰρ εἰσὶ τὰ | πράγματα, καὶ τότε 265v γίνονται ὁρατά. τούτοις πεισθεὶς ὁ Πρωταγόρας ἐκέχρητο ταῖς μεγαληγορίαις ταῖς τρισὶ ταύταις, φάσκων οὕτως· ʽπάντων χρημάτων μέτρον ὁ ἄνθρωποςʼ, 15 ʽὡς φαίνεται τὰ πράγματα, οὕτω καὶ ἔστιʼ, ʽτὸ δοκοῦν ἑκάστῳ ἀληθέςʼ. οὐ περὶ τοῦ αὐτοῦ δὲ εἴρηται πάντα, ἀλλὰ τὸ μὲν περὶ τοῦ γινώσκοντος ὅτι μέτρον πάντων χρημάτων ὁ ἄνθρωπος, τὸ δὲ περὶ ⟨τοῦ⟩ γινωσκομένου τὸ λέγον ὅτι οἷα φαίνεται τὰ πράγματα, τοιαῦτα καὶ ἔστι, τὸ δὲ περὶ τῆς γνώσεως αὐτῆς τὸ λέγον ὅτι τὸ δοκοῦν ἑκάστῳ ἀληθές. πρὸς ὅ φαμεν ὅτι οὐ 20 μέτρον πάντων χρημάτων ὁ ἄνθρωπος· κατὰ μίαν γὰρ αἴσθησιν, ὡς μεμαθήκαμεν ἐν τοῖς προλαβοῦσι, προὔχει τῶν ἄλλων ζῴων ὁ ἄνθρωπος, λέγω δὴ τὴν ἁφήν (διὸ καὶ ἄτριχον τὸ θέναρ ἐδημιούργησεν ἡ φύσις, ἵνα μὴ ἐν ταῖς μαντείαις ἐμποδίζηται, λέγω δὴ τοῖς σφυγμοῖς)· κατὰ γὰρ τὰς ἄλλας αἰσθήσεις νικᾶται ὑπὸ τῶν ἄλλων ζῴων, κατὰ μὲν τὴν ὄψιν ὑπὸ τοῦ 25 ἀετοῦ, κατὰ δὲ τὴν ἀκοὴν ὑπὸ τῶν χηνῶν, κατὰ δὲ τὴν γεῦσιν ὑπὸ γαλῆς. ἀλλ' οὐδὲ ὡς ὁρᾶται τὰ πράγματα, οὕτω καὶ ἔστιν· ἰδοὺ γὰρ ὁ ἥλιος ποδιαῖος φαίνεται ὁ ἑκατοντάκις ἑβδομηκονταπλασίων τῆς γῆς ὤν, καὶ ἡ κώπη κεκλασμένη ὁρᾶται ἐν τῷ ὕδατι μὴ οὖσα κεκλασμένη. ἀλλ' οὐδὲ τὸ δοκοῦν ἑκάστῳ ἀληθές ἐστι· τί γὰρ ποιήσομεν τοὺς παραφρονοῦντας, 30 οἵτινες ὀστρακίνους ἑαυτοὺς νομίζουσι καὶ δοκοῦσιν ἀποφεύγειν, μὴ ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσῃ τοῦ Ἄτλαντος αὐτὸν διὰ τὸν κάματον ἀποσεισαμένου; ἤδη δὲ καὶ Πλάτωνι εὐθύνας δέδωκεν αὕτη ἡ δόξα· φησὶ γὰρ πρὸς αὐτοὺς ὁ Πλάτων· ʽἡμεῖς, Πρωταγόρα, λέγοντές σε ψεύδεσθαι, ἀληθεύομεν ἢ ψευδόμεθα; εἰ μὲν γὰρ ἀληθεύομεν ἡμεῖς, ψεύδῃ καὶ ἔστι τὸ ψεῦδος, εἰ δὲ ψευδόμεθα, 35 καὶ οὕτως ἔστι τὸ ψεῦδοςʼ. διὸ καὶ ἐπάγει ὅτι Πρωταγόρας κἂν ἀληθεύῃ, ψεύδεται, κἂν ψεύδηται, ψεύδεται, πάντως ἄρα ψεύδεται.

2 Πρωτ.] cf. Philop. p. 103,32 8 πρῶτον b: πρῶτα HKP (cf. v. 13) μεταβάλλ. H[1] 11 κατοπτηρικὰ H: κατοπτρητικὰ K: κατοπηρικὰ P 12 πρὸς καὶ coll. P 13 ὁρατά om. K 16 δὲ superscr. K: om. P 17 τοῦ inserui 18 ὅτι om. KP εἰσί H 19 λέγων H 20. 21 μεμαθήκαμεν] spectare videtur p. 147,20 27 τῆς γῆς] αὐτῆς H 28 κόπη H ὁρᾶται — κεκλασμένη in mrg. suppl. P[2] οὐδὲ scripsi: οὔτε libri (cf. v. 26) 29 ποιήσωμεν H 32 Πλάτωνι] cf. p. 110,3 34 εἰ μὲν — ψευδόμεθα in mrg. suppl. P[2] μὲν om. P γὰρ om. K 35 ἀληθεύει H 36 κἂν ψεύδ. ψεύδεται om. K

Ἄλλοι δέ φασιν ὅτι οὐδὲν τῶν ὄντων πρός τι· ἡ γὰρ φύσις πάντα καθ' αὑτὰ ἐποίησε, τάξεως τῶν πρός τι μὴ φροντίσασα, ὥσπερ καὶ ὁ τέκτων ἐντίθησι τὰς δοκοὺς τῇ ὀροφῇ μὴ φροντίσας ποία δεξιὰ ἢ ποία ἀριστερά, ἀλλ' ἡμεῖς ὕστερον τὴν μὲν δεξιάν φαμεν τὴν δὲ ἀριστεράν.
5 πρὸς ὅ φαμεν ὅτι καὶ τάξεως ἐφρόντισεν ἡ φύσις· τὰ γὰρ ὑγρὰ στοιχεῖα ἐν μέσῳ τῶν ξηρῶν ἔταξεν, ἵνα συνέχηται καὶ συσχηματίζηται αὐτοῖς, καὶ τὸ ἧπαρ ἀεὶ ἐν τοῖς δεξιοῖς, καὶ τὰ οὐράνια περιέχει τὰ ὑποσέληνα, ἐπεὶ εἰ μηδὲν ἦν τῶν ὄντων πρός τι, ἀνῄρητο ἂν καὶ ἡ πρόνοια· ἡ γὰρ πρόνοια τοῦ προνοουμένου ἐστὶ πρόνοια καὶ ἡ γνῶσις γνωστοῦ ἐστι γνῶσις. ἄλλοι δὲ
10 πάντα τὰ ὄντα πρός τι εἶπον, ἐπειδὴ τὰ πρός τι οἰκείαν ὕλην οὐκ ἔχει, | ἀλλ' ἐν ταῖς ἐννέα κατηγορίαις θεωρεῖται, καὶ οὐδὲν τῶν ὄντων πρός τι, 266r ἐπειδὴ οὐδὲν μόνως πρός τι, ἀλλ' ἢ πρός τι καὶ οὐσία ἢ πρός τι καὶ ποσὸν ἢ πρός τι καὶ ποιόν. Ἀριστοτέλης δὲ τῶν ὄντων τὰ μὲν πρός τι τὰ δὲ οὐ πρός τι· οὐσία γὰρ καὶ ποιὸν καὶ ποσὸν καθ' αὑτό, τὰ δὲ ἐκ τῆς
15 τούτων συμπλοκῆς ἀναφαίνονται.

p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται.

Τέταρτον ἦν κεφάλαιον τῶν προτεθέντων τὸ ζητῆσαι τίς ἡ διδασκαλία τῶν πρός τι. ἰστέον τοίνυν ὅτι τοιούτῳ κέχρηται τρόπῳ διδασκαλίας τῷ ῥηθησομένῳ· πρῶτον ὁρίζεται τὰ πρός τι, λέγων ὅτι πρός τί ἐστιν ὅσα αὐτὰ
20 ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. αὕτη δέ ἐστιν ἡ ψευδὴς ὑπογραφὴ καὶ Πλατωνική, ἥντινα ἐλέγξει ἐν τοῖς κατὰ μέρος αὐτός. δεύτερον καταλέγει τὰ ἴδια τῶν πρός τι, τὰ ψευδῆ καὶ ἀληθῆ. τέσσαρα δὲ τῶν πρός τι ἴδια, τὸ μηδὲν ἔχειν ἐναντίον καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι καὶ τὸ ἅμα τῇ φύσει εἶναι.
25 ποῖα δὲ ἀληθῆ καὶ ποῖα ψευδῆ, προϊὼν διδάξει. τρίτον λέγει ἀνθορισμὸν αὐτῷ δοκοῦντα ὅτι πρός τί ἐστιν οἷς τὸ εἶναι ἡ πρὸς ἕτερον σχέσις. τέταρτόν ἀπορίαν τινὰ τίθησι μεταξὺ τοῦ ὁριμοῦ καὶ ἀνθορισμοῦ, ἑπομένην μὲν τῷ ὁρισμῷ λυομένην δὲ ὑπὸ τοῦ ἀνθορισμοῦ· ᾧ γὰρ ἄτοπον ἕπεται, ἐκεῖνο ἄτοπον, ᾧ δὲ μηδὲν ἄτοπον ἀκολουθεῖ, τοὐναντίον δὲ καὶ τὰ ἄλλοις
30 ἑπόμενα ἄτοπα δύναται διαλύειν, ἐκεῖνο ἀληθές. οὗτος ὁ τρόπος τῆς διδασκαλίας τῶν πρός τι. ἐν οἷς τὸ τέταρτον.

Πέμπτον ἦν κεφάλαιον ζητῆσαι πῶς δεῖ ἐπιγράφειν, Περὶ τοῦ πρός τι ἑνικῶς ἢ Περὶ τῶν πρός τι πληθυντικῶς. καὶ δεῖ εἰδέναι ὅτι ἑκατέρως δυνατόν, καὶ ἑνικῶς ἐπιγράφειν, ἐὰν πρὸς τὴν σχέσιν ἐπιβλέψωμεν (μία
35 γὰρ ἡ σχέσις), εἰ δὲ πρὸς τὰ τὴν σχέσιν ἔχοντα, πληθυντικῶς· ταῦτα γὰρ

2 τάξεως om. K; fort. τῶν πρός τι eicias (cf. v. 5) καὶ scripsi: γὰρ HP: eras. K 3 ἢ] καὶ H 8 post πρόν. addas καὶ γνῶσις 10 οὐκ om. P 16 lemma om. K 17 ἦν om. K 21 Πλατωνική] cf. Soph. p. 255 C Reipubl. p. 438 A 23 τὸ (ante ἧττον) om. K 24 ἧτον P ἀντιστρέφοντι H alt. τὸ om. K 26 ante ἕτερον add. τὸ K 27 ἑπομένειν P 29 ἐκείνω P τὰ] τοῖς K 31 τι om. P ἐν om. KP 34 ἐπιβλέψ.—σχέσιν (35) in mrg. suppl. H² 35 εἰ δὲ] καὶ ἑνικῶς εἰ K τὰ πρὸς coll. H

τοὐλάχιστον δύο· ἓν γὰρ πρᾶγμα πρός τι οὐ δύναται εἶναι. καὶ ἀληθὴς ἡ ἑνικὴ ἐπιγραφή, ἐπειδὴ καὶ ἡ σχέσις μία· ὡς γὰρ μιᾶς οὔσης τῆς σχέσεως δέκα τὰς κατηγορίας φαμέν, ὡς τοῦ πρός τι ἑνικῶς λαμβανομένου. σαφὴς δὲ ἡ πληθυντικὴ ἐπιγραφή, ὡς καὶ Ἀριστοτέλης ἐπιγράφει τὰ πρός τι
5 πανταχοῦ κἂν ταῖς ὑπογραφαῖς κἂν τοῖς ἰδίοις λέγων. οὕτως καὶ ἐπὶ τῆς ποιότητος Περὶ ποιοῦ καὶ ποιότητος ἐπιγράψας, ἵνα σαφῆ ποιήσῃ τὴν ἐπιγραφήν (ποιὸν δέ ἐστι τὸ δεδεγμένον τὴν ποιότητα), * * ἵνα ἐκ τούτου ὡς σαφεστέρου εἰς ἔννοιαν ἔλθωμεν τῶν ἀσαφῶν· ἀσαφῆ γὰρ τὰ μετεχόμενα καθ' αὑτά. ἐν οἷς καὶ τὸ ⟨πέμπτον⟩ κεφάλαιον.

10 Ἀποροῦσι δὲ λέγοντες, εἰ ἐξὸν ἐπὶ πάσης κατηγορίας τὰ πέντε ταῦτα ζητῆσαι κεφάλαια (ἑκάστη γὰρ λέγεται καὶ διδάσκεται καὶ ἔστι καὶ γένος ἐστὶ καὶ συνηρίθμηται ταῖς ἄλλαις), πῶς ἐνταῦθα ταῦτα μόνον ζητεῖται. καὶ λέγομεν | ὅτι εὐλόγως ἐνταῦθα καὶ μόνον λόγου ἔτυχον ταῦτα· 266v οὐδεμία γὰρ ἄλλη κατηγορία καὶ ἑνικῶς λέγεται καὶ πληθυντικῶς, εἰ μὴ
15 τὰ πρός τι· εὐλόγως οὖν τὴν ἐπιγραφὴν ζητοῦμεν. ἐν οὐδεμιᾷ ἄλλῃ κατηγορίᾳ [καὶ ἑνικῶς λέγεται καὶ πληθυντικῶς] καὶ ὁρίζεται καὶ ἀνθορίζεται ὁ Ἀριστοτέλης, εἰ μὴ ἐνταῦθα· διὸ εὐλόγως ζητοῦμεν τίς ὁ τρόπος ὁ διδασκαλικός. οὐδεμία ἄλλη κατηγορία παρυφίσταται ταῖς λοιπαῖς κατηγορίαις, εἰ μὴ τὰ πρός τι· εἰκότως οὖν ζητοῦμεν τὸν τρόπον τῆς ὑπάρξεως.
20 οὐδεμία ἄλλη κατηγορία δέκα εἴδη ἔχει, εἰ μὴ τὰ πρός τι· εὐλόγως ἄρα ζητοῦμεν τὴν ἀπαρίθμησιν τῶν σημαινομένων. ἐν οὐδεμιᾷ ἄλλῃ κατηγορίᾳ διεφώνησεν ἑαυτῷ ὁ Ἀριστοτέλης, εἰ μὴ ἐν τοῖς πρός τι, ποτὲ μὲν τέταρτα αὐτὰ τάσσων, ὡς ἐν τῇ ἀπαριθμήσει, ποτὲ δὲ τρίτα, ὡς ἐν τῇ διδασκαλίᾳ· διὸ ζητοῦμεν τὴν τάξιν αὐτῶν.

25 p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται.

Ἐπειδὴ τέσσαρά τινα συμπληροῖ τὴν διδασκαλίαν τῶν πρός τι, ἡ ψευδὴς αὐτῶν ὑπογραφὴ καὶ τὰ ἴδια καὶ ὁ ἀνθορισμὸς καὶ ἡ ἀπορία, ἡ παροῦσα θεωρία τὴν ψευδῆ ὑπογραφὴν τῶν πρός τι διδάσκει. ἔχει δὲ οὕτως· πρός τι δέ ἐστιν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι
30 λέγεται, ἢ ὁπωσοῦν ἄλλως. σαφηνίσωμεν δὲ ταύτην. τὸ ὅσα αὐτὰ ἅπερ ἐστί καλῶς πρόσκειται· τὰ γὰρ πρός τι αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ὡς πατήρ· καὶ αὐτὸ γὰρ τὸ πατὴρ τοῦ υἱοῦ λέγεται, ὁμοίως καὶ ὁ υἱὸς κατ' αὐτὸ τὸ υἱὸς τοῦ πατρὸς λέγεται. καὶ τὰ πρός τι μὲν πάντως ἑτέρων εἶναι λέγεται, οὐ πάντως δὲ τὰ ἑτέρων λεγόμενα πρός
35 τι· ἰδοὺ γὰρ τὸ λευκὸν λέγεται μέλανι ἐναντίον καὶ πρός τι οὐκ ἔστιν,

---

5 ante παντ. add. λέγων HP 7 δέ] an γάρ? ante ἵνα defectum signavi, suppleveris προέταξε τὸ ποιὸν τῆς ποιότητος, 8 ἀσαφῶν] ἀσαφεστέρων K 9 πέμπτον inserui 12 μόνα HP 13 μόνου KP 14 γὰρ suppl. P² 15 ante ἄλλῃ add. γὰρ H 16 καὶ ἑνικῶς — πληθυντικῶς inclusi 23 τέταρτον H 26 ἐπειδὴ] ἐπὶ δεῖ P 29 δέ om. KP ἑτέρων — ἅπερ ἐστί (31) in mrg. suppl. P² 30 ἢ — λέγεται (32) om. K τὸ] τὰ P αὐτὰ] αὐτὴν P 34 πάντα (pr. l.) K

ἐπειδὴ προῆλθε μὲν κατ' ἄλλο, τὸ λευκόν, ἀποκρίνεται δὲ κατ' ἄλλο· κατὰ γὰρ τὸ ἐναντίον. ἄλλο δὲ τὸ λευκὸν καὶ ἄλλο τὸ ἐναντίον· τὸ μὲν γὰρ λευκὸν καθ' αὑτό, τὸ δὲ ἐναντίον πρός τι. καὶ τὰ μὲν πρός τι ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενα καὶ εἰς τὸ αὐτὸ λήγοντα κύκλον μιμεῖται, οἷον ὁ πατὴρ
5 υἱοῦ πατήρ, τὰ δὲ πρὸς ἄλλο λεγόμενα ἀρχόμενα μὲν ἀπὸ ἄλλου ἀποκρινόμενα δὲ κατ' ἄλλο, οἷον λευκὸν μέλανι ἐναντίον, εὐθεῖαν μιμεῖται ἄλλην ἀρχὴν ἔχουσαν καὶ ἄλλο πέρας. καὶ ταῦτα ἐν τούτοις. τὸ δὲ ὁπωσοῦν ἄλλως πρόσκειται διὰ τέσσαρας αἰτίας, αἵτινες διὰ τὸ ἑτέρων λέγονται· πρῶτον ἵνα μὴ τοῦ ἑτέρων γενικῆς πτώσεως ὄντος νομίσωμεν πάντα πρὸς
10 γενικὴν ἀποδίδοσθαι· τινὰ γὰρ καὶ πρὸς δοτικήν, ὡς ἂν εἴπω 'φίλος φίλῳ φίλος', καὶ πρὸς αἰτιατικήν· 'ὁ τύπτων τυπτόμενον τύπτει'. δεύτερον ἵνα μὴ τοῦ ἑτέρων πληθυντικοῦ ἀριθμοῦ ὄντος νομίσωμεν πάντα πρὸς πληθυντικὸν ἀριθμὸν ἀποδίδοσθαι· τινὰ γὰρ καὶ πρὸς ἑνικὸν λέγεται· 'τὸ μέρος ὅλου μέρος'. τρίτον ἵνα μὴ τοῦ ἑτέρων μοναχῶς λεχθέντος νομίσωμεν
15 πάντα μοναχῶς ἀποδίδοσθαι· τινὰ γὰρ καὶ διχῶς ἀποδίδοται, οἷον τὸ ὑπερέχον ὑπερεχόμενον ὑπερέχει καὶ τὸ ὑπερέχον | ὑπεροχῇ ὑπερέχει. 267r τέταρτον ἵνα μὴ τοῦ ἑτέρων ἁπλοῦ ὄντος καὶ μὴ δεηθέντος προθέσεως νομίσωμεν πάντα τὰ πρός τι μὴ δεῖσθαι προθέσεως· τινὰ γὰρ δέονται, οἷον τὸ δωρούμενον παρὰ τοῦ δωρουμένου δωρεῖται καὶ ὁ τυπτόμενος ὑπὸ τοῦ
20 τύπτοντος τύπτεται. ἐν οἷς ἡ πρᾶξις.

p. 6a37 Οἷον τὸ μεῖζον τοῦτο ὅπερ ἐστὶν ἑτέρου λέγεται· τινὸς γάρ.

Ἡ παροῦσα θεωρία δύο ἡμῖν κεφάλαια παραδίδωσιν, ἐν μὲν τῷ πρώτῳ κεφαλαίῳ τρεῖς χώρους παραδειγμάτων διακεκριμένους ἀλλήλων διὰ
25 τοῦ ἔστιν, ἐν δὲ τῷ δευτέρῳ δύο ἴδια τῶν πρός τι τὰ πρῶτα καὶ ψευδῆ. ψευδῆ δὲ εἴρηται, διότι οὐδὲ πᾶσι τοῖς πρός τι ὑπάρχουσιν οὐδὲ μόνοις. καὶ ὁ μὲν πρῶτος χῶρος σύγκειται ἐκ τῶν ἤδη εἰρημένων πρός τι ἐν τῷ περὶ ποσοῦ λόγῳ, ἐν οἷς τὸ μέγα καὶ τὸ μικρὸν καὶ πολὺ καὶ ὀλίγον καὶ διπλάσιον καὶ ἥμισυ. ὁ δὲ δεύτερος χῶρος πρόεισιν ἐκ τῶν κατ' ἄλλην
30 μὲν πτῶσιν προϊόντων κατ' ἄλλην δὲ ὑποστρεφόντων, ἐν οἷς ἐπιστήμη καὶ ἕξις καὶ διάθεσις· ταῦτα γὰρ πρόεισι μὲν κατ' ἄλλην πτῶσιν ὑποστρέφει δὲ κατ' ἄλλην· οἷον 'ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη' πρόεισι μὲν οὕτω κατὰ γενικήν, ὑποστρέφει δὲ οὕτω κατὰ δοτικὴν 'τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν', 'ἡ ἕξις τοῦ ἑκτοῦ ἕξις — τὸ ἑκτὸν ἕξει ἑκτόν', 'ἡ διά-

---

3 καὶ τὰ] κατὰ K¹P 4 τὸ om. K καταλήγ. K 6 post δὲ add. οὐ K 7 ὁποσοῦν HP 13 ἀποδίδ.] δίδοσθαι KP 14 μέρους H ἑτέρου KP νομήσωμεν P 15 ἀποδίδονται HP 16 τὸ om. HP 19 δορούμενον P 21 ἐστὶν suppl. P² 23 παραδίδοσιν H 24 τρεῖς suppl. P² παραδειγμάτων in mrg. suppl. K διακεκριμένους scripsi: διακεκριμένως libri 25 ἔστιν] Arist. p. 6b2 τὰ πρῶτα—πρός τι (26) suppl. P² τὰ πρῶτα scripsi: τὰ H: πρῶτα τὰ P: om. K 26 πρός τι] πρώτη P 27 ἠρημένων HK 27. 28 ἐν τῷ περὶ ποσοῦ λόγῳ] p. 5b2 sq. 29 πρόησιν P 31 πτῶσιν scripsi: ἕξιν libri

θεσις τοῦ διακειμένου διάθεσις — τὸ διακείμενον διαθέσει διάκειται'. ὁ τρίτος χῶρος τῶν παραδειγμάτων πρόεισιν ἐκ τῶν μὴ δι' ἑαυτὰ πρός τι ὄντων, ἀλλὰ διὰ τὸ γένος, ὡς ἡ γραμματική· αὕτη γὰρ οὐ δι' ἑαυτὴν πρός τι, ἀλλὰ διὰ τὸ γένος· οὐ γὰρ λέγεται φωνῶν γραμματική, ἀλλ' ἐπιστήμη. 5 ὁμοίως καὶ ἡ ἀνάκλισις οὐ δι' ἑαυτὴν πρός τι, ἀλλὰ διὰ τὸ γένος· οὐ γὰρ λέγεται ἡ ἀνάκλισις ἀνακεκλιμένου ἀνάκλισις, ἀλλ' ἀνακεκλιμένου θέσις· ἢ γὰρ πάντα ὄρθιά εἰσι τὰ μέλη καὶ λέγεται στάσις, ἢ πάντα ὕπτια καὶ λέγεται ἀνάκλισις, ἢ τινὰ μὲν ὄρθια τινὰ δὲ ἀνακεκλιμένα καὶ λέγεται καθέδρα. οὐ δύναται δὲ οὔτε ἡ καθέδρα οὔτε ἡ ἀνάκλισις οὔτε ἡ στάσις 10 οὐδὲ τὰ τοιαῦτα πρός τι εἶναι· ἐν γὰρ τούτοις μετέχον ἐστὶ καὶ μετεχόμενον· καὶ ὁ καθήμενος γὰρ τῆς καθέδρας μετέχει καὶ ὁ ἑστὼς τῆς στάσεως καὶ ὁ ἀνακεκλιμένος τῆς ἀνακλίσεως. [ὁ φίλος καὶ ὁ ἐχθρὸς τῶν πρός τι ὄντα δοκοῦσι μὴ εἶναι πρός τι. δοκοῦσι δὲ μὴ εἶναι τῶν πρός τι ταῦτα διὰ τὴν ταυτωνυμίαν καὶ τὸ μίαν εἶναι ἐν αὐτοῖς διάθεσιν· οὐδὲ γὰρ ἀντίκειται 15 ἀλλήλοις ὅσον γε ἀπὸ τῆς λέξεως. δεῖ οὖν εἰ μέλλοιεν εἶναι πρός τι, ἀντικειμένως αὐτὰ ἐκφωνεῖν, οἷον ὁ φίλος φιλούμενον φιλεῖ καὶ ὁ ἐχθρὸς ἐχθραινόμενον ἐχθραίνει, καὶ εὑρίσκονται πρός τι.] τὰ δὲ πρός τι οὐ δύναται μετέχειν ἀλλήλων ὡς ἀντικείμενα· οὐδέποτε γὰρ ὁ υἱὸς τοῦ πατρὸς ὡς πατρὸς μετέχει, καὶ τὸ ἀνάπαλιν, οὐδὲ τὸ δεξιὸν τοῦ ἀριστεροῦ μετέχει, 20 καὶ τὸ ἀνάπαλιν, οὐδὲ τὸ ὅλον τοῦ μέρους μετέχειν ὡς μέρους κατηγορεῖται (οὐδὲ γὰρ ὁ λόγος τοῦ ὅλου τοῦ μέρους κατηγορεῖται), οὐδὲ τὸ ἀνάπαλιν, οὐδὲ τὸ κεφαλωτὸν τῆς κεφαλῆς μετέχει, ἐπειδὴ οὐδὲ ὁ λόγος τοῦ κεφαλωτοῦ τῆς κεφαλῆς | κατηγορεῖται, οὐδὲ ἡ ἐπιστήμη τοῦ ἐπιστητοῦ μετέχει. 267v καθόλου οὖν τὰ πρός τι οὐ δύναται ἀλλήλων μετέχειν ὡς ἀντικείμενα 25 ἀλλήλων, οὐδὲ τὰ μετέχοντα ἀλλήλων πρός τι δύναται εἶναι. καὶ ἀποροῦσιν ὅτι ὅσον ἐκ τῶν εἰρημένων οὐδὲ θέσις καὶ θετὸν πρός τι· μετέχει γὰρ τὸ θετὸν τῆς θέσεως. πρὸς ὅ φαμεν ὅτι ἀληθὲς τοῦτο, ἐὰν θέσιν λάβωμεν τὴν ποιότητα. ἀλλὰ θέσιν ληπτέον τὴν κατὰ τὸ δεξιὸν καὶ ἀριστερόν, πρόσω καὶ ὀπίσω, ἄνω καὶ κάτω· ταῦτα γὰρ οὐ δύναται μετέχειν 30 ἀλλήλων· οὐδὲ ⟨γὰρ⟩ τὸ δεξιὸν τοῦ ἀριστεροῦ μετέχει ποτὲ οὐδὲ τὸ ἄνω τοῦ κάτω οὐδὲ τὸ πρόσω τοῦ ὀπίσω. ἰστέον ὅτι † πάσης θέσεώς τε καὶ ἀνακλίσεως καὶ στάσεως καὶ καθέδρας, τὰ εἴδη τῆς θέσεως καὶ οἱονεὶ χαρακτῆρες, ὑπὸ τὴν ποιότητα ἀνάγεται· πᾶς γὰρ χαρακτὴρ ποιότητος ὑπὸ τὴν ποιότητα ἀνάγεται· ἐὰν οὖν ταῦτα πρός τι εἶναι συγχωρηθείη, ποιό- 35 τητες ὄντα καὶ καθ' αὑτά, πᾶν συμβεβηκὸς τῶν πρός τι ποιήσομεν, οἷον ἡ λευκότης λελευκωμένου λευκότης καὶ ἡ μέλανσις μεμελασμένου μέλανσις, ὅπερ ἄτοπον. οὐ δύναται οὖν ἡ ἀνάκλισις ἀνακεκλιμένου λέγεσθαι ἀνάκλισις

3 ὡς—γένος (4) om. KP 12 ὁ φίλος—πρός τι (17) inclusi 13 pr. μὴ om. H alt. μὴ] καὶ μηδὲ HP ταῦτα] τὰ τοιαῦτα HP 15 ἀλλήλοις om. KP 18 δύνανται K 19 οὐδὲ—ἀνάπαλιν (21) om. K 23 post κεφαλῆς add. μετέχειν ὡς μέρους K 30 γὰρ (post οὐδὲ) inserui 31 ἰστέον—ἄτοπον (37) eicias 31. 32 πάσης—καθέδρας corrupta sunt, scribas πᾶσα θέσις, καὶ ἀνάκλισις καὶ στάσις καὶ καθέδρα 35 καὶ om. K ποιήσωμεν H 36 λελευκόμενου (sic) λευκότης suppl. P[2]

οὐδὲ ἡ στάσις ἑστῶτος στάσις οὐδὲ ἡ καθέδρα τοῦ καθημένου καθέδρα, ἐπειδὴ μετέχον ἐστίν, ὡς εἴρηται, καὶ μετεχόμενον· ἔστι γὰρ ἡ διάκρισις οὕτως· ἔστιν ἀνακεκλιμένον καὶ τελεῖ τοῦτο ὑπὸ τὴν οὐσίαν, καὶ ἀνάκλισις καὶ τελεῖ τοῦτο ὑπὸ τὴν ποιότητα, καὶ τὸ ἀνακεκλίσθαι καὶ τελεῖ ὑπὸ τὴν 5 κεῖσθαι κατηγορίαν. καὶ ἐπὶ τῶν ἄλλων δὲ οὕτως ἀνάλογον δεῖ νοεῖσθαι. ταῦτα τὸ πρῶτον ἡμῖν παραδίδωσι κεφάλαιον.

Δεύτερον δὲ κεφάλαιον, ἐν ᾧ δύο ἴδια ψευδῆ τῶν πρός τι παραδίδωσι, τὸ μὴ ἔχειν ἐναντίον καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. ταῦτα δὲ οὐδὲ πᾶσι τοῖς πρός τι ὑπάρχουσιν οὐδὲ μόνοις. ἀλλ' ἵνα γνῶμεν 10 τίσιν ὑπάρχουσι καὶ τίσιν οὐχ ὑπάρχουσι, κανόνι τοιούτῳ χρησώμεθα· δεῖ εἰδέναι ὅτι τὰ πρός τι οἰκείαν ὕλην μὴ ἔχοντα ἐν ἐννέα κατηγορίαις θεωρεῖται· ἐὰν οὖν ἡ κατηγορία ἐκείνη ἐπιδέχηται ἐναντία καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὰ ἐν αὐτῇ πρός τι ἐπιδέχονται ταῦτα, εἰ δὲ μὴ ἐπιδέχεται, οὐδὲ τὰ πρός τι ἐπιδέχονται· πατὴρ γὰρ καὶ υἱὸς τῶν πρός τι, καὶ οὐκ ἐπιδέχονται 15 τὸ ἐναντίον οὐδὲ τὸ μᾶλλον καὶ ἧττον, ἐπειδὴ οὐδὲ ἡ οὐσία, ἐν ᾗ τὰ πρός τι ταῦτα, πατήρ φημι καὶ υἱός. οὐδὲ τὸ διπλάσιον καὶ ἥμισυ ἐπιδέχεται τὰ ἐναντία οὐδὲ τὸ μᾶλλον καὶ ἧττον, ἐπειδὴ οὐδὲ τὸ ποσόν, ἐν ᾧ ταῦτα ⟨τὰ⟩ πρός τι. ἐπιστήμη δὲ καὶ ἐπιστητὸν ἐπιδέχεται τὰ ἐναντία καὶ τὸ μᾶλλον καὶ ἧττον, ἐπειδὴ καὶ ἡ ποιότης, ἐν ᾗ ταῦτα θεωροῦνται, ἐπιδέχεται ταῦτα· 20 τῇ γὰρ ἐπιστήμῃ ἐναντία ἡ ἄγνοια, καὶ ἔστι μᾶλλον ἐπιστήμη καὶ ἧττον ἐπιστήμη, ὡς καὶ μᾶλλον θερμὸν καὶ ἧττον θερμὸν καὶ τὰ παραπλήσια. ἀποροῦσι δὲ ὅτι εἰ οὐ πᾶσι τοῖς πρός τι ὑπάρχουσι ταῦτα, ἠδύνατο καὶ καταφατικῶς αὐτὰ προαγαγεῖν, ὥσπερ οὖν προήγαγε, καὶ ἀποφατικῶς, ἵνα εἴπῃ ὅτι ἴδιον τῶν πρός τι τὸ μὴ ἐπιδέχεσθαι | τὰ ἐναντία καὶ τὸ μᾶλλον 268r 25 καὶ τὰ ἧττον· διὰ τί καταφατικῶς αὐτὰ προήγαγε; καὶ λέγομεν ὅτι τὰ ἴδια ὁρισμοὺς μιμούμενά εἰσι τῷ ἀντιστρέφειν· ἐπεὶ δὲ οἱ ὁρισμοὶ τὰ τῆς φύσεως τῶν πραγμάτων σημαίνοντες θετικῶς καὶ καταφατικῶς λέγονται, διὰ τοῦτο καὶ τὰ ἴδια καταφατικῶς προήγαγε.

p. 6b28 Πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται.

30 Δύο ἴδια παραδοὺς ἡμῖν ὁ Ἀριστοτέλης τῶν πρός τι, καὶ τρίτον ἡμῖν ἴδιον παραδίδωσιν· * * ἄλλο ἀντιστρέφειν καὶ ἄλλο πρὸς ἀντιστρέφοντα λέγεσθαι· ἀντιστρέφουσι γὰρ καὶ τὰ ἴδια· εἰ γὰρ γελαστικόν, ἄνθρωπος, καὶ εἰ ἄνθρωπος, γελαστικόν. πρὸς ἀντιστρέφοντα δὲ λέγεται ὅσα αὐτὰ ἅπερ

2 εἴρηται] p. 208,10 5 δὲ om. K 7 δεύτ.—κεφ. om. K post τι additum κατηγοριῶν del. H 8 τὸ (ante ἧττον) om. H 9 pr. οὐδὲ] οὐ K 10 χρησόμεθα P post δεῖ add. δὲ HP 12 ἐπιδέχεται P 14 ἐπιδέχεται (pr. l.) H: ἐπιδέχεσθαι P pr. καὶ om. P 16 φημὴ P 17 ante ἧττον add. τὸ P 18 pr. τὰ addidi (cf. v. 15) 20 ἐναντία—ἧττον ἐπιστήμη (21) in mrg. suppl. H 23 προαγάγαι (pr. l.) HP οὖν post τί (25) transponas 24 εἶπεν HP 26 ἐπεὶ δὲ scripsi: ἐπειδὴ libri 27 καὶ (ante καταφ.) om. K 29 πάντα] ταῦτα K 31 defectum signavi; suppleveris τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι. ἔστι δὲ ἄλλο ἀντιστρ.—ἴδια (32) ex Paris. 1917 inserui: om. HKP 32 ante γελαστ. superscr. τὸ K 33 εἰ] ὁ K 33 ἀντιδιαστρέφοντα P δὲ om. P

ἐστὶν ἑτέρων εἶναι λέγεται· ὁ γὰρ πατὴρ κατ' αὐτὸ τὸ πατὴρ ἑτέρου λέγεται, τοῦ υἱοῦ, καὶ ὁ υἱὸς ὁμοίως· ὁ πατὴρ οὖν πρὸς ἀντιστρέφον λέγεται τὸ πατήρ. τὰ δὲ ἀντιστρέφοντα οὐ πρὸς ἀντιστρέφοντα λέγεται· οὐ γὰρ ὁ ἄνθρωπος καθὸ ἄνθρωπος τοῦ γελαστικοῦ λέγεται ἄν-
5 θρωπος, οὐδὲ τὸ γελαστικὸν καθὸ γελαστικὸν τοῦ ἀνθρώπου λέγεται γελαστικόν. ἢ καὶ ἄλλως· ὅτι ὁ ἄνθρωπος γελαστικὸν μὲν λέγεται ἢ καὶ γελαστικός, γελαστικοῦ δὲ ὁ ἄνθρωπος οὐ λέγεται οὐδὲ οἶδεν ἡ παλαιὰ συνήθεια τοιαύτην σύνταξιν· τὸ δὲ γελαστικὸν λέγεται ἄνθρωπος, λέγεται καὶ ἀνθρώπου γελαστικὸν ἴδιον. ἐπὶ δὲ τῶν κυρίως πρός τι τοιαύτη
10 σύνταξις οὐχ εὑρίσκεται. δεῖ δὲ εἰδέναι ὅτι ἡ ἀντιστροφὴ φέρεται καὶ ἐπὶ συλλογισμῶν καὶ ἐπὶ προτάσεων καὶ ἐπὶ ὅρων, ἤτοι ἁπλῶν φωνῶν. ἀλλὰ τὴν μὲν ἐν συλλογισμοῖς καὶ προτάσεσιν αἱ περὶ τούτων πραγματεῖαι διδάξουσι, νῦν δὲ πρόκειται τὴν ἐν ἁπλαῖς φωναῖς ἀντιστροφὴν ζητῆσαι. ἡ δὲ ἀντιστροφὴ ὅπου δ' ἂν ᾖ, ἰσότητα δηλοῖ, οἷον ἰσοστροφὴν οὖσαν δύο
15 κυκλικῶν κινήσεων· ἡ γὰρ στροφὴ ἐπὶ πλέον ἢ περιστροφὴ ἤτοι ἀντιστροφὴ κυκλικὴν κίνησιν δηλοῖ· ἡ γὰρ ἀντιστροφὴ τῷ ἀντί ἴσον δηλοῖ, ὡς ἀντίθεος καὶ ὡς ἀντιάνειρα· οἷον ἐπὶ μὲν τῶν πρός τι γίνεται κυκλικὴ κίνησις οὕτως, ὅτι ἀπὸ τοῦ αὐτοῦ ἄρχεται καὶ εἰς αὐτὸ λήγει 'ὁ πατὴρ υἱοῦ πατήρ — ὁ υἱὸς πατρὸς υἱός'· ποὺ μὲν γὰρ ἀπὸ πατρὸς ἄρχεται καὶ
20 εἰς αὐτὸν λήγει, ποὺ δὲ ἀπὸ υἱοῦ ἄρχεται καὶ εἰς αὐτὸν λήγει. καὶ ἐπὶ τῶν ἰδίων συλλογιστικῶς οὕτω γίνεται ἡ ἀντιστροφή· εἰ γελαστικόν, ἄνθρωπος, εἰ ἄνθρωπος, γελαστικόν.

Ἀποροῦσι δέ τινες ὅτι οὐδὲ τὰ ὁμολογούμενα πρός τι ἀντιστρέφει πάντως [ἀντὶ τοῦ οὐχὶ ἰσοστρέφει] διὰ τὸ κατ' ἄλλην μὲν προϊέναι πτῶσιν
25 κατ' ἄλλην δὲ ὑποστρέφειν· ἰδοὺ γὰρ ἡ ἐπιστήμη τοῦ ἐπιστητοῦ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν, καὶ προῆλθε μὲν κατὰ γενικὴν ὑπέστρεψε δὲ κατὰ δοτικήν. πρὸς ὅ φαμεν· οὐδὲν μέλει τῇ ἀντιστροφῇ τῆς ταυτότητος τῆς ὁδοῦ ἀλλὰ τῆς ταυτότητος τῶν ἄκρων, οἷα δ' ἂν ᾖ τὰ μέσα, ὅτι οὐ τῷ πράγματι διαφέρει ἡ ὁδός, ἀλλὰ τῇ προφορᾷ, καὶ οὐδὲ
30 πάσῃ τῇ προφορᾷ ἀλλὰ τῇ πτώσει μόνῃ. | ἄλλην ἀπορίαν ἀποροῦσιν, ὅτι 268v πολλὰ τῶν ὁμολογουμένων ὄντων πρός τι πρὸς ἀντιστρέφοντα οὐ λέγονται, καὶ ἰδοὺ ὡς ἐπὶ τριῶν ὑποθέσεων γυμνάζει τὸν λόγον, ἐπὶ κεφαλῆς καὶ ζῴου καὶ πηδαλίου καὶ πλοίου καὶ πτεροῦ καὶ ὄρνιθος· ταῦτα γὰρ πρός τι ὁμολογουμένως καὶ οὐκ ἀντιστρέφει· ἡ γὰρ κεφαλὴ ζῴου κεφαλή, οὐ πᾶν
35 δὲ ζῷον κεφαλὴν ἔχει, ὡς πνεύμων θαλάσσιος. καὶ τὸ πηδάλιον πλοίου, οὐ πᾶν δὲ πλοῖον πηδάλιον ἔχει, ὡς τὰ μικρὰ πλοῖα, ἃ διὰ τὸ μέγεθος

---

1 ἐστὶν Laur. 72,5: εἰσὶν HKP 2 ἀντιστρέφον Laur. 72,5: ἀντιστρέφοντα HKP 3 οὐ om. P 6 ὁ Laur. 72,5: om. HKP 14 an ἰσοστροφὴ οὖσα? οὖσαν suppl. P² 15 κυκλικῶν scripsi: κύκλων libri 16 γὰρ] an δὲ? τῷ scripsi: τὸ libri 17 ἀντίθεος] ἀντίθεσις P ὡς om. P 20 αὐτὸ (alt. l.) H 21 συλλογιστικῶν HP 24 ἀντὶ—ἰσοστρέφει inclusi οὐχὶ] οὐχ P μὲν om. KP 27 ὑποστρέφειν P μέλλει HP 28 αὐτότητος (pr. l.) HP 29 πράγμ.] προστάγματι P καὶ οὐδὲ—προφορᾷ (29) om. P 36 ὡς Laur. 72,5: διὰ HKP

ἐρέττεται ἅμα καὶ ἰθύνεται. καὶ ἡ ὄρνις πάντως πτερὸν ἔχει, οὐ πᾶν δὲ πτερὸν ὄρνιθος· τῶν γὰρ πτερωτῶν τὰ μὲν σχιζόπτερα, ὡς αἱ κατοικίδιοι ὄρνεις, τὰ δὲ ὁλόπτερα, καὶ τῶν ὁλοπτέρων τὰ μὲν δερματόπτερα, ὡς αἱ νυκτερίδες, τὰ δὲ ὑμενόπτερα, ὡς αἱ μέλιτται καὶ οἱ κάνθαροι. καὶ λέγομεν 5 ὅτι οὐκ ἀντιστρέφουσιν ὡς ἄνισα· ποὺ μὲν γὰρ τὸ ὅλον τοῦ μέρους καθολικώτερον, ὡς ἐπὶ πλοίου καὶ πηδαλίου καὶ ζῴου καὶ κεφαλῆς (τὸ γὰρ πλοῖον τοῦ πηδαλίου ἐπὶ πλέον· εἰσὶ γὰρ πλοῖα μὴ ἔχοντα πηδάλια καὶ ζῷα μὴ ἔχοντα κεφαλάς), ἐπί τινων δὲ τὸ μέρος καθολικώτερον, ὡς ἐπὶ πτεροῦ καὶ ὄρνιθος· οὐ πᾶν γὰρ πτερὸν ὄρνιθος. τίς οὖν ἴασις τούτων; 10 τὸ τὰ ἄνισα γενέσθαι ἴσα. ἰσοῦνται δὲ τὰ ἄνισα ἢ τοῦ μείζονος καθαιρουμένου ἢ τοῦ ἐλάττονος αὐξομένου. ἵνα οὖν γένηται τοῦτο, δεῖ ὀνοματοθετῆσαι καὶ ἀντὶ τοῦ ζῴου εἰπεῖν κεφαλωτόν, ἀντὶ τοῦ πλοίου πηδαλιωτὸν καὶ ἀντὶ τοῦ ὄρνιθος πτερωτόν· τότε γὰρ πρὸς ἀντιστρέφοντα λεχθήσεται· τὸ γὰρ πηδάλιον πηδαλιωτοῦ πηδάλιον καὶ τὸ πηδαλιωτὸν πηδαλίῳ πηδα-15 λιωτόν, καὶ ἡ κεφαλὴ κεφαλωτοῦ κεφαλὴ καὶ τὸ κεφαλωτὸν κεφαλῇ κεφαλωτόν, καὶ τὸ πτερὸν πτερωτοῦ πτερὸν καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν. ἀποροῦσιν ὅτι πῶς οὖν ὁ Ἀριστοτέλης ὀνοματοθετεῖ, πανταχοῦ παραινῶν μὴ καινοτομεῖν τὰ κείμενα μηδὲ ξένοις χρῆσθαι ὀνόμασι διὰ τὸ μὴ ἀπολέσθαι τὸ κοινωνικὸν ἡμῶν, καὶ ὅτι ἐν μὲν τῇ χρήσει τῶν ὀνομάτων δεῖ 20 τῇ συνηθείᾳ ἐξακολουθεῖν ἐν δὲ τῇ χρήσει τῶν σημαινομένων μόνοις τοῖς ἐπιστήμοσι χρηστέον, οἷον ὑγιεινὸν μὲν δεῖ καλεῖν, ὡς οἱ πολλοὶ νομίζουσι, τὸ συμμέτρως ἔχον πρὸς ὑγίειαν, πῶς δὲ χρηστέον τῶν ὑγιῶς σημαινομένων τῷ ἐπιστήμονι ἀκολουθητέον. αὕτη ἡ ἀπορία. λέγομεν δὲ τούτου λύσεις πέντε· μίαν ὅτι οὐκ ὀνοματοποιεῖ ὁ Ἀριστοτέλης, ἀλλὰ διδάσκει 25 πῶς ὀνομασθήσονται, εἰ τεθείη αὐτοῖς ὀνόματα, δεύτερον ὅτι οὐδὲ ξένοις ὀνόμασιν ἐχρήσατο ἀλλὰ τὰ ὄντα παράγει, τρίτον ὅτι οὐδὲ παραβαίνει τὴν συνήθειαν τὴν μὴ οὖσαν ὅλως (οὐδὲ γὰρ ἄτοπον ὀνοματοποιεῖν αὐτόν, ἔνθα μὴ κεῖνται ὀνόματα, ἐνταῦθα δὲ | οὐ κεῖνται ὀνόματα), τέταρτον ὅτι 269r δεῖ ὀνοματοποιεῖν μέχρι τοῦ δεῖξαι τὴν ἀναλογίαν, οὐκ ἐπιτρέπουσι δὲ 30 χρῆσθαι τοῖς ὀνόμασι, διότι ἡ χρῆσις οὐκ ἔχει (τῆς γὰρ γυναικὸς γενικῆς γύναιξ λέγουσι τὴν εὐθεῖαν, καὶ τοῦ μεγάλου ὁμοίως μεγάλος λέγουσι), πέμπτον ὅτι μετὰ ἐνδοιασμοῦ ὀνοματοποιεῖ λέγων ἴσως δὲ οὐδὲν ἄτοπον ὀνοματοποιεῖν.

---

1 ἐρέττεται in mrg. K: ἤρτηται HKP 2 ὄρνιθος scripsi: ὄρνις libri (cf. v. 9) 3 ὄρνις K²P τὰ μὲν om. P αἱ om. HP 4 αἱ et οἱ om. HP 5 ποὺ] ποῦ HP: τοῦ K post γὰρ add. καὶ KP 7 post πηδαλίου addas καὶ τὸ ζῷον τῆς κεφαλῆς 16 καὶ τὸ πτερὸν πτ. πτερὸν om. K πτερωτοῦ iter. H πτεροτοῦ et πτεροτὸν (pr. l.) P 17 παραινῶν] cf. Top. B 1 p. 109a28; 3 p. 110a14 Poet. c. 22 p. 1458a18 18 κενοτομεῖν HP 21 χρηστέον] an ἀκολουθητέον? 22 an τῷ ὑγιεία σημαινομένῳ? 23 λέγομεν scripsi: λύομεν libri (cf. p. 212,14) 25 τεθεῖεν HP ὀνόματα H¹: ὄνομα H²PK 26 παραβαίν.] παραλαμβάνειν P¹ τὴν om. P¹ 27 οὐδὲν H 28 κεῖται (pr. l.) H ἐνταῦθα—ὀνόματα om. P 29 μέχρη P 32 λέγων superscr. H ἴσως . .] ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν ἴσως ἀναγκαῖον Arist.

p. 7a22 Πάντα οὖν τὰ πρός τι, ἐάνπερ οἰκείως ἀποδίδωνται, πρὸς ἀντιστρέφοντα λέγεται.

Εἰπὼν ὁ Ἀριστοτέλης ὅτι τὰ πρός τι πάντα πρὸς ἀντιστρέφοντα λέγεται καὶ ἀπορήσας ὡς ἐπὶ τριῶν ὑποθέσεων, ζῴου καὶ κεφαλῆς, πλοίου καὶ
5 πηδαλίου, ὄρνιθος καὶ πτεροῦ, ὡς πρός τι μὲν ὄντων αὐτῶν μὴ ἀντιστρεφόντων δὲ διὰ τὸ μὴ ἐξισάζειν, καὶ ποιήσας τὰ ἄνισα ἴσα διὰ τοῦ ὀνοματοποιῆσαι καὶ εἰπεῖν κεφαλωτὸν καὶ πηδαλιωτὸν καὶ πτερωτόν, ἀπορίαν ἡμῖν καταλέλοιπεν· ἀποροῦσι γάρ τινες ὅτι οὐ καλῶς παρήχθη τὰ ὀνόματα ταῦτα· τὸ γὰρ κεφαλωτὸν καὶ πηδαλιωτὸν καὶ πτερωτὸν δυνάμει ἐστίν·
10 ἐοίκασι γὰρ τῷ κινητῷ, ὅπερ ἐστὶ δυνάμει, τοῦτ' ἔστι τῷ πεφυκότι καὶ δυναμένῳ κινεῖσθαι· ἔδει δὲ τὰ δυνάμει πρὸς τὰ δυνάμει παραβάλλειν καὶ τὰ ἐνεργείᾳ πρὸς τὰ ἐνεργείᾳ· καὶ δυνάμει μέν εἰσι ταῦτα τὰ προρρηθέντα, κεφαλωτόν, πηδαλιωτὸν καὶ πτερωτόν, ἐνεργείᾳ δὲ ἡ κεφαλὴ καὶ τὸ πηδάλιον καὶ τὸ πτερόν. καὶ λέγομεν τούτου τρεῖς λύσεις· μίαν ὅτι τὰ ὀνόματα
15 πάντα θέσει καὶ ἐξὸν ὀνοματοποιεῖν, ὡς βούλεταί τις. δευτέραν ὅτι ἐκ τῶν ἐνεργείᾳ παρήχθησαν, τοῦτ' ἔστιν ἐκ τῆς κεφαλῆς τὸ κεφαλωτὸν καὶ τὰ λοιπὰ ὁμοίως, τὰ δὲ ἔχοντα μέρη ἐνεργείᾳ καὶ αὐτὰ ἐνεργείᾳ εἰσί. τρίτην ὅτι ἔχομεν ἐν τῇ συνηθείᾳ τοιαῦτα πολλά, οἷον ἐνδυτὸν καὶ ὑφαντόν· σημαίνει γὰρ τοῦτο τὸ ἤδη ὑφαντόν, οὐ τὸ μέλλον καὶ δυνάμει. καὶ ταῦτα
20 μὲν ἡμεῖς. ὁ δὲ Ἀριστοτέλης φησὶν ὅτι ἐκ δὴ τούτου φανερὸν ὅτι ὅταν δύο τινὰ παραβάλληται ἀλλήλοις καὶ μέλλῃ πρὸς ἀντιστρέφοντα λέγεσθαι, δεῖ αὐτὰ ἐξισάζειν, καὶ * * ἵνα καθ' αὑτὸ γένηται ἡ ἀπόδοσις. ἀλλὰ περὶ τοῦ ἐξισάζειν εὐχερές ἐστι γνῶναι ποῖον ποίου καθολικώτερον· ἐκ γὰρ τούτου τὸ ἐξισαστέον γνωρίζεται. εἴτε δὲ καθ' αὑτὸ εἴτε κατὰ συμβεβηκὸς γέγονεν
25 ἡ ἀπόδοσις, τοῦτο ἄδηλον τέως. διὸ κανόνα παραδίδωσιν ἡμῖν τούτου, λέγων ὅτι ὅταν δύο τινὰ παραβάλληται ἀλλήλοις, ἐὰν ἀφέλῃς πάντα τὰ συμβεβηκότα αὐτοῖς καὶ εὕρῃς οὐδὲν ἧττον μένουσαν τὴν ἀντιστροφήν, ἐπίστασο ὅτι καθ' αὑτὸ γέγονεν ἡ ἀπόδοσις· οἷον ἐπὶ δούλου καὶ δεσπότου ἄφελε τὰ συμβεβηκότα τῷ δούλῳ, οἷον τὸ δραπετικόν, τὸ δύσνουν | καὶ τὰ τοιαῦτα, 269v
30 καὶ οὐδὲν ἧττον ἔμεινεν ὁ δοῦλος δεσπότου δοῦλος, καὶ τοῦ δεσπότου ἀφαιρουμένων πάντων τῶν συμβεβηκότων αὐτῷ, οἷον τοῦ εἶναι φιλόδουλον, ἐλευθέριον, παρορῶντα τὰ πολλά, οὐδὲν ἧττον δεσπότης ὁ τοιοῦτος· τότε οὖν καθ' αὑτὸ ἡ ἀπόδοσις. εἰ δὲ ἀφέλῃς τὰ ἑκατέρῳ συμβεβηκότα καὶ μὴ γένηται ἡ ἀπόδοσις, τότε κατὰ συμβεβηκὸς γέγονεν ἡ ἀπόδοσις· οἷον ἐὰν

---

1 ἀποδίδονται HP: ἀποδιδῶται Arist. 3 ante εἰπὼν additum καὶ ἀπορ— del. P 5 μὴ om. K 9 κεφ. καὶ πηδ.] κεφαλαιωτὸν P 10 καὶ superscr. H 11 πρὸς τὰ δυνάμει om. P 15 δευτέρα KP 17 τρίτη K: compend. P 19 μέλλον scripsi: μᾶλλον libri 21 παραβάληται K μέλλει P 22 ante ἵνα lac. signavi γένοιται (sic) H 23 ἐξισαστέον Urb. 35: ἐξισάζον HKP 25 παραδίδοσι H 27 καὶ εὕρῃς scripsi: καὶ εὕροις Laur. 72,5: εὕροις ἂν HKP ἀντιστρ. scripsi: ἀναστρ. libri 28 οἷα P 30 ante pr. δεσπότου additum τοῦ del. H δεσπότου δοῦλος suppl. P2 30. 31 ἀφερουμ. H1 31 τοῦ Urb. 35: τὸ HKP 34 τὸ συμβ. K

ἀφέλῃς τοῦ ἀνθρώπου τὸ δεσπότην εἶναι καὶ εἴπῃς 'ὁ δοῦλος ἀνθρώπου δοῦλος', ἐπειδὴ τῷ ἀνθρώπῳ συμβέβηκε τὸ δεσπότης, κατὰ συμβεβηκὸς γέγονεν ἡ ἀπόδοσις· ὁ γὰρ δοῦλος ἀνθρώπου πάντως δοῦλος, οὐ πᾶς δὲ ἄνθρωπος δοῦλον ἔχει. τινὲς δέ φασιν ὅτι καὶ ἐπὶ τῆς πρώτης ἀντιθέσεως
5 ἀφαιρουμένων τῶν συμβεβηκότων οὐ γίνεται ἡ ἀπόδοσις· ἄφελε γὰρ ἐκ τοῦ δούλου καὶ τοῦ δεσπότου τὸ ἄνθρωπος, καὶ οὐδὲν ἀντιστρέφει· μὴ γὰρ ὄντος ἀνθρώπου οὐδὲ δοῦλος ἔσται οὐδὲ δεσπότης. τί οὖν δεῖ εἰπεῖν; ὅτι οὐ πρώτως ἀναιρουμένου μὴ γίνεται ἡ ἀπόδοσις, ἐκείνου τεθέντος καθ' αὑτὸ γίνεται ἡ ἀπόδοσις· οἷον ἀναιρεῖ ὁ ἄνθρωπος ἀναιρούμενος τὴν ἀπό-
10 δοσιν, ἀναιρεῖ καὶ ὁ δεσπότης, ἀλλὰ πρώτως ὁ δεσπότης δευτέρως δὲ ὁ ἄνθρωπος· συμβέβηκε γὰρ τῷ δεσπότῃ νῦν ὁ ἄνθρωπος. καὶ τοῦτό ἐστι τὸ πολυθρύλλητον, ὅτι ἡ οὐσία ποτὲ συμβαίνει· τὸ γὰρ δεσπότης καὶ ἁπλῶς τὰ πρός τι ἡ σχέσις μόνη χαρακτηρίζει· εἴ τι οὖν παρὰ τὴν σχέσιν, ἐκεῖνο συμβεβηκέναι λέγεται, ὡς μὴ ὂν αὐτῆς τῆς σχέσεως χαρακτη-
15 ριστικὸν ἀλλά τινος ἄλλου παρὰ τὴν σχέσιν δηλωτικόν.

p. 7b15 Δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει εἶναι.

Τέταρτον τῶν πρός τι ἴδιον τὸ ἅμα τῇ φύσει εἶναι. ἅμα δὲ τῇ φύσει εἰσὶ τὰ συνυπάρχοντα ἀλλήλοις, τὰ συνεισφέροντα ἑαυτὰ καὶ συναναιροῦντα· μέσα γὰρ ὄντα ⟨τὰ⟩ ἅμα καθολικωτέρων καὶ μερικωτέρων ἤτοι προτέρων
20 καὶ ὑστέρων, ἓν ἀφ' ἑκάστου ἠρανίσατο, ἀπὸ μὲν τῶν προτέρων καὶ καθολικωτέρων τὸ συναναιρεῖν, ἀπὸ δὲ τῶν μερικωτέρων καὶ ὑστέρων τὸ συνεισφέρειν. ὅτι δὲ ἅμα τῇ φύσει εἰσίν, ἐκ τοῦ πρὸ αὐτοῦ ἰδίου πιστοῦται, τοῦ ἀντιστρέφειν, λέγων οὕτως· τὰ πρός τι ἀντιστρέφει, τὰ ἀντιστρέφοντα ἐξισάζει, τὰ ἐξισάζοντα οὔτε ὑπεραίρει οὔτε ἐλλείπει, τὰ μὴ ὑπεραίροντα
25 μήτε ἐλλείποντα οὔτε πρότερα οὔτε ὕστερα, τὰ μὴ πρότερα μήτε ὕστερα ἅμα τῇ φύσει, τὰ πρός τι ἄρα ἅμα τῇ φύσει. ὥσπερ δὲ ἀνωτέρω ἔλεγεν ὅτι τὰ πρός τι οὐκ ἀντιστρέφοντα πάντα λέγεται, ὡς κεφαλὴ ζῷον, πηδάλιον ⟨πλοῖον⟩, ὄρνις πτερόν, οὕτω κἀνταῦθά φησιν ὅτι οὐ πάντα τὰ πρός τι ἅμα τῇ φύσει εἰσί· πατὴρ μὲν γὰρ καὶ υἱὸς καὶ ἥμισυ καὶ διπλάσιον ἅμα τῇ
30 φύσει εἰσίν, ἐπιστήμη δὲ καὶ ἐπιστητὸν καὶ αἴσθησις καὶ αἰσθητὸν οὐχ ἅμα τῇ φύσει. καὶ τοῦτο δείκνυσι καὶ ἀπὸ τοῦ χρόνου καὶ ἀπὸ τῆς φύσεως. ἀλλ' | ἐπὶ μὲν τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ προτάττει τὸ 270r ἀπὸ τοῦ χρόνου τοῦ ἀπὸ τῆς φύσεως, ἐπὶ δὲ τῆς αἰσθήσεως καὶ τοῦ

---

1 δεσπότην εἶναι Urb. 35: ὁ δεσπότης HKP post εἴπῃς additum ἀνθρώπου del. P 3 πάντως] πάντος P an ⟨ἀλλ' οὐχ ὁ ἄνθρωπος δούλου ἄνθρωπος⟩· οὐ πᾶς γὰρ? 7 ὄντως H 8 ante ἐκείνου addita οἷον ἀναιρεῖ ὁ ἄνθρωπος ἀναιρούμενος del. P 10 πρῶτος .. δεύτερος P 11 συμβεβηκὸς H 12 πολυθρύλητον HP συμβέναι P[1] 13 τά] τὸ K 14 ἐκείνω H αὐτοῖς P 16 post εἶναι addita ἅμα δὲ τῇ φύσει εἰσί del. P 19 τὰ inserui 23 ante ἀντιστρέφοντα add. δὲ K 25 τὰ μὴ πρ. μήτε ὕστερα suppl. P[2] 26 ἄρα om. K 27 ponas οὐ πάντα τὰ πρός τι 28 πλοῖον inserui ante πρός additum φύσει del. H 29 pr. τῇ om. K 32 ἀλλ'—φύσεως (33) suppl. P[2] 33 tert. τοῦ om. K

αἰσθητοῦ προτάττει τὸ ἀπὸ τῆς φύσεως τοῦ ἀπὸ τοῦ χρόνου. φησὶ δὲ οὕτως· ἐπιστήμης οὔσης ἐπιστητὸν ἔστι πάντως, ἐπιστητοῦ δὲ ὄντος δύναται ἐπιστήμη μὴ εἶναι· ἦσαν γὰρ τὰ ἄστρα πρὸ τοῦ Θαλῆν ἀστρονομῆσαι. πρὸς ὅ φαμεν ὅτι ἦσαν τὰ ἄστρα οὐχ ὡς ἐπιστητά. καὶ οὕτως
5 μὲν ἀπὸ τοῦ χρόνου. ἀπὸ δὲ τῆς φύσεως οὕτως· ὁ ἀπὸ κύκλου τετραγωνισμὸς (ἡ γὰρ φύσις τετραγωνισμὸν οὐκ ἐπιδέχεται), εἴ γε ἔστιν ἐπιστητός, ἐπιστητὸς μέν ἐστιν, ἐπιστήμη δὲ αὐτοῦ οὐδέπω ἐστί. τὸ δὲ 'εἴ γε ἔστι' πρόσκειται διὰ τὸ ἐπὶ τῶν Ἀριστοτέλους χρόνων ἄληπτον εἶναι τὸν τετραγωνισμὸν τοῦ κύκλου, τὸ δὲ 'οὐδέπω ⟨ἐστίν⟩' εἴρηται ἀντὶ τοῦ 'οὔπω εὕρηται'.
10 πρὸς ὅ φαμεν ὅτι ὁ τοῦ κύκλου τετραγωνισμὸς δυνάμει ἐπιστητὸς ὤν, εἴ γε ἔστιν ἐπιστητός, δυνάμει ἐπιστήμῃ ἐπιστητός ἐστιν. ἐπεὶ δὲ ἀμφέβαλλεν εἰς τὸ παράδειγμα, δι' ἑτέρου πιστοῦται αὐτὸ παραδείγματος· ζῴου γὰρ ἀναιρεθέντος ἐπιστήμη ἀνῄρηται, ἐπιστητὸν δὲ οὐκ ἀναιρεῖται· εἰσὶ γὰρ τὰ ἐξ ὧν τὸ ζῷον, τὰ ἁπλᾶ. καὶ λέγομεν ὅτι ὡς ἁπλᾶ εἰσίν, οὐ μὴν ὡς
15 ἐπιστητά. οὕτως περὶ ἐπιστήμης καὶ ἐπιστητοῦ. ἀλλὰ καὶ ἐπὶ αἰσθήσεως καὶ αἰσθητοῦ δείκνυσιν ὅτι οὐχ ἅμα. καὶ προτάττει τὸ ἀπὸ τῆς φύσεως τοῦ ἀπὸ τοῦ χρόνου, λέγων οὕτως· αἰσθητοῦ ὄντος σῶμα ἔστι (τὸ γὰρ αἰσθητὸν ἢ σῶμα ἢ ἐν σώματι), σώματος δὲ ὄντος αἴσθησις ἔστι (δεῖται γὰρ ἡ αἴσθησις τοῦ σώματος, καὶ ἵνα ὑποστῇ καὶ ἵνα ἐνεργήσῃ), αἰσθητοῦ
20 ἄρα ὄντος αἴσθησις ἔστι· πρότερον οὖν τὸ αἰσθητὸν φύσει. ἀλλὰ καὶ χρόνῳ· τὸ μὲν γὰρ αἰσθητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν αἴσθησιν· αἰσθητοῦ γὰρ ἀναιρεθέντος ἀνῄρηται καὶ τὸ σῶμα (τῶν γὰρ αἰσθητῶν καὶ τὸ σῶμα), σώματος δὲ μὴ ὄντος καὶ αἴσθησις ἀναιρεῖται (ἐν αὐτῷ γὰρ καὶ περὶ αὐτὸ ἡ αἴσθησις)· αἰσθητοῦ ἄρα ἀναιρεθέντος ἀνῄρηται καὶ ἡ αἴσθησις. ἡ δὲ
25 αἴσθησις τὸ αἰσθητὸν οὐ συναναιρεῖ· ζῴου γὰρ ἀναιρεθέντος αἴσθησις μὲν ἀναιρεῖται, τὸ δὲ αἰσθητὸν ἔσται, τοῦτ' ἔστι τὰ στοιχεῖα ἐξ ὧν τὸ ζῷον. καὶ ὅτι αἴσθησις συνεισάγει τὸ σῶμα, τοῦτο δὲ τὸ αἰσθητόν, ἐπειδὴ ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ, τοῦτ' ἔστι τῷ ζῴῳ, τὸ δὲ αἰσθητὸν πρὸ τοῦ ζῴου· ἦν γὰρ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ αἰσθητὰ πρὸ τοῦ τὸ ζῷον
30 γενέσθαι. ἀλλὰ πρὸς τοῦτο ἔστιν εἰπεῖν ὅτι ὡς στοιχεῖα ἔστιν, οὐκ αἰσθητά. ταύτας δὲ τὰς ἀπορίας ἁπάσας ἐν τῇ Φυσικῇ ἐπιλύεται ὁ Ἀριστοτέλης ἑνὶ λόγῳ λέγων καὶ τὰς μὲν δυνάμεις τῶν δυνάμεων τὰς δὲ ἐνεργείας τῶν ἐνεργειῶν * *, τοῦτ' ἔστι τὸ δυνάμει πρὸς τὸ δυνάμει παραβλητέον καὶ τὸ ἐνεργείᾳ πρὸς τὸ ἐνεργείᾳ. ἐνταῦθα δὲ οὐκ ἐπὶ τοῦ αὐτοῦ λαμβάνει τὸ
35 ἐπιστητὸν καὶ τὴν ἐπιστήμην· τοῦ γὰρ ἐπιστητοῦ διττοῦ ὄντος, τοῦ μὲν

3 μὴ superscr. H 6 ἡ γὰρ φύσις Laur. 72,5: ἢ γὰρ (γὰρ in mrg. suppl. K) φύσει HKP: an ἡ γὰρ φ. ⟨αὐτοῦ⟩? ante ἐπιστητὸς add. ἢ HKP: delevi ex Laur. 72,5 7 τὸ δὲ — εὕρηται (9) eicias 9 οὐδέπο H ἐστίν addidi 11 ἀμφέβαλεν H¹K 12 τὸ om. K 13 γὰρ corr. ex τὸ P 17 alt. τοῦ om. K 23 ἐν αὐτῷ] ἑαυτὸ H 27 καὶ ὅτι — γενέσθαι (30) eicias ἡ μὲν] ἡμῖν KP 28 αἴσθησις om. KP πρὸ] πρὸς P 29 τὸ πῦρ K τὸ om. HP 30 οὐκ] scribas οὐ μὴν ὡς (cf. v. 14) 31 ταύτας scripsi: πάσας HKP ἁπάσας om. K ἐν τῇ Φυσικῇ] universam de actu et potentia disputationem spectare videtur, cf. Phys. A 7 p. 189b30 sq. Metaph. Θ 4 p. 1047b14 sq.; de relatione agitur Phys. Γ 1 p. 200b28 sq. 33 post ἐνεργειῶν defectum signavi 34 ἐνταῦθα — ἐνεργείᾳ (215,1) om. K

δυνάμει τοῦ δὲ ἐνεργείᾳ, ἔτι δὲ καὶ τῆς ἐπιστήμης διττῆς οὔσης, τῆς μὲν δυνάμει τῆς δὲ ἐνεργείᾳ, τὸ μὲν ἐπιστητὸν δυνάμει λαμβάνει, ὅπερ πρότερόν ἐστι τοῦ ἐνεργείᾳ, | τὴν δὲ ἐπιστήμην ἐνεργείᾳ. διὸ καὶ δοκεῖ πρό- 270v τερον εἶναι τὸ ἐπιστητὸν ὡς δυνάμει ὂν τῆς ἐπιστήμης ἐνεργείᾳ οὔσης.
5 ἐὰν δὲ τὸ δυνάμει ἐπιστητὸν * * πρὸς τὴν ἐνεργείᾳ ἐπιστήμην παραβάλλωμεν, ἅμα τῇ φύσει εὑρεθήσονται. τὰ δὲ αὐτὰ νοείσθω καὶ ἐπὶ τοῦ αἰσθητοῦ καὶ τῆς αἰσθήσεως. ἀποροῦσι δέ τινες διὰ τί ἐν μὲν τῇ Φυσικῇ ἀκροάσει ὁ Ἀριστοτέλης ἐπιλύεται τὰς ἀπορίας ταύτας, ἐνταῦθα δὲ οὐκ ἐπιλύεται, καίτοι τὰς πρὸς τὸ ἀντιστρέφειν λύσας. καὶ λέγομεν ὅτι ἐπειδὴ τὸ δυνάμει
10 ἐν ὕλῃ, φυσικῆς δὲ περὶ ὕλης ζητεῖν· καὶ ἡ ψυχὴ γὰρ τὸ δυνάμει ἐπιδέχεται ἐν ὕλῃ γενομένη. πάλιν ἀποροῦσιν ὅτι διὰ τί ἐπὶ μὲν ἐπιστήμης καὶ ἐπιστητοῦ τὸ ἀπὸ τοῦ χρόνου προέταξε τοῦ ἀπὸ τῆς φύσεως, ἐπὶ δὲ αἰσθήσεως καὶ αἰσθητοῦ τὸ ἀπὸ τῆς φύσεως προέταξε τοῦ ἀπὸ τοῦ χρόνου. καὶ λέγομεν ὅτι βούλεται ὁ Ἀριστοτέλης τὰς ἀρχὰς τῶν ἀποδείξεων σα-
15 φεστέρας εἶναι, καὶ ἐπὶ μὲν τῆς αἰσθήσεως σαφέστερον τὸ ἀπὸ τῆς φύσεως τοῦ ἀπὸ τοῦ χρόνου· πρότερον γὰρ ἡ αἴσθησις τῇ φύσει τῆς ἐπιστήμης· συντίκτεται γὰρ ἡ αἴσθησις τῷ ζῴῳ, ἡ δὲ ἐπιστήμη ἔσχατον ἐπιγίνεται.

p. 8a13 Ἔχει δὲ ἀπορίαν τινὰ ὁ λόγος, πότερον οὐδεμία οὐσία τῶν πρός τι ⟨λέγεται, καθάπερ δοκεῖ⟩, ἢ τοῦτο μὲν ἐνδέχεται
20 κατά τινας.

Ἤδη μὲν διέσυρεν ὁ Ἀριστοτέλης τὴν Πλατωνικὴν ὑπογραφὴν τῶν πρός τι, τὴν λέγουσαν ὅτι πρός τί ἐστιν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, διὰ τῶν ἀληθῶν δύο ἰδίων τῶν πρός τι, τοῦ τε πρὸς ἀντιστρέφοντα λέγεσθαι καὶ ἅμα τῇ φύσει εἶναι, ἐπὶ μὲν ζῴου καὶ κεφαλῆς, ὄρνιθος καὶ
25 πτεροῦ, πλοίου καὶ πηδαλίου, ὡς πρός τι μὲν ὄντων μὴ ἀντιστρεφόντων δέ (καὶ τοῦτο ἰάσατο ποιήσας αὐτὰ ἐξισάζειν διὰ τῆς ὀνοματοποιίας, οὐ μὴν διωρθώσατο τὴν Πλατωνικὴν ὑπογραφήν), ἀλλὰ καὶ ἐπιστήμης καὶ ἐπιστητοῦ καὶ αἰσθήσεως καὶ αἰσθητοῦ, ὡς πρός τι μὲν ὄντων μὴ ὄντων δὲ ἅμα τῇ φύσει. ἀλλὰ τοῦτο μὲν ἐν τῇ Φυσικῇ ἐπιλύεται, τὴν μέντοι ὑπο-
30 γραφὴν τοῦ Πλάτωνος ⟨νῦν⟩ διορθώσασθαι βούλεται· οὐ μόνον γάρ, φησίν, ὦ Πλάτων, κεφαλὴ καὶ ζῷον καὶ πηδάλιον καὶ πλοῖον καὶ πτερὸν καὶ ὄρνις οὐκ ἔστι τῶν πρός τι διὰ τὸ μὴ ἀντιστρέφειν, ἀλλ' οὐδὲ εἰ ἀντιστρέψουσι, τῶν πρός τί εἰσι· τὰ γὰρ πρός τι συμβεβηκότα, ταῦτα δὲ οὐσίαι εἰσίν· οὐδέποτε δὲ συμβέβηκεν ἡ οὐσία κατὰ φύσιν. πρόκειται οὖν ἐνταῦθα τῷ
35 Ἀριστοτέλει ἐκβαλεῖν τὴν Πλατωνικὴν ὑπογραφὴν καὶ εἶθ' οὕτως εἰπεῖν τὴν αὐτῷ δοκοῦσαν. καὶ τεχνικῶς ἀμφότερα ποιεῖ δι' ἑνὸς καὶ τοῦ αὐτοῦ

5 lac. signavi, conicias πρὸς τὴν δυνάμει ἐπιστήμην ἢ τὸ ἐνεργείᾳ ἐπιστητὸν 6 ἅμα] ἄλλα K 11 ὅτι om. K 13 τοῦ] τὸ H 16 ἐπιστίμης H 18 τινὰ om. P Arist. ὁ λόγος om. Arist. 19 λέγεται—δοκεῖ inserui μὲν om. Arist. 22 τὴν om. K 27 καὶ (post ἐπιστήμης) om. HP 29 τὴν μέντοι — βούλεται (30) in mrg. suppl. H² 30 νῦν ex Laur. 72,5 inserui διορθώσειν H 31 καὶ (ante πηδ. et πτερ.) om. H 34 πρόσκειται P 35 ἐκβάλαι HP 36 τεχνηκῶς P

λόγου· ⟨διὰ μέσου γὰρ ἀπορίας τὴν Πλατωνικὴν ἐκβάλλει⟩ καὶ λέγει τὴν αὐτῷ δοκοῦσαν· τίθησι γὰρ ἀπορίαν μεταξὺ τῆς Πλατωνικῆς ὑπογραφῆς καὶ τῆς αὐτῷ δοκούσης, ἑπομένην μὲν τῇ Πλατωνικῇ ὑπογραφῇ λυομένην δὲ ὑπὸ τῆς αὐτῷ δοκούσης· | ᾧ δὲ ἄτοπα ἕπεται, ἐκεῖνο ἄτοπον, ᾧ δὲ 271r
5 οὐχ ἕπεται ἄτοπον, τοὐναντίον δὲ καὶ τὰ ἄλλοις ἑπόμενα ἄτοπα διαλύει, ἐκεῖνο ἀληθές. ἔστι δὲ ἡ ἀπορία τοιαύτη· τῆς οὐσίας τετραχῶς λεγομένης (ἡ γὰρ οὐσία ἢ πρώτη ἢ δευτέρα καὶ καθ' ἕτερον ἢ ὅλη ἢ μέρος, πρώτη καὶ ὅλη Σωκράτης, πρώτη καὶ μέρος Σωκράτους κεφαλή, δευτέρα καὶ ὅλη ἄνθρωπος, δευτέρα καὶ μέρος ἀνθρώπου κεφαλή), τὰς μὲν τρεῖς οὐ ποιεῖ
10 συμβεβηκότα ἡ Πλατωνικὴ ὑπογραφή, τὴν δὲ τετάρτην, τοῦτ' ἔστι τὴν δευτέραν καὶ μέρος, συμβεβηκὸς ποιεῖ· ἡ γὰρ πρώτη καὶ ὅλη οὐκ ἔστι συμβεβηκὸς οὐδὲ πρός τι· αὕτη γὰρ ἢ μετὰ προσδιορισμοῦ λαμβάνεται ἢ χωρὶς προσδιορισμοῦ, μετὰ προσδιορισμοῦ τὶς ἄνθρωπος, χωρὶς προσδιορισμοῦ Σωκράτης· οὐδεμία δὲ τῶν πρός τι· οὐδὲ γὰρ λέγεται ὁ τὶς ἄνθρωπος τινὸς
15 ἀνθρώπου τὶς ἄνθρωπος· τὸ γὰρ τὶς πρὸς τὸ πᾶς, οὐ πρὸς τὸ τίς, λέγεται. [οὐδὲ ἡ πρώτη καὶ μέρος τῶν πρός τι· οὐδὲ γὰρ λέγεται ἡ τὶς χεὶρ τινός τις χεὶρ οὐδὲ ἡ τὶς κεφαλὴ τινός τις κεφαλή· ἡ γὰρ τὶς κεφαλὴ πρὸς τὴν καθόλου κεφαλήν, οὐ πρὸς τὸ τὶ ζῷον]. οὐδὲ ἡ ἀπροσδιόριστος πρώτη καὶ ὅλη τῶν πρός τί ἐστιν· ὁ γὰρ δοῦλος ἢ ἀγρὸς οὐ λέγεται ἀνθρώπου δοῦλος
20 ἢ ἀγρός, ἀλλὰ ἀνθρώπου κτῆμα. οὐδὲ ἡ πρώτη καὶ μέρος τῶν πρός τι· ἡ κεφαλὴ γὰρ ἢ ἡ χεὶρ οὐ πάντως Σωκράτους ἢ Πλάτωνος· ἄδηλον γὰρ τίνος· οὐκοῦν οὐ πρός τι οὐδὲ αὕτη, κἂν ἀπροσδιόριστος ᾖ. ἀλλ' οὐδὲ ἡ δευτέρα καὶ ὅλη τῶν πρός τι· οὐδὲ γὰρ λέγεται ὁ βοῦς ἀνθρώπου βοῦς, ἀλλὰ ἀνθρώπου κτῆμα. ἡ μέντοι τετάρτη, ἡ δευτέρα καὶ μέρος, δύναται
25 τῶν πρός τι εἶναι· ἡ γὰρ κεφαλὴ πάντως ζῴου καὶ ἡ χεὶρ πάντως ἀνθρώπου καὶ ζῴου. δυοῖν οὖν θάτερον, ὦ Πλάτων, ἀνάγκη δέξασθαί σε, ἢ ὅτι κακῶς ἔχει ἡ ὑπογραφή, ἢ εἰπεῖν τὴν οὐσίαν συμβεβηκός. ἀλλ' ἐπειδὴ τὸ δεύτερον ἄτοπον, ⟨τὸ⟩ τὴν οὐσίαν ποιεῖν συμβεβηκός, αἱρεῖται τὸ πρῶτον, ὅτι κακῶς ἔχει ἡ ὑπογραφή. καὶ αὕτη μὲν ἡ ἀπορία ἡ ἑπομένη τῇ Πλα-
30 τωνικῇ ὑπογραφῇ τῶν πρός τι. λύεται δὲ αὕτη διὰ τοῦ ἀνθορισμοῦ. ἐφ' οἷς ἀνθορίζεται ὁ Ἀριστοτέλης. πῶς δὲ ποιεῖ τοῦτο, ἡ ἑξῆς θεωρία παραστήσει.

p. 8a28 Εἰ μὲν οὖν ἱκανῶς ἔχει ὁ τῶν πρός τι ὁρισμός, ἢ τῶν χαλεπῶν ἢ τῶν ἀδυνάτων λῦσαι τὴν ἀπορίαν.

Καταψηφισάμενος ὁ Ἀριστοτέλης τῆς Πλατωνικῆς ὑπογραφῆς τῶν

---

1 διὰ μέσου—ἐκβάλλει ex Laur. 72,5 inserui . 6 τετραχῶς Laur. 72,5: διχῶς HKP (cf. Philop. p. 124,29) 8 σωκράτους] σωκρατικὴ K 10 δὲ om. P 16 οὐδὲ—ζῷον (18) delevi (cf. v. 20) καὶ] κατὰ K 17 τὶς (post τινὸς) utrobique superscr. H 18 τὶ om. P 19. 20 δοῦλος ἢ ἀγρὸς utrobique scripsi: δαναὸς libri 23 ἀνθρώπου iter. K 26 ἀνάγκη superscr. H 27 καλῶς K ἀλλ'—πρῶτον (28) om. P (αἱρεῖται τὸ πρῶτον suppl. P²) 28 δεύτερον scripsi: πρῶτον HK τὸ τὴν scripsi: τὴν K: om. H οὐσίαν—πρῶτον in mrg. suppl. H 32 ἔχει—ὁρ.] ὁ τῶν πρός τι ὁρ. ἀποδέδοται Arist. 33 πάνυ χαλ. Arist. λῦσαι τὴν ἀπ.] ἐστὶ τὸ δεῖξαι ὡς οὐδεμία οὐσία τῶν πρός τι λέγεται Arist.

πρός τι, διότι τὸ ζῷον καὶ τὴν κεφαλήν, πλοῖον καὶ πηδάλιον, πτερὸν καὶ ὄρνιθα τῶν πρός τι ἐποίει, οὐσίας ὄντα, αὐτὸς νῦν ἀνθορίζεται λέγων ὅτι πρός τί ἐστιν οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, τοῦτ' ἔστιν οἷς τὸ εἶναί ἐστιν ⟨ἡ⟩ πρὸς ἕτερον σχέσις. καὶ μὴ θαυμάσῃς εἰ τὸ ἕτερον
5 διὰ τοῦ ἑτέρου ὑπογράφει· τὴν γὰρ σχέσιν διὰ τῶν ἐχόντων τὴν σχέσιν ὑπογράφει· μόνα γὰρ | τὰ πρός τι δι' ἀλλήλων ὑπογράφεται· ὁ γὰρ εἰδὼς ἓν 271v τῶν πρός τι τὴν οὐσίαν αὐτοῦ οἶδεν, ὁ τὴν οὐσίαν αὐτοῦ εἰδὼς τὴν πρὸς ἕτερον αὐτοῦ σχέσιν οἶδεν· ὁ ἄρα ἓν τῶν πρός τι εἰδὼς τὴν πρὸς ἕτερον αὐτοῦ σχέσιν οἶδε. δεῖ δὲ εἰδέναι ταῦτα, ὅτι οὐχ ἕπεται τῇ ὑπογραφῇ τὴν οὐσίαν
10 πρός τι ποιεῖν, ὡς τῇ Πλατωνικῇ εἵπετο τὴν κεφαλὴν καὶ τὸ ζῷον τῶν πρός τι λέγειν. τοῦτο οὐχ ἕπεται τῇ Ἀριστοτελικῇ ὑπογραφῇ· εἰ γὰρ πρός τί εἰσιν οἷς τὸ εἶναι ἡ πρὸς ἕτερον σχέσις, τὰ δὲ πράγματα τὸ εἶναι ἔχει ἐν τῷ καθ' αὑτὸ καὶ οὐκ ἐν τῷ πρὸς ἕτερον λέγεσθαι, ἡ κεφαλὴ καὶ τὸ ζῷον οὐ πρός τι· ποιεῖ γὰρ ταύτην οὐ κεφαλὴν τὸ οὗ ἐστι κεφαλή
15 (ἔστι γὰρ κεφαλὴ καὶ μὴ ὄντος τοῦ λοιποῦ σώματος), ἀλλὰ μέρος μόνον· τὸ γὰρ μέρος καὶ τὸ ὅλον τῶν πρός τι. συμβέβηκε δὲ τὸ μέρος ἐκεῖνο κεφαλὴν εἶναι τὸ δὲ ὅλον ζῷον. κατὰ συμβεβηκὸς οὖν ἡ κεφαλὴ καὶ τὸ ζῷον τῶν πρός τι· ὡς μέρος γὰρ καὶ ὅλον, καὶ οὐχ ὡς κεφαλὴ καὶ ζῷον. καὶ ταῦτα μὲν ἡμεῖς προληπτικώτερον. ὁ μέντοι Ἀριστοτέλης πορίσματα
20 συνάγει ἐκ τῶν προαποδεδειγμένων· εἰ γὰρ πρός τι, φησίν, ἐστὶν οἷς τὸ εἶναί ἐστιν ἡ πρὸς ἕτερον σχέσις, τρία ταῦτα ἕπεται πορίσματα· οὐκ ἔστι γὰρ ἐπὶ τῶν πρός τι τὸ μὲν εἰδέναι τὸ δὲ ἀγνοεῖν· οἷον ἐὰν οἶδα τὸν πατέρα ὡς πατέρα, οἶδα καὶ τὸν υἱὸν ὡς υἱὸν καὶ τὸ ἀνάπαλιν· οὐ γὰρ δυνατὸν εἰδέναι μὲν τὸν πατέρα ὡς πατέρα τὸν δὲ υἱὸν ⟨ὡς υἱὸν⟩ ἀγνοεῖν· εἰ
25 γὰρ τοῦτο δυνατόν, ἔξεστί μοι τὴν ὕλην τὴν χειρίστην πασῶν, ὡς τρύγα, καλλίονα εἰπεῖν, μὴ ἀπαιτουμένῳ εἰπεῖν τίνος ἐστὶ καλλίων. τοῦτο πρῶτον. δεύτερον δὲ ὅτι ἐπὶ τῶν πρός τι οὐκ ἔστι τὸ μὲν ἀκριβῶς εἰδέναι τὸ δὲ παχυμερῶς, μὴ ἵνα τὸν μὲν πατέρα οἶδέ τις ἀκριβῶς, τὸν δὲ υἱὸν παχυμερῶς. τρίτον οὐκ ἔστιν ἐπὶ τῶν πρός τι τὸ μὲν εἰδέναι κατὰ τὸν καθόλου λόγον τὸ δὲ
30 κατὰ τὸν ἐπὶ μέρους, ἀλλ' ἢ ἀμφότερα κατὰ τὸν καθόλου ἢ ἀμφότερα κατὰ τὸν ἐπὶ μέρους, ὡς ἐπὶ διπλασίου καὶ ἡμίσεος, μὴ ἵνα τὸ μὲν διπλάσιον οἶδας κατὰ τὸν καθόλου λόγον ὅτι διπλάσιόν ἐστι τὸ ἔχον ἥμισυ, οἷον ἐὰν ᾖ, τὸ δὲ ἥμισυ ἵνα οἶδας κατὰ τὸν ἐπὶ μέρους λόγον ὡς δεύτερον ἢ τέταρτον. τούτων οὕτως προληφθέντων ἡ κεφαλὴ καὶ τὸ ζῷον

---

2 αὐτὸς om. K 3 pr. πρός τι om. P τῷ] τὸ P 3. 4 τοῦτ' ἔστιν om. KP 4 οἷς] εἰς P ἡ addidi (cf. v. 12) 5 τὴν γὰρ—ὑπογράφει (6) suppl. P² 8 ὁ ἄρα—οἶδε (9) iter. K 9 an εἰδέναι ὅτι οὐχ ἕπ. ταύτῃ? 10 τῶν om. K 11 λέγειν iter. P ἕπεται] ἐπέχεται (sic) P 13 pr. τῷ] τὸ H 14 οὐ κεφ. Marc. 217: κεφ. οὐ HKP 17 κεφαλὴ (pr. l.) P εἶναι—κεφαλὴ suppl. P² alt. τὸ om. P 18 κεφαλὴ scripsi: κεφαλὴν libri post κεφαλὴ iter. εἶναι (17)—κεφαλὴ (τὸ ante ζῷον om.) P 19 μέντι H 22 ἐὰν] an εἰ? 24 ὡς υἱὸν addidi 25 πᾶσαν K ὡς scripsi: καὶ libri 26 ἀπαιτουμένῳ scripsi: ἀπαιτούμενος HK: ἀπετούμενος P 27 ἐπὶ om. K οὐκ ἔστι—παχυμερῶς suppl. (ante οὐκ addito ὅτι) P² 28 post παχυμ. addita τρίτον οὐκ ἔστιν ἐπὶ τῶν πρός τι del. H μὲν om. P 33 οἷον iter. P ἐὰν] fort. δὰν ut 218,28 34 καὶ superscr. H

οὐκ εἰσι τῶν πρός τι· εἰ γὰρ οὐκ ἔστιν ἐπὶ τῶν πρός τι τὸ μὲν εἰδέναι τὸ δὲ ἀγνοεῖν, τὴν δὲ κεφαλὴν δύναμαι εἰδέναι ἀγνοουμένου οὗ ἐστι κεφαλὴ διὰ τὸ ἐγκεκαλύφθαι τὸ λοιπὸν σῶμα, ὃ πέπονθεν Ἠλέκτρα ἐπὶ τοῦ Ὀρέστου * * . καὶ τὸ αὐτὸ ἔστιν εἰπεῖν ἐπὶ τοῦ προτείνοντος τὴν χεῖρα ἐγκεκαλυμ-
5 μένου δὲ τὸ λοιπὸν σῶμα. τινὲς πρὸς τοῦτό φασιν ὅτι εἰ μὴ οἶδα τίνος ἐστὶν ἡ κεφαλή, οὐδὲ εἰ κεφαλή ἐστιν οἶδα, κακῶς λέγοντες· τὴν γὰρ κεφαλὴν γινώσκομεν ἀπὸ μεγέθους, σχήματος, | τριχῶν, κἂν μὴ ᾖ τὸ 272r λοιπὸν σῶμα. ἄλλοι φασὶ ὅτι ναί, οἶδα καὶ τίνος ἐστὶ κεφαλή· οἶδα γὰρ ὅτι ἀνθρώπου. πρὸς οὓς φαμεν ὅτι τὸ λῆμμα οὐχ οὕτως ἔχει, ἵνα τὸ μὲν
10 οἶδας ὡς μερικὸν τὸ δὲ ὡς καθόλου, τὸ δὲ λέγειν ὅτι 'ἐὰν ἴδω κεφαλήν, οἶδα καὶ τίνος ἐστίν· ἀνθρώπου γάρ' καθολικόν ἐστι καὶ μερικόν, διότι ἡ ὁρωμένη κεφαλὴ μερικὴ ὁ δὲ ἄνθρωπος καθόλου.

Ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος πρὸς ταῦτα ὅτι παρὰ θύρας προῆλθεν ἡ λύσις τῆς ἀπορίας· ἠπορήθη γὰρ ἐπὶ τῆς ἁπλῶς κεφαλῆς, λέλεκται δὲ ἐπὶ
15 τῆς τινὸς κεφαλῆς· ἀνωτέρω γὰρ ἐλέγετο ὅτι ἡ κεφαλὴ ζῴου κεφαλή, νῦν δὲ ἐπὶ τῆς ὁρωμένης κεφαλῆς λέλυται, ἥτις ἐστὶν ἐπὶ μέρους· ἡ γὰρ καθόλου κεφαλὴ ἀόρατος. διὸ αὐτὸς λέγει λύσιν ἄλλην· φησὶ γὰρ ὅτι 'συλλέλυταί μοι καὶ τὸ πρῶτον, ὃ ἐπὶ τῆς ὁρωμένης κεφαλῆς λέλυται, ἥτις ἐστὶν ἐπὶ μέρους· εἰ γὰρ ἡ τὶς κεφαλὴ μή ἐστι τῶν πρός τι, οὐδὲ ἡ ἁπλῶς κεφαλὴ
20 τῶν πρός τι (ὅσα γὰρ τῶν ἐπάνω κατηγορεῖται, καὶ τῶν ὑποκάτω), καὶ εἰ ἡ ἁπλῶς κεφαλὴ οὐκ ἔστι τῶν πρός τι, οὐδὲ ἡ τὶς κεφαλὴ διὰ τὴν αὐτὴν αἰτίαν'. καί φαμεν ἡμεῖς πρὸς τὸν Ἀλέξανδρον ὅτι ὅσον ἀπὸ λύσεώς σου οὐκ ἔσται ἓν σημαινόμενον τῶν πρός τι τὸ διὰ τὴν πρὸς τὸ γένος ἀναφοράν, ὃ ἀνωτέρω ἡμῖν δέδεικται· δυνατὸν γὰρ τῷ μὲν μερικῷ μὴ
25 ὑπάρχειν, τῷ δὲ καθόλου ὑπάρχειν, οἷον ἡ τὶς γραμματική, μὴ οὖσα τῶν πρός τι δι' ἑαυτήν, διὰ τὸ γένος τῶν πρός τι λέγεται εἶναι. τί οὖν ἄτοπον τὴν τινὰ μὲν κεφαλὴν μὴ εἶναι τῶν πρός τι, τὴν δὲ καθόλου τῶν πρός τι εἶναι; οἱ περὶ Ἀμμώνιον δέ φασιν ὅτι οὐδὲ ἐπὶ τῆς ἁπλῶς δυνατὸν εἰπεῖν τίνος ἐστὶ κεφαλὴ ἐπὶ τῶν ὁμοίων ζῴων, λύκου καὶ κυνός, φάττης καὶ
30 περιστερᾶς· ἄδηλον γὰρ τίνος διὰ τὴν πολλὴν ὁμοιότητα. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ὁ μέντοι κριτικώτατος Συριανός φησιν ὅτι οὐδὲν διαφέρει ἡ πρώτη ὑπογραφὴ δευτέρας, ἀλλ' ἡ ἐξήγησίς ἐστιν ἑτέρα τῆς ἑτέρας· διὰ τί γὰρ τὰ πρός τι ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται; ἐπειδὴ τὸ εἶναι

---

2 οὗ ἐστι K²: οὐκ ἔστι HK¹P   3 πέπονθεν Ἠλέκτρα] spectat Eur. El. 572 sqq.   4 post Ὀρέστου lac. signavi, conicias ἡ κεφαλὴ οὐκ ἔστι τῶν πρός τι   τὸ αὐτὸ ἔστιν εἰπεῖν ex Marc. 217 scripsi: ὅ ἐστιν HKP   4. 5 ἐγκεκαλυμένου H   5 λοιπὸν ex λογικὸν corr. P   εἰ] ἡ P   6 κακῶς K²: καλῶς HK¹P   8 ναὶ] καὶ P   9 λῆμα H   10 λέγει H   11 ἀνθρώπου scripsi: ἄνθρωπος libri (cf. v. 9)   12 μερικὸν K   13 ὅτι om. K   19 ἡ τὶς] εἴ τις KP   20 ante ὅσα add. εἴπω P   21 ἡ εἰ coll. P   23 τὴν πρὸς in mrg. suppl. H   24 ἀνωτέρω] p. 203,12   supra ἀνωτ. scripsit καὶ H   μερικὸν K   27 μὲν superscr. K   28 οἱ περὶ Ἀμμώνιον] haec λύσις ab Ammonio et Philopono omittitur, ab Olympiodoro tangitur   32 μέντοι κριτικώτατος scripsi: μὲν διακριτικώτατος libri

ἔχει ἐν τῇ πρὸς ἕτερον σχέσει. καὶ διὰ τί ἃ τὸ εἶναι ἔχει ἐν τῇ πρὸς
ἕτερον σχέσει; ἐπειδὴ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. ἀλλ' εἰ ἄρα
σαφεστέρα ἡ Πλατωνική, ἐπειδὴ πρόσκειται τὸ λέγεται, ἀσαφεστέρα δὲ ἡ
Ἀριστοτελική. * * ἐπ' ἀμφοτέρων τῶν ὅρων ληπτέον τῆς Πλατωνικῆς καὶ
5 τῆς Ἀριστοτελικῆς ἢ ἐπὶ ἑνὸς ὅρου τὸ λέγεται [ἐπὶ δὲ τῆς Ἀριστοτελικῆς
οὐχ οὕτως]· οἷον πρός τί ἐστιν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται
ἵνα λαμβάνῃς ἐπὶ ἑνὸς ὅρου, οἷον κεφαλῆς καὶ ζῴου, τὴν μὲν κεφαλὴν
τυχὸν τινὸς λαμβάνεις, οὐκέτι δὲ καὶ τὸ πρὸς ὃ λέγεται ἀξιοῖς πρὸς τὴν
κεφαλὴν λέγεσθαι. εἰ δὲ τὸ λέγεται | ἐπὶ τῶν δύο ὅρων νοηθῇ ἔχουσα 272v
10 ἡ ὑπογραφὴ τοῦ Πλάτωνος, οὐχ ἕπεται αὐτῇ οὐδὲν ἄτοπον. ἀλλὰ καὶ τῇ
Ἀριστοτελικῇ ἄτοπον ἕπεται ὑπογραφῇ, εἰ ἐπὶ ἑνὸς ὅρου ληφθείη μόνον ἡ
ἀπόδοσις. οὐδὲν δέ φησιν ὁ Ἀριστοτέλης ὅτι φαύλη πάντῃ ἡ ὑπογραφὴ
τοῦ Πλάτωνος· μέλλων γὰρ ἀνθορίζεσθαί φησιν οὕτως· εἰ μὲν οὖν ἱκανῶς
ἔχει ὁ τῶν πρός τι ὁρισμός, ἢ χαλεπὸν ἢ ἀδύνατον λῦσαι τὴν ἀπορίαν·
15 ἐὰν γὰρ καλῶς ἔχῃ, φησίν, ἡ Πλατωνικὴ ὑπογραφὴ καὶ καθ' αὑτὴν γένηται
ἡ ἀπόδοσις ὡς ἐπὶ ὅλου καὶ μέρους, χαλεπὴ μὲν ἡ λύσις, οὐκ ἀδύνατος δὲ
διὰ τοὺς προσδιορισμοὺς δι' αὐτοὺς χαλεπούς, τὸ καθ' αὑτὸ καὶ οὐ καθ'
αὑτό, εἰ δὲ κατὰ συμβεβηκὸς γένηται ἡ ἀπόδοσις, ἵνα ἡ κεφαλὴ ὡς κεφαλὴ
τοῦ ζῴου ὡς ζῴου εἴη κεφαλή, ἀδύνατον λῦσαι τὴν ἀπορίαν. διὸ καὶ εὐγνω-
20 μόνως ἐπάγει λέγων ὅτι οὐ δεῖ περὶ τῶν τοιούτων προπετῶς ἀποφαίνεσθαι καὶ
κατατρέχειν τῶν παλαιῶν μὴ πολλὰ ἐπεσκεμμένον· ἄμεινον γὰρ τεχνικῶς
ἀπορεῖν ἢ ψευδῶς λύειν· ἐνιαχοῦ γὰρ καὶ μέχρι τῆς ἀπορίας δεῖ ἵστασθαι
καὶ μὴ βιάζεσθαι πάντως λέγειν λύσιν. ἀλλ' ἵνα μή τις εἴπῃ ὅτι μαται-
οπονοῦμεν ἀποροῦντες καὶ μὴ ἐπιλυόμενοι, οὐδὲ αὐτό φησι τὸ διαπορεῖν
25 καθ' αὑτὸ ἄχρηστον· ἡ γὰρ ἀπορία ὁδός ἐστιν εἰς εὐπορίαν, δριμυτέραν
καὶ πλατυτέραν ποιοῦσα τὴν ψυχὴν πρὸς ὑποδοχὴν πλειόνων, ὡς ἐπὶ τῶν
πυρεκβόλων λίθων τῶν διὰ τῆς παρατρίψεως φῶς ἀφιέντων· καὶ ἡ ψυχὴ
γὰρ θλιβομένη διὰ τῶν ἐφ' ἑκάτερα κινήσεων καὶ ἐπιχειρήσεων ἀπογεννᾷ
τὸ τῆς ἀληθείας φῶς· τὸ γὰρ μηδὲ ὅλως ἀπορεῖν ἢ θεοῦ τοῦ πάντα εἰ-
30 δότος ἢ λίθου τοῦ μηδὲν εἰδότος. ταῦτα περὶ τῶν πρός τι. ἐν οἷς καὶ
ἡ παροῦσα πρᾶξις.

---

1 καὶ—σχέσει (2) in mrg. suppl. P ἃ scripsi: οἷς libri 4 post ἀριστοτ. defectum signavi, conicias ἄδηλον δέ ἐστιν εἰ 5. 6 ἐπὶ δὲ—οὕτως delevi 8 τὸ om. K 9 δὲ scripsi: γὰρ libri ἐπὶ iter. H ἔχουσα ἡ scripsi: ἡ ἔχ. HKP: ἔχ. Brand. 12 ὁ om. H 13 τοῦ om. HP ἱκανὸς H 15 γὰρ superscr. H ἔχει H 17 δι' αὐτοὺς χαλεπούς scripsi: δι' αὐτοὺς χαλεπῆ (sic) libri 19 εἴη] εἰ ἡ H: ἡ P 19. 20 ἀγνομόνως H 21 ἐπεσκεμμένον scripsi: ἐπεσκεμμένος H: ἐπεσκεμμένως KP 22 δεῖ ἵστ.] διΐστ. H 24 ἀποροῦμεν H οὐδὲ iter. P διαπορ.] ἀπορ. K 25 εὐπορίαν K2: ἐμπορίαν (sic) HK1P 30 ἐν οἷς om. HP

Περὶ ποιοῦ καὶ ποιότητος.

p. 8b25 Ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες λέγονται.

Τέσσαρα δὲ κεφάλαια τῆς παρούσης κατηγορίας δεῖ προλαβεῖν, πρῶτον μὲν τὴν τάξιν τῆς ποιότητος τὴν πρὸς τὰς λοιπὰς κατηγορίας, δεύτερον τὴν
5 αἰτίαν τῆς ἐπιγραφῆς, τρίτον τὴν διαίρεσιν αὐτῆς, τέταρτον τὴν τάξιν τῶν διαιρεθέντων εἰδῶν, ὧν ἡ παροῦσα ⟨πρᾶξις⟩ δύο τὰ πρῶτα παραδίδωσι, τὴν τάξιν καὶ τὴν ἐπιγραφήν. διὰ τί τοίνυν τετάρτην εἴληφε τάξιν μετὰ τὴν οὐσίαν καὶ τὸ ποσὸν καὶ τὰ πρός τι; καὶ λέγομεν τούτου πέντε αἰτίας. πρώτην μέν· αὕτη μόνη ἔλειπεν ἐν ταῖς ἁπλαῖς κατηγορίαις καὶ ἔδει περὶ
10 ταύτης μετ' ἐκείνας διαλαβεῖν. δευτέρα αἰτία· ὅτι ἐδεήθη τῶν πρός τι ἡ ποιότης ἐν οἰκείᾳ ἐπιγραφῇ αὐτῆς, προσεχῶς δὲ περὶ τῶν πρός τι διελεγόμεθα, εἰκότως μετὰ τὰ πρός τι περὶ αὐτῆς διαλέγεται· ἐπιγέγραπται γὰρ Περὶ ποιοῦ καὶ ποιότητος, ἅπερ εἰσὶ τῶν πρός τι· ἡ γὰρ ποιότης | πεποιωμένου ποιότης καὶ τὸ πεποιωμένον ποιότητι πεποιωμένον. πῶς δὲ τῶν 273r
15 πρός τι ἡ ποιότης νοηθείη, ἐν τοῖς ἑξῆς ῥηθήσεται. διὸ καὶ νόμῳ τῶν πρός τι δι' ἀλλήλων αὐτὰ ὑπογράφει, τὸ ποιὸν διὰ τῆς ποιότητος καὶ τὴν ποιότητα διὰ τοῦ ποιοῦ· μόνων γὰρ τῶν πρός τι ἴδιον τὸ δι' ἀλλήλων ὑπογράφεσθαι. τρίτη αἰτία, ὅτι ἔδει λοιπὸν καὶ περὶ τῆς ποιότητος διαλαβεῖν μετὰ τρεῖς κατηγορίας διὰ τοὺς λέγοντας μὴ εἶναι φύσει τὰς ποιό-
20 τητας, ἀλλὰ τῇ θέσει τῶν ἀτόμων ἕπεσθαι, κατὰ τοὺς λέγοντας 'νόμῳ γλυκύ, νόμῳ πικρόν'. τετάρτη αἰτία, ὅτι ἔδει περὶ ποιότητος διαλαβεῖν ὡς ἐπειγούσης τῆς ζητήσεως διὰ τοὺς λέγοντας μὴ εἶναι καθ' αὑτὰς τὰς ποιότητας, ἀλλ' ἐν τῇ πρὸς ἕτερον σχέσει τὸ εἶναι ἔχειν· τὸ γὰρ μέλι οὐ καθ' αὑτὸ γλυκύ, φασίν, ἀλλὰ πρὸς τὸν ὑγιαίνοντα (τῷ γὰρ ἰκτερικῷ πικρὸν φαίνεται),
25 τὸ πῦρ οὐ καθ' αὑτὸ θερμόν (οὐ γὰρ πᾶσι θερμόν· οὐ δήπου γὰρ καὶ τῇ σαλαμάνδρᾳ), οὐδὲ ὁ ἥλιος πᾶσι φωτεινός· ταῖς γὰρ νυκτερίσι σκοτεινὸς δοκεῖ εἶναι. πέμπτη αἰτία, ὅτι ἔδει καὶ περὶ τῆς ποιότητος συντόμως διαλαβεῖν δι' Ἀντισθένην καὶ τοὺς περὶ αὐτὸν λέγοντας 'ἄνθρωπον ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ', ὡς ἀναιροῦντας τὴν ἁπλῶς ποιότητα. ἐν οἷς τὸ
30 πρῶτον κεφάλαιον.

Δεύτερον δὲ κεφάλαιον ἡ αἰτία τῆς ἐπιγραφῆς, διὰ τί Περὶ ποιοῦ καὶ ποιότητος ἐπέγραψεν ἐνταῦθα μόνον, ἐπὶ ἄλλων δὲ οὐχ οὕτως ἐπέγραψεν,

---

1 ποιοῦ καὶ om. HP post ποιότητος add. προλεγόμενα K 2 lemma om. K λέγονται scripsi: λεγόμεθα HP: εἶναι λέγονται Arist. (cf. p. 221,33) 3 δὲ om. K κεφάλεα P κατηγ.] πραγματείας K 4 post μὲν additum τῆς τάξις (sic) del. P 5 ὑπογραφῆς K¹ 6 ὧν superscr. P πρᾶξις inserui 9 ἔλιπεν H 13 ποσότητος H 14 ποιότητι πεπ.] ποιότητος πεπ. H: ποιώτητος (sic) πεποιωμένον in mrg. suppl. P 20 ἀτ.] l. ἀνθρώπων 21. 22 ἐπιγούσης K¹P 22 ζητ.] ἐξηγήσεως K post τὰς additum αἰτίας del. P 23 εἶναι om. P 24 φένεται P 28 Ἀντισθ.] cf. Zelleri Phil. Gr. II p. 254 ἀνθροπότητα HP 29 ἀναιροῦντας corr. Brand.: ἀναιροῦντα HKP 31 δὲ om. K 32 ἐπέγραφεν H

οἷον Περὶ οὐσίας καὶ οὐσιότητος καὶ Περὶ ποσοῦ καὶ ποσότητος. καὶ λέγομεν ὅτι ἡ ποιότης δι' ἑαυτὴν ἐπιγέγραπται οὕτως, αἱ δὲ ἄλλαι οὐ δι' ἑαυτὰς ἀλλὰ διὰ τὴν ποιότητα· καὶ ἡ οὐσιότης γὰρ καὶ ἡ ποσότης ποιότης, ἐπειδὴ πᾶς χαρακτὴρ ποιότητος. δεῖ δὲ εἰδέναι ὅτι τρία σημαίνει τὸ ποιὸν 5 παρὰ τῷ Ἀριστοτέλει, τὴν ποιότητα αὐτήν, τὴν κατηγορίαν, ὅτε λέγει ὅτι ὑπάρχει τῷ ποιῷ τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὰ ἐναντία, ἀλλὰ καὶ τὸ δεδεγμένον, τοῦτ' ἔστι τὸ πεποιωμένον, ὅτε λέγει ποιότητα λέγω καθ' ἣν ποιοί τινες λέγονται (τὸ γὰρ ποιὸν τὸ δεδεγμένον σημαίνει τὸν χαρακτῆρα· ἔστι γὰρ ἐν ἑκάστῃ κατηγορίᾳ χαρακτήρ, πᾶς δὲ χαρακτὴρ 10 ποιότητος ἴδιον), ἢ τὸ συναμφότερον, ὅτε καὶ τῶν πρός τι· εἰ μὴ γὰρ τὰ ἀμφότερά τις νοήσει, τὸ δεδεγμένον, τοῦτ' ἔστι τὸ πεποιωμένον, ἅμα τῇ ποιότητι, οὐ δύναται εἰπεῖν αὐτὰ τῶν πρός τι. ἐφ' οἷς καὶ ἀποροῦσιν ὅτι διὰ τί ἐν τῇ ἐπιγραφῇ τὸ ποιὸν τῆς ποιότητος προέταξε. καὶ λέγομεν ὅτι ὡς σαφέστερον· σαφέστερον γὰρ τὸ δεδεγμένον αὐτῆς τῆς ποιότητος. 15 πάλιν ἀποροῦσι διὰ τί ἐν ταῖς ὑπογραφαῖς προέταξε τὴν ὑπογραφὴν τῆς ποιότητος τῆς ὑπογραφῆς τοῦ ποιοῦ. καὶ λέγομεν ὅτι εὐλόγως· σαφεστέρα γὰρ ἡ ὑπογραφὴ τῆς ποιότητος ὡς ἐκ τοῦ πεποιωμένου γενομένη τῆς | ὑπογραφῆς τοῦ ποιοῦ ἐκ τῆς ποιότητος γενομένης ἀσαφεστέρας οὔσης. ἔστι δὲ καὶ ἄλλη τις ἀπορία· ἐπειδὴ ἀνωτέρω ἐλέγομεν ἐπὶ τῶν πρός τι μὴ εἶναι 20 μετέχον καὶ μετεχόμενον, ἐπειδὴ τὰ πρός τι ἀντίκειται ἀλλήλοις, πῶς λέγομεν ἐπὶ ποιότητος πρός τι, ἐπειδὴ ἡ ποιότης πεποιωμένου ποιότης καὶ τὸ ἀνάπαλιν; μετέχει γὰρ τὸ πεποιωμένον τῆς ποιότητος. ἔστι δὲ καὶ ἡ λύσις αὕτη· ὅτι οὔτε ἡ ποιότης ποτὲ κυρίως πρός τι (καθ' αὑτὸ γάρ), οὔτε τὸ δεδεγμένον, ἀλλὰ κυρίως πρός τι ἐπὶ ποιότητος οἷον ἡ λεύκανσις, ἡ μέ- 25 λανσις, ὡς σχέσις δύο πραγμάτων οὖσα· μία γὰρ ἡ σχέσις τῶν πρός τι, ὡς εἶναι τρία, λευκότητα, λελευκωμένον, λεύκανσιν. καὶ οὕτως ἐπὶ πάσης ποιότητος ἀναλόγως καὶ παντὸς πράγματος. καὶ ἄλλως λυτέον· ὅτι τὸ μέσον, ἡ λεύκανσις, ἡ θέρμανσις, αὐτὸ τὸ πρός τί ἐστι, τὸ ἐκφωνούμενον αὐτὸς ὁ χαρακτὴρ τοῦ πρός τι καὶ ἡ ποιότης (πᾶς γὰρ χαρακτὴρ ποιότητος), τὰ 30 δὲ ἄκρα, οἷον τὸ θερμαῖνον καὶ τὸ θερμαινόμενον, τὰ πρός τί εἰσι τὰ πεπονθότα τὴν σχέσιν καὶ πληθυντικῶς ἐκφωνούμενα. οὐκ ἐπὶ πάντων δὲ κεῖνται τὰ ὀνόματα. ταῦτα ἔχει ἡ πρᾶξις.

273v

p. 8b25 Ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες λέγονται.

Τρίτον κεφάλαιον τῶν προτεθέντων εἰπεῖν τὴν διαίρεσιν τῆς ποιότητος. 35 ἀλλ' ἵνα γνῶμεν τὴν διαίρεσιν, τρία τινὰ αὐτῆς προλάβωμεν, τὴν ἀπαρίθμησιν τῶν εἰδῶν τὴν ψιλὴν καὶ τὴν ὑπογραφὴν αὐτῶν ἑκάστου καὶ τὴν διαφοράν. καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τέσσαρα τοίνυν εἴδη ποιότητος κατὰ συζυγίας

---

4 τρία Olymp.: τέσσαρα HKP 5 τῷ] τὸ H 6 τὸ (ante ἧττον) om. H 7 alt. τὸ] τῶ H 8 λέγω om. K τινες εἶναι Arist. 10 εἰ μὴ] εἰμὶ H 11 alt. τὸ om. K 19 ἀνωτέρω] p. 208,17 25 γὰρ] an δὲ? 27 τὸ om. P 30 τὸ utrobique superscr. K θερμαινομενόμενον (sic) H 32 τὰ om. HP 33 τινες εἶναι Arist. 35 αὐτοῖς P

προφερόμενα, ἕξις καὶ διάθεσις, δύναμις καὶ ἀδυναμία, παθητικὴ ποιότης καὶ πάθος, σχῆμα καὶ μορφή. τέσσαρα δὲ καὶ οὐχὶ ὀκτώ εἰσι τὰ εἴδη αὐτῆς, διότι κατὰ συζυγίας ταῦτα προφερόμενα τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι, τὸ δὲ μᾶλλον καὶ ἧττον εἴδους ἐξαλλαγὴν οὐ ποιεῖ· ἕξις γὰρ καὶ 5 διάθεσις τῷ μονιμωτέρῳ καὶ ὀλιγοχρονιωτέρῳ διαφέρουσι, δύναμις δὲ καὶ ἀδυναμία τῷ εὐκόλῳ καὶ δυσκόλῳ. παθητικὴ δὲ ποιότης καὶ πάθος διαφέρουσιν, ὅτι παγιούμενον τὸ πάθος εἰς παθητικὴν ποιότητα μεταβάλλει. ἀλλὰ καὶ σχῆμα καὶ μορφὴ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι· τὸ γὰρ σχῆμα περὶ τὰ κατ' ἐπίνοιαν λαμβάνεται, οἷον τρίγωνον ἢ τετράγωνον, ἡ 10 μορφὴ ἐπὶ τῶν φυσικῶν· εἰκόνες δὲ τὰ ἐπινοήματα τῶν φυσικῶν, καὶ διὰ τοῦτο * * ὑφειμέναι εἰσὶν αἱ εἰκόνες τῶν ὧν εἰσιν εἰκόνες. καὶ Ἀριστοτέλης δὲ τὴν μορφὴν ἐπὶ τῶν φυσικῶν οἶδε λέγων σχῆμά τε καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφή, διὰ τοῦ ἕκαστον τὸ φυσικὸν αἰνιττόμενος. καὶ ταῦτα μὲν περὶ τούτων.

15 Ἐφ' οἷς τὰς ὑπογραφὰς αὐτῶν λεκτέον. ἕξις τοίνυν ἐστὶ ποιότης δυσαπόβλητος τελειωτικὴ ἢ κακωτικὴ τοῦ ὑποκειμένου, τελειωτικὴ μὲν ὡς ἐπιστήμη καὶ ἀρετὴ καὶ ἡ τῶν πεντάθλων ὑγίεια, κακωτικὴ δὲ ὡς ληστρική, ἑκτικὸς πυρετός. διάθεσις δέ ἐστιν ἡ εἰς ἕξιν ὁδός. | δύναμις δέ ἐστιν 274r ἐπιτηδειότητος προκοπή, ἀδυναμία δὲ ἡ δυσκολία, καθώς φαμεν τὸν νωθῆ 20 ἀδυνάτως ἔχειν πρὸς γεωμετρίας μάθησιν. καὶ αὕτη δὲ ἡ ἀδυναμία ἤγουν δυσκολία καὶ ἡ δύναμις ἤγουν ἡ εὐκολία, ἤτοι ἐπιτηδειότητος προκοπή, ὑπὸ τὴν ποιότητα ἀνάγονται ὡς κράσει ἑπόμεναι, ὅθεν καὶ ἐπιτηδειότητα προκοπῆς τὴν δύναμιν λέγουσιν ὡς τῆς κράσεως, εἴ τινι ἕπεται, ἐπὶ τὸ βέλτιον προκοψάσης· ἡ γὰρ ἁπλῶς δύναμις, ἤγουν τὸ δύνασθαι, καὶ ἡ 25 ἀδυναμία ταῦτα παντὶ ἀνθρώπῳ ἕπεται, ἐπειδὴ πᾶς ἄνθρωπος πρὸς πᾶσαν τέχνην καὶ ἐπιστήμην ἐπιτηδείως ἔχει, ἀδυναμίαν δὲ πάλιν πᾶς ἄνθρωπος ἔχει τοῦ ἵπτασθαι. διὸ ταῦτα πᾶσιν ἁπλῶς ὑπάρχοντα ἀνθρώποις ὡς νοῦ καὶ ἐπιστήμης δεκτικοῖς οὖσιν οὐσίαι εἰσί· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικὸν οὐσία τοῦ ἀνθρώπου. τὸ δὲ ἄλλο σημαινόμενον τὸ τῆς δυνάμεως 30 καὶ ἀδυναμίας, ὡς μὴ πᾶσιν ὑπάρχον (τοῖς μὲν γὰρ δυσκολία ὑπάρχει τοῖς δὲ εὐκολία), ὑπὸ τὴν ποιότητα ἀνάγεται ὡς κράσει ἑπόμενον. παθητικὴ δὲ ποιότης ἐστὶν ἡ πάθει τινὶ συνεζευγμένη. τριττὴ δὲ αὕτη· ἢ γὰρ πάθος ἐμποιεῖ ἐν ἡμῖν, ἀπὸ πάθους δὲ οὐκ ἐγένετο, ὡς ἡ θερμότης τοῦ πυρός (αὕτη γὰρ πάθος ἐμποιοῦσα ἐν ἡμῖν θερμαίνουσα ἡμᾶς ἀπὸ πάθους οὐκ 35 ἐγένετο), ἢ ἀπὸ πάθους μὲν ἐγένετο, πάθος δὲ οὐ ποιεῖ, ὡς τὰ χρώματα· ταῦτα γὰρ ἀπὸ πάθους ὄντα, τῆς κράσεως, ἐν ἡμῖν πάθος οὐ ποιοῦσι παρώνυμον ἑαυτοῖς· οὐδὲ γὰρ λευκαίνουσιν ἡμᾶς ὁρώμενα τὰ λευκὰ χρώ-

---

1 προφερόμ.] φερόμ. KP 2 ὠκτώ P 4 οὐ om. K 5 ὀλιγωχρ. H 8 γὰρ] μὲν H 9 post σχῆμα addita περὶ τὰ κατ' ἐπίνοιαν del. H περὶ τὰ] ἐπὶ τῶν H 11 post τοῦτο lac. signavi 12 δὲ om. K τε scripsi: δὲ HKP 15 αὐτὰς K 17 καὶ (post ἀρετὴ) om. HP ὑγία P 18 δέ (post διάθ.) om. HP ἡ om. HP 19 καθό K 21 ἤτοι] ἤγουν P 22 ὑπὸ] ἐπὶ KP ἀνάγουσα K 27 ἵπασθαι P 30 ὑπάρχον (alt. l.) HP 33 ὑμῖν P

ματα ἢ μελαίνουσι τὰ μέλαινα, ὡς θερμαίνουσι τὰ θερμὰ πάθος ἐμποιοῦντα παρώνυμον ἑαυτοῖς· εἰ γὰρ καὶ συγκρίνουσι μὲν τὰ μέλαινα τὴν ὁρῶσαν ὄψιν διακρίνουσι δὲ τὰ λευκά, ἀλλὰ παρώνυμον πάθος ἑαυτοῖς οὐ ποιοῦσιν, ὥσπερ ἐλέγομεν τὸ θερμὸν θερμαίνειν καὶ τὸ γλυκὺ γλυκαίνειν. ἄλλο
5 τρίτον εἶδος τῆς παθητικῆς ποιότητος τὸ καὶ ἀπὸ πάθους γινόμενον καὶ πάθος ποιοῦν, ὡς ἡ τοῦ ζωμοῦ γλυκύτης· αὕτη γὰρ καὶ ἀπὸ πάθους ἐγένετο, τῆς καρυκείας, καὶ πάθος ἐμποιεῖ τῇ γεύσει. πάθος δέ ἐστιν ἡ εἰς παθητικὴν ποιότητα ὁδός. ἰστέον δὲ ὅτι παθητικὴν ποιότητα ἀπὸ πάθους γινομένην ἐκείνην βούλεται ὁ Ἀριστοτέλης εἶναι, ἥτις συμβαίνει τοῖς σώμασι
10 καὶ πάλιν ἀποσυμβαίνει, τοῦ κατὰ τὴν οὐσίαν ⟨λόγου⟩ τοῦ προτέρου εἴδους αὐτοῦ τοῦ ὑποκειμένου σώματος τοῦ πάσχοντος ἀτρέπτου μένοντος καὶ φυλαττομένου, οἷον ὡς ἐπὶ λίθου λευκαινομένου ἢ μελαινομένου ἢ ἀνθρώπου αὐτὸ τοῦτο πάσχοντος· ἡ γὰρ τῶν τοιούτων λευκότης ἢ μελανία ἢ ἄλλο ὁποιονοῦν χρῶμα, οὕτω συμβαῖνον αὐτοῖς, οὐ ποιεῖ ἐν ἡμῖν ἢ ἐν ἄλλοις σώμασι
15 παρώνυμον ἑαυτῷ πάθος· εἰ γὰρ ποιήσει, ὑπὸ ἄλλο εἶδος πεσεῖται τῆς ποιότητος, τὸ πρῶτον· οὐ γὰρ παθητικὴ ποιότης | ἀπὸ πάθους γινομένη 274v ἡ γλυκύτης τοῦ μέλιτος καὶ ἡ λευκότης τῆς χιόνος ἢ τοῦ ψιμυθίου· ταῦτα γὰρ οὐσίαι αὐτῶν εἰσι καὶ οὐκ ἐπιγίνονται ἄλλοις σώμασιν ἄτρεπτον φυλάξασι τὸ οἰκεῖον εἶδος, ὡς ἄνθρωπος λευκαινόμενος ἢ μελαινόμενος καὶ
20 φυλάττων τὸ ἀνθρώπειον εἶδος· ἡ γὰρ γλυκύτης τοῦ μέλιτος καὶ ἡ λευκότης τῆς χιόνος εἴδη ὄντα οὐ γίνονται καὶ ἀπογίνονται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου, ὡς ἡ λευκότης τοῦ κηροῦ. σχῆμα δὲ ἡ τοῦ παντὸς ὄγκου ἀποπεράτωσις, οἷον ῥινὸς ἢ ὠτὸς ἢ χείλους, μορφὴ δὲ ἡ τοῦ ὅλου εἴδους ἀποπεράτωσις, ὅλου, εἰ τύχοι, τοῦ προσώπου ἢ ὅλου ἀνθρώπου. αὗταί εἰσιν
25 αὐτῶν αἱ ὑπογραφαί.

Ἐφ' οἷς εἴπωμεν καὶ τὰς διαφορὰς αὐτῶν. διαφέρει τοίνυν ἡ δύναμις καὶ ἀδυναμία τῶν λοιπῶν εἰδῶν, ὅτι ταῦτα μὲν δυνάμει ἐκεῖνα δὲ ἐνεργείᾳ. ἐν δὲ τοῖς ἐνεργείᾳ σχῆμα καὶ μορφὴ διαφέρει τῶν λοιπῶν δύο, ὅτι τὰ μὲν ἐπιπολῆς τὰ δὲ ἐν βάθει· διὰ βάθους γὰρ ἡ ἕξις καὶ ἡ παθητικὴ
30 ποιότης. ἐν δὲ τοῖς διὰ βάθους διαφέρει παθητικῆς ποιότητος ἡ ἕξις, τῆς ἀπὸ πάθους μὲν γινομένης μὴ μέντοι πάθος ποιούσης, ὅτι καὶ αὕτη ἐπιπολῆς ἡ δὲ διὰ βάθους, ἡ ἕξις φημί. τῆς πάθος ἐμποιούσης οὐ μὴν ἀπὸ πάθους γεγενημένης διαφέρει, ὅτι ἡ μὲν πρὸς τὸ ἐν ᾧ ὑπάρχει ὑποκείμενον, τὴν ψυχήν, λέγεται, ⟨ἡ⟩ ἕξις, ἡ δὲ πρὸς τὸ περὶ ὃ ἐνεργεῖ· ἐν ἄλλῳ
35 γὰρ ποιεῖ τὸ πάθος ἡ θερμότης ἐν ἄλλῳ αὐτὴ οὖσα ὑποκειμένῳ. τῆς δὲ ἀπὸ πάθους γεγενημένης καὶ πάθος ἐμποιούσης διαφέρει ἡ ἕξις, ὅτι ἡ μὲν μᾶλλον ἅπτεται τῆς οὐσίας, ἡ ἕξις, ἡ δὲ οὐχ οὕτως. αὗται αὐτῶν καὶ αἱ διαφοραί.

---

2 μὲν om. K 5 καὶ τὸ coll. P 8 δὲ om. KP 10 ante κατὰ add. δὲ K λόγου inserui 11 μαίνοντος H[1] 15 τὸ ἄλλο HP 18. 19 φυλάξασι scripsi: φυλάξασαι libri 21 εἴδη scripsi: εἶδος libri 24 εἰ] ἡ P 27 ante ἀδυν. add. ἡ K 29 ἐπὶ πολλῆς P λέξις P 31 ponas αὕτη καὶ 33. 34 ὑπάρχει ὑποκείμενον scripsi: ὑπόκειται libri (cf. p. 224,9) 34 τὴν ψυχήν in lac. om. K ἡ inserui 36 ἡ ἕξις superscr. K: ἡ λέξις P 37 ἅπτ.] ἕπεται P alt. ἡ] αἱ K

Ἐφ' οἷς εἴπωμεν καὶ τὴν διαίρεσιν τῆς ποιότητος (ἔστι δὲ καὶ ἄλλως διελεῖν τὴν ποιότητα, ὡς οἶμαι)· ἡ ποιότης ἢ δυνάμει καὶ ποιεῖ δύναμιν καὶ ἀδυναμίαν, ἢ ἐνεργείᾳ καὶ ἐπιπολῆς καὶ ποιεῖ σχῆμα καὶ μορφὴν καὶ τὰ περὶ τὴν ἐπιφάνειαν χρώματα, ἢ διὰ βάθους. καὶ εἰ διὰ βάθους,
5 ἢ ἅπτεται τῆς οὐσίας ἢ οὐχ ἅπτεται. καὶ εἰ μὴ ἅπτεται, ποιεῖ τὴν παθητικὴν ποιότητα τὴν ἀπὸ πάθους γινομένην καὶ πάθος μὴ ποιοῦσαν. εἰ δὲ ἅπτεται τῆς οὐσίας, ἢ ⟨πρὸς τὸ⟩ περὶ ὃ ἐνεργεῖ καὶ ποιεῖ τὴν παθητικὴν ποιότητα τὴν ἀπὸ πάθους μὲν μὴ γινομένην πάθος δὲ ποιοῦσαν, ἢ πρὸς τὸ ἐν ᾧ ὑπάρχει ὑποκείμενον καὶ ποιεῖ τὴν ἕξιν. ἢ
10 μᾶλλον ἅπτεται τῆς οὐσίας καὶ ποιεῖ πάλιν τὴν ἕξιν, ἢ ἧττον καὶ ποιεῖ τὴν παθητικὴν ποιότητα τὴν ἀπὸ πάθους γινομένην καὶ πάθος ἐμποιοῦσαν. καὶ ταῦτα μὲν περὶ τούτου.

Ἐφ' οἷς εἴπωμεν τὸ τέταρτον κεφάλαιον τὸ περὶ τῆς τάξεως αὐτῶν. δεῖ εἰδέναι ὅτι πρώτη ἡ ἕξις τῶν λοιπῶν ὡς ἐν ποιότητι οὐσία, δευτέρα
15 δὲ ἡ δύναμις ὡς καὶ αὐτῆς τῆς ἕξεως ὀφείλουσα προηγεῖσθαι τῷ χρόνῳ, εἴ γε διὰ τοῦ δύνασθαί | τινα εὐκόλως ἔχειν πρὸς γραμματικὴν ἐν ἕξει 275r ταύτης γίνεται, εἰ μὴ ὅτι τὰ τέλεια τῶν ἀτελῶν ἔδει προηγεῖσθαι, τελειοτέρα δὲ ἡ ἕξις τῆς δυνάμεως. παθητικὴ δὲ ποιότης σχήματος καὶ μορφῆς προηγεῖται, ὅτι αὐτὴ μὲν ἅπτεται τῆς οὐσίας, σχῆμα δὲ καὶ μορφὴ οὐχ
20 ἅπτεται τῆς οὐσίας.

p. 8b25 Ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες λέγονται.

Ἐπιγράψας ὁ Ἀριστοτέλης Περὶ ποιοῦ καὶ ποιότητος τὴν παροῦσαν κατηγορίαν, ἑκάτερον ὑπογράφει καὶ δι' ἀλλήλων αὐτὰ ὑπογράφει νόμῳ τῶν πρός τι. καὶ πρότερον ὑπογράφει τὴν ποιότητα διὰ δύο αἰτίας· ἢ ὅτι
25 ἡ ποιότης ἡ κατηγορία, οὐ τὸ πεποιωμένον, ἢ ὅτι σαφεστέρα ἡ ὑπογραφὴ τῆς ποιότητος ἐκ τοῦ πεποιωμένου γενομένη σαφοῦς ὄντος ἤπερ ἡ ὑπογραφὴ τοῦ πεποιωμένου ἐκ τῆς ποιότητος γενομένη ἀσαφοῦς οὔσης. ἔχει δὲ ἡ ὑπογραφὴ οὕτως· ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες λέγονται. δεῖ δὲ προσυπακούεσθαι τὸ ἢ ὁπωσοῦν ἄλλως λεγόμενον μὲν
30 ἐν τῇ τοῦ ποιοῦ ὑπογραφῇ ὑπὸ τοῦ Ἀριστοτέλους ὀφεῖλον δὲ κατὰ κοινοῦ προσυπακούεσθαι. πρόσκειται δὲ τὸ ἢ ὁπωσοῦν ἄλλως [ἐπειδὴ δὲ οὐδὲ πᾶσα ποιότης παρωνύμως κατηγορεῖται, οὐδὲ πᾶν τὸ παρωνύμως κατηγορούμενον ποιότης· ἰδοὺ γὰρ τὰ πατρωνυμικὰ παρώνυμα οὐκ εἰσι ποιότητες ἀλλ' οὐσίαι], ἐπειδὴ ἡ ποιότης οὐ μόνον παρωνύμως κατηγορεῖται ἀλλὰ
35 καὶ ἑτέρως· τετραχῶς γὰρ ἡ ποιότης κατηγορεῖται, παρωνύμως ὁμωνύμως ἑτερωνύμως ἀκατονομάστως. παρωνύμως μὲν ὡς ἀπὸ τῆς ποιότητος ποιοὶ ἀπὸ τῆς γραμματικῆς γραμματικός, ἀπὸ τῆς ἰατρικῆς ἰατρός, ὁμωνύμως δὲ

---

1 pr. καὶ om. HP 4 εἰ om. HP 6 post πάθους add. μὲν K 7 πρὸς τὸ inserui 15 αὐτὴ K 20. 28 τινες εἶναι Arist. 23 post pr. ὑπογρ. addita νόμῳ τῶν πρός τι del. P 28 alt. δὲ om. P 29 δὲ om. K ὁποσοῦν ἄλλης P 30 ἐν τῇ τοῦ ποιοῦ ὑπογρ.] p. 10a28 31 ἐπειδὴ δὲ — οὐσίαι (34) inclusi 35 ὁμωνύμως in mrg. suppl. K3 36 ὡς post ποιοὶ transponas 37 alt. ἀπὸ τῆς om. HP

δὲ ὡς ἀπὸ τῆς μουσικῆς μουσικὴ γυνή· μουσικὴ γὰρ ἡ ἐπιστήμη λέγεται. ἑτερωνύμως δὲ κατηγορεῖται ἡ ποιότης ὡς ἀρετὴ καὶ σπουδαῖος· ὁ γὰρ σπουδαῖος οὐχ ὡς ἀπὸ τῆς σπουδῆς· ἡ γὰρ σπουδὴ καὶ ἐπὶ κακῷ φέρεται. οὐδὲ ἀπὸ τῆς περὶ τὰ δέοντα σπουδῆς σπουδαῖος εἴρηται· τὰ γὰρ παρώνυμα
5 ἀπὸ ὀνόματος καὶ οὐχὶ ἀπὸ λόγου· τοῦτο δὲ λόγος τὸ εἰπεῖν ἀπὸ τῆς περὶ τὰ δέοντα σπουδῆς. οὐδὲ ἀπὸ τῆς ἀρετῆς ἐνάρετος· οὐ γὰρ εὕρηται τοιαύτη χρῆσις· τὸ γὰρ παρὰ τῷ ποιητῇ

οὐκ ἀρετὰ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν

καὶ ποιητικὸν καὶ τῶν ἅπαξ εἰρημένων. τὸ δὲ ἐνάρετον τὸ μὲν διὰ τοῦ
10 ε ψιλοῦ οὐχ εὕρηται, τὸ δὲ διὰ τῆς αι διφθόγγου καὶ ποιητικὸν καὶ ἐπὶ κακῷ εἴρηται. ⟨ἀκατονομάστως δὲ⟩ τὸ δεύτερον εἶδος τῆς ποιότητος, δύναμις καὶ ἀδυναμία· εἰ γὰρ ὠνομάσθη, πυκτικότης καὶ δρομικότης καὶ γραμματικότης ἂν ὠνομάσθη, ἅπερ οὐχ εὕρηται· τὸ γὰρ δρομικὸς ἀπὸ τῆς δρομικῆς, ἥτις τελεία ἐστὶν ἕξις, καὶ ἀπὸ τῆς ἰατρικῆς ἰατρικὸς | ⟨ὡς⟩ ἀπὸ 275v
15 τῆς τελείας ἕξεως ὠνομάσθη.

p. 8b25 Ποιότητα δὲ λέγω.

Τὸ λέγω εἶπεν, οὐχ ὅτι Ἀριστοτέλης τὸ ὄνομα τῆς ποιότητος ἔθηκεν (εἴρηται γὰρ καὶ Πλάτωνι), ἀλλ' ὅτι Ἀριστοτέλης εἶπε τὴν ⟨τῆς⟩ παθητικῆς ποιότητος ἐξάπλωσιν· ὁ γὰρ Πλάτων οὐκ οἶδεν εἰ μὴ τὴν πάθος ποιοῦσαν
20 περὶ τὴν αἴσθησιν· φησὶ γὰρ ἔν τινι διαλόγῳ οὕτως· 'ἡ γὰρ ποιότης ποιόν τι. καὶ ἴσως ἀλλόκοτον δόξει σοι τὸ τῆς ποιότητος ὄνομα καὶ οὐ μανθάνεις οὕτως ἀθρόως λεγόμενον· ἐὰν γὰρ εἴπωμεν οὕτως ποιότης, ἄδηλόν τι σημαίνει τὸ τῆς ποιότητος ὄνομα. εἰ δὲ εἴπωμεν ποιόν τι, εἰς ἔννοιαν ἐρχόμεθα ὅτι ποιότης εἴρηται ἀπὸ τοῦ ποιεῖν τι περὶ τὴν αἴσθησιν.'

25 p. 8b25 Καθ' ἣν ποιοί τινες.

Τὸ καθ' ἣν πρόσκειται διὰ τὴν διὰ φόβον ὠχρίασιν καὶ τὸ ἔρευθος τὸ δι' αἰδῶ· οὐ γὰρ λέγεται ἐρυθρίας ὁ δι' αἰδῶ ἐρυθριάσας ἢ ὠχρίας ὁ διὰ φόβον ὠχριάσας (φθάνει γὰρ τὴν προσηγορίαν ἡ μεταβολή), ἀλλὰ μᾶλλον ταῦτα ὑπὸ τὸ πάσχειν ἀνάγεται. ἀποροῦσι δὲ διὰ τί τετραχῶς
30 τῆς ποιότητος κατηγορουμένης τῶν παρωνύμων μόνων ἐμνήσθη. καὶ λέ-

---

5 οὐχ H ἀπὸ τῆς om. KP 6 ἐνάρετος] scribas ἀρετός (cf. v. 8. 9) 7 ποιητῇ] Hom. ϑ 329 8 ἀρετᾷ Hom. καλὰ HKP κιχάνει in lac. om. K τοι] τὸ HKP 10 ψιλοῦ om. H τὸ δὲ διὰ τῆς αι] spectat αἰναρέτη (cf. Philop. p. 25,9) 11 ἀκατονομάστως δὲ ex Laur. 72,5 inserui 12 ante πυκτικ. add. ἡ K 13 γραμματηκ. P 14 ὡς addidi 17 τὸ ὄνομα—εἶπε (18) suppl. P[2] ἔθηκεν] εἴρηκεν H: evan. P 18. 19 τῆς παθητικῆς ποιότητος scripsi: παθητικὴν ποιότητα libri 20 γὰρ om. P ἔν τινι διαλόγῳ] Theaet. p. 182 A ποιόν] ποιότης K 21 δόξει scripsi: δείξει libri 23 εἴπωμεν scripsi: εἴπομεν libri ποιόν τι] ποιότητι K 27 ἔρευθος scripsi: ἔρυθρος H: ἔρυθος KP 28 ὠχρίας om. K γὰρ om. K

γομεν ὅτι τὸ πλεονάζον προέταξε· τὸ γὰρ ἀκατονομάστως καὶ ὁμωνύμως ⟨καὶ ἑτερωνύμως⟩ δύο μόνα εἴδη περιέχει τῆς ποιότητος, μόνη δὲ ἡ παρώνυμος κατηγορία δύο εἴδη περιέχει, ἴσως καὶ τρία· λέγεται γὰρ εὔσχημος καὶ εὔμορφος ἀπὸ σχήματος καὶ μορφῆς καὶ τὸ ἀνάπαλιν. λέγεται καὶ ἀπὸ ἕξεως καὶ δια-
5 θέσεως ἡ παρωνυμία, καὶ τὰ παραδείγματα δῆλα, γραμματικός, ἰατρικός. ἀλλὰ καὶ ἀπὸ παθητικῆς ποιότητος· αὕτη γὰρ παρώνυμον ἑαυτῇ ποιεῖ πάθος ἐν ἡμῖν, καὶ τὰ παραδείγματα εἴρηται.

p. 8b26 Ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις.

Ὑπογράψας ὁ Ἀριστοτέλης τὴν ποιότητα ἔρχεται καὶ ἐπὶ τὰ εἴδη τῆς
10 ποιότητος. ἀλλὰ πρὸς τοῦτο ζητήσωμεν πῶς διαιρεῖται ἡ ποιότης· οἱ μὲν ⟨γὰρ⟩ ὡς γένος αὐτήν φασι διαιρεῖσθαι οἱ δὲ ὡς ὁμώνυμον φωνήν· οἱ μὲν γὰρ λέγοντες ὡς γένος εἰς εἴδη διαιρεῖσθαι ἔλεγον διὰ τριῶν ἐπιχειρημάτων. ἑνὸς μὲν τοῦ λέγοντος ἓν μὲν οὖν εἶδος τῆς ποιότητος (τὸ γὰρ εἶδος πάντως γένους), δευτέρου ὅτι πανταχοῦ δέκα ἀπαριθμεῖται τὰ γενικώτατα
15 ὡς ἂν καὶ ποιότητος γένους οὔσης, τρίτου ἐπεὶ ποτὲ μὲν γένη καλεῖ αὐτὰ ποτὲ δὲ καὶ εἴδη ὡς ὑπάλληλα· τὰ γὰρ ὑπάλληλα ὑπὸ ἓν γένος τελοῦσιν. οἱ δὲ λέγοντες ὅτι ὡς ὁμώνυμος φωνὴ διαιρεῖται ἔλεγον οὕτως, ὅτι λέγει αὐτὸς ὁ Ἀριστοτέλης ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων· τὸ δὲ πλεοναχῶς λέγεσθαι ὁμωνύμου φωνῆς. ἀλλὰ καὶ τάξιν ἐπεδέξατο
20 τὰ εἴδη· προτέτακται γὰρ ἡ ἕξις τῶν λοιπῶν· ἐν δὲ τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις οὐκ ἔστι τάξιν εὑρεῖν. ταῦτα μὲν οὗτοι. ὁ δὲ Συριανὸς βουλόμενος ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν διαιρεῖσθαι τὴν ποιότητα εἰς τὰ εἴδη | ἀμφότερα ἀποδέχεται τὰ ἐπιχειρήματα, καὶ τὰ ὡς ὁμώνυμον 276r λέγοντα τὴν διαίρεσιν καὶ τὰ ὡς γένος λέγοντα διαιρεῖσθαι· μέσα γὰρ ὄντα
25 τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ὁμωνύμων καὶ γενῶν δύνανται, φησί, τοῖς τῶν ἄκρων ὀνόμασιν ὀνομάζεσθαι. ὁ δὲ Ἀλέξανδρος βουλόμενος τὴν ποιότητα ὡς γένος εἰς εἴδη διαιρεῖσθαι, ἀπαντᾷ πρὸς τὰ δύο ἐπιχειρήματα, πρὸς μὲν τὸ πλεοναχῶς ὅτι οὐκ ἐπὶ ὁμωνύμου φωνῆς ἀεὶ λαμβάνεται· νῦν γὰρ ἐπὶ τοῦ παρωνύμως ὁμωνύμως ἑτερωνύμως ἀκατονομάστως εἴληπται,
30 καὶ κεῖται νῦν ἐπὶ συνωνύμου κατηγορίας. οὕτως μὲν πρὸς τὸ πρῶτον ἐπιχείρημα. πρὸς δὲ τὸ λέγον ὅτι τάξιν ἐπεδέξατο λέγει ὅτι τάξιν ἐπεδέξατο, οὐ τὴν κατὰ τὸ τῆς φύσεως κοινόν (ποιὰ γὰρ ὁμοίως), ἀλλ' ἡ ἕξις τῶν λοιπῶν ὡς τιμιωτέρα προβέβληται, διότι μονιμωτέρα ἡ ἕξις τῶν λοιπῶν. * * καὶ εἰδοποιός, καὶ εἴποις ἂν τὴν μὲν ἀπὸ ἰατρικοῦ
35 εἰς ἰατρὸν μεταβολὴν γένεσίν τινα, τὴν ἀπὸ ἀτελοῦς εἰς τέλειον, καὶ τὴν ἀπὸ ῥητορικοῦ εἰς ῥήτορα, τὴν δὲ ἀπὸ ῥήτορος εἰς ῥητορικὸν καὶ

1. 2 καὶ ἑτερωνύμως inserui 3 εὔχημος P 5 ἰατρός H 6 ἑαυτῇ scripsi: ταύτῃ HP: om. K 7 εἴρηται] p. 222,33 11 pr. γὰρ addidi post διαιρεῖσθαι additum ἔλεγον del. P 12 διαιρεῖται H 14 πάντως γέν.] γένους εἶδος K 15 τρίτον K 18 ὁ om. H 19 ἐπεδέξατο scripsi: ἐπεδείξατο libri (cf. v. 31) 22 alt. τὰ om. K 23 καὶ τὰ — ἐπιχειρήματα (27) om. K 24 τὴν διαίρ.] an αὐτὴν διαιρεῖσθαι? 26 ἄκροις P 31 ἐπεδείξατο K λέγει—ἐπεδέξατο (32) om. K 34 post λοιπῶν lac. signavi

ἀπὸ ἰατροῦ εἰς ἰατρικὸν μεταβολὴν φθοράν. ἔτι δὲ ἰατρικὸς μὲν καὶ ῥητορικὸς ὁ τοῖς μαθήμασι τέως ἐνδιατρίβων καὶ μήπω τέλειος ὢν περὶ τὴν τοιαύτην ἐπιστήμην, ἰατρὸς δὲ καὶ ῥήτωρ ὁ περὶ ταῦτα τέλειος· γίνονται γὰρ τοιαῦται μεταβολαὶ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον δι' ἀμελετησίαν
5 ἢ μῆκος χρόνου ἢ λήθην ὑπὸ πάθους ληθάργου, περὶ ἧς φησιν ὁ Θουκυδίδης ὅτι πιεζόμενοι ὑπὸ τῆς νόσου σφῶν τε αὐτῶν ἐπελάθοντο καὶ τῶν ἐπιτηδείων.

Δεῖ δὲ εἰδέναι ὅτι τελειοτέρα ἡ ἕξις τῆς διαθέσεως· διαφέρει γὰρ ἡ ἕξις τῆς διαθέσεως τῷ μονιμωτέρῳ· μονιμωτέρα γὰρ ἡ ἕξις τῆς διαθέσεως.
10 καὶ τοῦτο πιστοῦται ἐκ τῆς λεκτικῆς συνηθείας· τοὺς γὰρ ἑτοίμως ἐν τοῖς αὐτοῖς νῦν εἰς τἀναντία περιτρεπομένους δίκην Εὐρίπου φασὶ μὴ ἔχειν ἕξιν, ὡς ἂν τῆς ἕξεως τῷ μονίμῳ χαρακτηριζομένης. διττὴ δὲ ἡ διάθεσις, ἡ μὲν τῆς ἕξεως κατηγορουμένη ἡ δὲ ἀντιδιαιρουμένη. διὸ καὶ πλέκεται σόφισμα τοιοῦτον· ἡ ἕξις διάθεσις, ἡ διάθεσις οὐχ ἕξις, ἡ ἕξις ἄρα οὐχ
15 ἕξις. καὶ λέγομεν ὅτι ὁμώνυμος ὁ μέσος· ὅτε γὰρ λέγει τις 'ἡ ἕξις διάθεσις', καθολικωτέραν τὴν διάθεσιν ἐποίησεν, ὅτε δὲ λέγει 'ἡ διάθεσις οὐχ ἕξις', τὴν ἀντιδιαιρουμένην λαμβάνει. οὐ δεῖ δὲ ἐν συλλογισμῷ τὸν μέσον ὅρον εἶναι ὁμώνυμον. εἶτά φασιν ὅτι ἔστω καθολικὸς ὁ μέσος, λέγοντες οὕτως· ἡ ἕξις διάθεσις, ἡ διάθεσις οὐχ ἕξις, ἡ ἕξις ἄρα οὐχ ἕξις. πρὸς ὃ φαμεν ὅτι ὅτε
20 λέγεις 'ἡ διάθεσις οὐχ ἕξις', τί λέγεις; ὅτι οὐδεμία διάθεσις ἕξις; ἡ γὰρ διάθεσις κατηγορεῖται ἕξεως. εἰ δὲ λέγεις ὅτι 'τοῦτο λέγω, ὅτι τὶς διάθεσις ἕξις', ἄτοπον συνάγεται· ἐν γὰρ τῷ πρώτῳ σχήματι εὑρίσκεται ἡ μείζων πρότασις μερική, ὅπερ ἄτοπον. πάλιν δὲ ἀποροῦσιν ὅτι εἰ τῷ μονίμῳ διαφέρει ἕξις διαθέσεως καὶ εὐμεταβλήτῳ καὶ παθητικὴ δὲ ποιότης καὶ
25 πάθος τῷ αὐτῷ διαφέρει, τί οὖν διοίσουσι. καί φαμεν ὅτι οὐ τὰ τῷ αὐτῷ διαφέροντα εἴδη τὰ αὐτά· θερμὸν γὰρ καὶ λευκὸν καὶ ψυχρὸν καὶ μέλαν τῷ διακριτικῷ καὶ συγκριτικῷ διαφέρουσι, καὶ ὅμως πολέμιον τὸ λευκὸν τῷ θερμῷ (μέλανες γὰρ οἱ θερμοὶ ὡς ἐπίπαν), καὶ ψυχρὸν μέλανι πολέμιον· | λευκοὶ γὰρ οἱ ψυχροὶ ὡς ἐπίπαν. εἰ δὲ καὶ τοῖς αὐτοῖς κέχρηται 276v
30 παραδείγμασιν ἐπ' ἀμφοτέροις, οἷον νόσῳ καὶ ὑγείᾳ καὶ θερμότητι καὶ τοῖς τοιούτοις ἄλλοις ὡς δυσμεταβλήτοις οὖσι, ταῦτα τὰ παραδείγματα μόνον.

p. 9a 14 Ἕτερον δὲ γένος ποιότητος καθ' ὃ πυκτικοὺς ἢ δρομικούς.

Ἕξ τινα δεῖ προλαβεῖν τοῦ δευτέρου εἴδους τῆς ποιότητος· πρῶτον
35 μὲν τί ἐστι δύναμις καὶ ἀδυναμία αὐτὰ κατὰ τὸ δεύτερον εἶδος, δεύτερον ὅτι εἰ πεφοίτηκε τοῦτο τὸ εἶδος διὰ ψυχῆς, διὰ σώματος, διὰ τοῦ συν-

---

4 ἀμελετισίαν P 5 λήθη P Θουκυδίδης] II, 49 extr. 8 τελειωτέρα K¹ διαφέρει—διαθέσεως (9 pr. l.) om. K γὰρ] δὲ P 12 χαριζομένης P 13 κατηγορουμένης H: κατηθοργουμένη (sic) P 16 καθολικοτ. P 18 λέγοντες scripsi: λέγων libri 19 ἡ ἕξις ἄρα οὐχ ἕξις suppl. P² 23 δὲ om. K 25 αὐτὸ P 27 διακριτηκῷ H 29 ante ψυχροὶ additum θερμοὶ del. H 31 ἄλλοις scripsi: ἀλλ' libri δυσμεταβλ.] potius εὐμεταβλ. (cf. Arist. p. 8b 36)

ἀμφοτέρου, τρίτον πῶς ἓν πλέγμα γένοιτο ἐκ τῶν δύο εἰδῶν τῆς ποιότητος,
πρώτου καὶ δευτέρου, τέταρτον ποσαχῶς δύναται λέγεσθαι τὰ εἴδη ταῦτα
καὶ ποσαχῶς νῦν λέγεται ὑπὸ Ἀριστοτέλους, πέμπτον περὶ ὀνομάτων
δυνάμεως καὶ ἀδυναμίας, ἕκτον καθόλου περὶ ὀνομάτων ἕξεως, διαθέσεως,
5 ἐπιτηδειότητος καὶ τῶν μετεχόντων, ἑκτοῦ, διακειμένου, ἐπιτηδείου. ἀλλ' ἡ
παροῦσα θεωρία τρία κεφάλαια παραδίδωσι. πρῶτον τί δύναμις καὶ ἀδυναμία;
ὅτι δύναμίς ἐστιν ἐπιτηδειότης προκόψασα, ἢ ὡς ἔστιν ⟨ἓν⟩ ἀνθ' ἑνὸς εἰπεῖν,
δύναμίς ἐστιν εὐκολία, ἀδυναμία δὲ ἡ δυσκολία· οὕτω γὰρ δύνασθαί φαμεν
τὸν ὀξὺν πρὸς γεωμετρίαν, μὴ δύνασθαι δὲ τὸν νωθῆ. καὶ ἄλλως ἢ ὅτι
10 οὐχ ἁπλῶς φαμεν ὅτι δύναται ποιεῖν, ἀλλ' ὅτι ῥᾳδίως δύναται ποιεῖν, καὶ
οὐ δύναμίν φαμεν ἁπλῶς ἀλλὰ δύναμιν φυσικήν· ὡς γὰρ κρᾶσιν ἔχουσαν
συνεργὸν καὶ διὰ τοῦτο ἐπιτηδειότητα οὖσαν προκόψασαν. ταῦτα μὲν περὶ
δυνάμεως ζητείσθω. ἐφ' οἷς τὸ δεύτερον κεφάλαιον, ἐν ᾧ δείκνυται ὅτι
καὶ διὰ ψυχῆς κεχώρηκε καὶ σώματος δύναμις καὶ ἀδυναμία καὶ τοῦ συν-
15 αμφοτέρου. διὰ μὲν ψυχῆς, ὡς ἐπὶ τῶν φυσικῶν ἀρετῶν καὶ ἠθικῶν· αὗται
γὰρ ὠδίνουσι τὰς πολιτικάς, καὶ ὁ ἔχων μίαν τούτων διὰ τῆς τοῦ λόγου
προσθήκης εὐχερῶς κτᾶται τὰς πολιτικάς. περὶ ὧν εἴρηται, περὶ μὲν τῶν
φυσικῶν 'τὸ γὰρ φύσει ἀκράτητον', περὶ δὲ τῶν ἠθικῶν 'ἔχει γάρ τι καὶ
τὸ τραφῆναι καλῶς', καὶ ὅτι Πλάτων ἀνδραποδώδεις αὐτὰς εἶναι λέγει,
20 Πλωτῖνος δὲ ἀτελεῖς. ἀλλὰ καὶ διὰ σώματος χωρεῖ δύναμις καὶ ἀδυναμία,
καθό φαμεν ὅτι τὸ σκληρὸν δύναμιν ἔχει τοῦ ποιῆσαι ἀδυναμίαν δὲ τοῦ
παθεῖν, καὶ τὸ μαλακὸν ἀδυναμίαν ἔχει τοῦ ποιῆσαι δύναμιν δὲ τοῦ παθεῖν.
διὰ δὲ τοῦ συναμφοτέρου, ὡς ἐπὶ νόσου καὶ ὑγείας· ὁ γὰρ ὑγιαίνων
ἀδυναμίαν ἔχει τοῦ παθεῖν ὑπὸ λοιμοῦ εὐχερῶς δύναμιν δὲ τοῦ ποιῆσαι, ὁ
25 δὲ νοσῶν τοὔμπαλιν. ταῦτα καὶ περὶ τοῦ δευτέρου κεφαλαίου. τρίτον
κεφάλαιον· ζητείσθω πῶς ἓν πλέγμα γένοιτο ὑπὸ τούτων, εἴ γε οἱ εἰς τοῦ
γραμματικοῦ φοιτῶντες πρῶτον δυσκολαίνουσιν, ἔπειτα ἐπιτηδειότητα φέρουσιν,
εἶτα ἀμυδρὰν γνῶσιν λαμβάνουσι, | καὶ εἶθ' οὕτως τὴν τελείαν ἕξιν. καὶ 277r
ἔστι μὲν ἡ δυσκολία ἡ ἀδυναμία, εὐκολία δὲ ἡ δύναμις, ἡ δὲ ἀμυδρὰ
30 γνῶσις διάθεσις, ἡ δὲ τελεία γνῶσις ἡ ἕξις. ἐφ' οἷς ἀποροῦσιν· εἰ τῷ
μᾶλλον καὶ ἧττον διαφέρουσι ταῦτα ἀλλήλων, διὰ τί μὴ ἓν εἶδος ἀλλὰ
δύο; καὶ λέγομεν πρὸς τοῦτο ὅτι οὐ μόνον τῷ μᾶλλον καὶ ἧττον δια-
φέρουσιν, ἀλλὰ καὶ τῷ εἴδει· ὅπου μὲν γὰρ πάρεστι τὸ εἶδος, ὡς ἐπὶ ἕξεως
καὶ διαθέσεως, ὅπου δὲ ἄπεστιν, ὡς ἐπὶ δυνάμεως καὶ ἀδυναμίας, καὶ ὅπου
35 πάρεστι, μᾶλλον πάρεστιν, ὡς ἐπὶ ἕξεως ἤπερ ἐπὶ διαθέσεως, ὅπου δὲ
ἄπεστι, μᾶλλον ἐπὶ ἀδυναμίας ἄπεστιν ἧττον δὲ ἐπὶ δυνάμεως.

---

1 πλέγμα] πρᾶγμα H[1] 3 νῦν om. KP 5 ἐπιτηδίου P 7 ἓν inserui 9 νωθὴν H ἢ] scribas δὲ 11 γὰρ eras. K 12 ἐπιτηδειότητος P περὶ om. H 13 ἐφ' scripsi: ἐν libri 16 ὠδύνουσι P 17 εἴρηται] cf. Arist. Eth. Nic. B 1 p. 1103a19 K 10 p. 1180a14 18 ἀκράτητον scripsi: ἀκρά-τιστον libri 19 ὅτι Πλάτων κτλ.] cf. p. 20,9 21 καθό om. H 23 συναμ-φότερα P 24 λοιμοῦ Laur. 72,5: λυομένου HP: lac. K 26 post γε add. εἰ H 28 οὗτος P[1] 33 καὶ om. K 35 μᾶλλον πάρεστιν—μᾶλλον (36) in mrg. suppl. H[2]

p. 9a14 Ἕτερον δὲ γένος ποιότητος καθ' ὃ πυκτικοὺς ἢ δρομικούς.

Ἐπὶ τὰ λοιπὰ τῶν κεφαλαίων ἔλθωμεν. τέταρτον κεφάλαιον τῶν προτεθέντων τὸ ζητῆσαι ποσαχῶς δύναται λέγεσθαι δύναμις καὶ ἀδυναμία,
5 καὶ ποσαχῶς λέγεται ὑπὸ Ἀριστοτέλους. ἰστέον ὅτι τετραχῶς δύναται λέγεσθαι· τεσσάρων γὰρ ὄντων, ποιεῖν, μὴ ποιεῖν, πάσχειν, μὴ πάσχειν, ἑκάστῳ τούτων συμπλέκεται ἡ δύναμις καὶ ἡ ἀδυναμία. καὶ τὰ παραδείγματα τούτων ῥητέον, οἷον ἐπὶ τοῦ ποιεῖν 'δύναται ποιεῖν' 'δύναται μὴ ποιεῖν', καὶ ἐπὶ τοῦ πάσχειν 'δύναται πάσχειν' 'δύναται μὴ πάσχειν'. το-
10 σαυταχῶς οὖν δυναμένης λέγεσθαι τῆς δυνάμεως καὶ τῆς ἀδυναμίας ὁ Ἀριστοτέλης οἰκείοις οἰκεῖα ἀποδιδοὺς καὶ εὐφήμοις εὔφημα τῷ ποιεῖν τὴν δύναμιν προσῆψε, τῷ δὲ πάσχειν τὴν ἀδυναμίαν, οἷον ὡς ἐπὶ σκληροῦ καὶ μαλακοῦ· ἐπὶ μὲν σκληροῦ ὅτι δύναται ποιεῖν μόνον εἶπε, δυνάμενος εἰπεῖν καὶ ὅτι οὐ δύναται πάσχειν, ἐπὶ δὲ μαλακοῦ ὅτι οὐ δύναται ποιεῖν μόνον
15 εἶπε, δυνάμενος εἰπεῖν ὅτι δύναται πάσχειν. ἐν οἷς καὶ τὸ τέταρτον κεφάλαιον. πέμπτον κεφάλαιον τὸ ζητῆσαι περὶ ὀνομάτων δυνάμεως καὶ ἀδυναμίας. ἰστέον ὅτι ὅλον τὸ δεύτερον εἶδος τῆς ποιότητος ἀκατονόμαστόν ἐστι· τὸ γὰρ πυκτικὸν παιδίον καὶ τὸ δρομικὸν οὐκ ἀπὸ τῆς πυκτικῆς ἢ δρομικῆς παρωνομάσθη· πυκτικὴ γὰρ καὶ δρομικὴ αἱ τέλειαι ἕξεις, ἀφ' ὧν ὁ πύκτης καὶ ὁ δρομεὺς οἱ τὰς
20 τελείας ἔχοντες ἕξεις· εἰ γὰρ ὠνομάσθησαν αἱ ποιότητες, ἀφ' ὧν παρωνομάσθησαν τὸ πυκτικὸν παιδίον καὶ τὸ δρομικόν, πυκτικότης ἂν ὠνομάζετο καὶ δρομικότης, ὧν τὰ ὀνόματα ἡ συνήθεια οὐκ ἔχει, οὐδὲ εἴρηνται παρά τινι ὀνόματα ταῦτα. ἐν οἷς καὶ τὸ πέμπτον κεφάλαιον. ἕκτον κεφάλαιον ἦν τῶν προτεθέντων τὸ ζητῆσαι καθόλου περὶ ὀνομάτων ἕξεως, δια-
25 θέσεως, ἐπιτηδειότητος καὶ τῶν μετεχόντων, ἑκτοῦ, διακειμένου, ἐπιτηδείου. δεῖ εἰδέναι ὅτι τούτων τὰ ἓξ τὰ μὲν ἀεὶ ὀνομάζει ἡ συνήθεια, οἷον ἕξιν 277v καὶ ἑκτόν (γραμματικὴν γὰρ ὀνομάζει καὶ γραμματικόν), τὰ δὲ οὐδέποτε ὀνομάζει (διάθεσιν γὰρ οὐδέποτε ὀνομάζει οὐδὲ ἐπιτηδειότητα), τὰ δὲ ποτὲ μὲν ὀνομάζει ποτὲ δὲ οὐκ ὀνομάζει· ποτὲ μὲν γὰρ τὸν διακείμενον ὀνομάζει
30 τὸν ἐπιτήδειον μὴ ὀνομάζουσα, καὶ τὸ ἀνάπαλιν, ὡς ἰατρικὸν καὶ ῥητορικὸν τὸν διακείμενον ἤδη καὶ πράξαντά τι τῆς τέχνης, τὸν δὲ ἐπιτηδείως πρὸς ταῦτα διακείμενον μήπω δὲ πράξαντα οὐκ ὀνομάζει. ἐπὶ δὲ τοῦ πυκτικοῦ βρέφους τὸ ἐπιτήδειον οὕτως ὀνομάζει τὸ ἔχον μακρὰ κῶλα, τὸν μέντοι διακείμενον οὐκ ὀνομάζει οὕτως.

---

4 προτιθέντων P 7 ἡ (ante ἀδυν.) om. H 12 ὡς om. K 13 σκλ. μὲν coll. K 14 ἐπὶ δὲ μαλακοῦ — πάσχειν (15) in mrg. suppl. H 16 τὸ (ante ζητῆσαι) om. KP 21 ἂν Laur. 72,5: om. HKP 24 τὸ om. HP 26 post δεῖ add. δὲ P ὅτι om. KP 27 γὰρ om. KP 28 οὐδὲ—ὀνομάζει (29) suppl. P2 29 γὰρ scripsi: εἶναι libri 30. 33 ἐπιτήδιον P 33 τὸν] τὸ KP

p. 9a28 Τρίτον δὲ γένος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη.

Ἡ παροῦσα θεωρία δύο κεφάλαια ἡμῖν παραδίδωσι, διάκρισιν τῶν παθητικῶν ποιοτήτων ἀπ' ἀλλήλων ἐν πρώτῳ κεφαλαίῳ, καὶ διάκρισιν τῶν
5 παθῶν ἀπ' ἀλλήλων ἐν δευτέρῳ κεφαλαίῳ, οὐ μὴν διάκρισιν τῶν παθῶν ἀπὸ τῶν παθητικῶν ποιοτήτων ὡς ἤδη εἰρημένην ἡμῖν ἐν τῷ περὶ ἕξεως καὶ διαθέσεως λόγῳ, ὅτι τῷ εὐμεταβόλῳ καὶ δυσμεταβόλῳ ταῦτα διαφέρει ἀλλήλων. ἀλλὰ πρῶτον τὴν διάκρισιν ἡμῖν παραδίδωσι τῶν παθητικῶν ποιοτήτων καί φησιν ὅτι διαφέρουσιν αὗται ἀλλήλων, ὅτι αἱ μὲν ἀπὸ πάθους
10 ἐγένοντο οὐ ποιοῦσι δὲ πάθος περὶ τὴν αἴσθησιν, ὡς τὰ χρώματα, αἱ δὲ ἀπὸ πάθους μὲν οὐκ ἐγένοντο πάθος δὲ ποιοῦσι περὶ τὴν αἴσθησιν, ὡς ἡ ἐν πυρὶ θερμότης καὶ ἡ ἐν μέλιτι γλυκύτης. ἄπορα δὲ ταῦτα πάντα τὰ παραδείγματα· πῶς γὰρ παθητικὴ ποιότης ἡ ἐν πυρὶ θερμότης, ἡ ἐν μέλιτι γλυκύτης; τί γὰρ παθὸν τὸ πῦρ ἢ τὸ μέλι τὸ μὲν ἐγένετο θερμὸν
15 τὸ δὲ γλυκύ; ἄπορον δὲ καὶ τὸ ἄλλο· πῶς γὰρ ποιότητες αἱ προκείμεναι, ἡ ἐν πυρὶ θερμότης καὶ ἡ ἐν μέλιτι γλυκύτης; κατ' οὐσίαν γὰρ αὗται ὑπάρχουσιν αὐτοῖς, ἡμῖν δὲ πρόκεινται ποιότητες ὡς συμβεβηκὸς λαμβανόμεναι, οὐχ αἱ κατ' οὐσίαν. λέγομεν δὲ πρὸς τὸ πρῶτον ὅτι παθητικαὶ ποιότητες αὗται λέγονται, ἡ θερμότης τοῦ πυρὸς καὶ ἡ γλυκύτης τοῦ μέλιτος, οὐχ
20 ὅτι ἀπὸ πάθους ἐγένοντο, ἀλλ' ὅτι πάθος ποιοῦσι περὶ τὴν αἴσθησιν ἡμῶν. καὶ τούτου μάρτυς καὶ Πλάτων καὶ Ἀριστοτέλης, ὁ μὲν Πλάτων λέγων 'τὸ γὰρ ποιοῦν ποιόν τί ἐστιν'. Ἀριστοτέλης δὲ ποτὲ μὲν λέγων τὸ μέλι δεδέχθαι γλυκύτητα ποτὲ δὲ μὴ δέχεσθαι· οὐ δέδεκται γὰρ τὴν συνουσιωμένην γλυκύτητα τὸ μέλι, οὐδὲ τὸ πῦρ τὴν θερμότητα· ἑκάτερον γὰρ χωρὶς
25 τῆς κατ' οὐσίαν ποιότητος οὐδὲ ἐπινοηθῆναι δύναται. δέχεσθαι δὲ ἑκάτερον λέγεται τὸ μὲν πῦρ τὴν θερμότητα τὸ δὲ μέλι τὴν γλυκύτητα ὡς θερ|μαίνουσαν καὶ γλυκάζουσαν, αἵπερ συμβεβήκασιν αὐτοῖς. καὶ λύεται 278r καὶ τὸ δεύτερον ἄπορον, ὅτι ποιότητες αἱ προκείμεναι, αἳ ὡς συμβεβηκὸς λαμβάνονται. ἀποροῦσι δὲ καὶ πρὸς τὰ χρώματα ὅτι πῶς ταῦτα λέγομεν
30 ἀπὸ πάθους γενέσθαι πάθος δὲ μὴ ποιεῖν· διακρίνουσι γὰρ καὶ συγκρίνουσι. καὶ λέγομεν ὅτι δικαιότερον ἀφ' ὧν ἐγένοντο ὀνομάζειν αὐτὰς παθητικὰς ποιότητας ἢ ἀφ' ὧν ποιοῦσιν· οὐ γὰρ παρώνυμον ποιοῦσιν ἑαυτοῖς πάθος· οὐδὲ γὰρ λευκαίνεται ὁ λευκοῦ ἀντιλαμβανόμενος ἢ γλυκαίνεται ὁ γλυκέος ἀντιλαμβανόμενος. καὶ ταῦτα μὲν ἡμεῖς. ὁ μέντοι Ἀριστοτέλης ἀπορεῖ
35 περὶ τῶν χρωμάτων· ὅτι ἐπὶ τούτων τῶν προσκαίρων χρωμάτων δυνατὸν κρᾶσιν λέγειν αἰτίαν αὐτῶν, ἐπὶ μέντοι τῶν ἐκ φύσεως ἢ ἐκ γενέσεως, εἰ

---

1 δὲ om. K 3 τῶν om. K 5 μὲν P 6 εἰρημένην scripsi: εἰρημένον HP: εἰρημένων K (cf. p. 227,8) 7 καὶ δυσμεταβόλῳ in mrg. suppl. H 21 Πλάτων] Theaet. p. 182 A 22 Ἀριστοτ.] cf. Cat. p. 9a33 Hist. an. E 22 p. 554a10
29 δὲ om. KP 30 γὰρ om. P 31 δικαιότερον scripsi: δίκαιον libri
33 ἢ γλυκένεται (sic) — ἀντιλαμβανόμενος (34) suppl. P² γλυκαίος H 34 μέντι H
35 ὅτι — προσκέρων (sic) χρωμάτων suppl. P²

καὶ ὅλῳ τῷ εἴδει ὑπάρχουσι, τί ἐροῦμεν, ὡς ἐπὶ τῆς τοῦ κύκνου λευκότητος καὶ τῆς τοῦ πράσου χλωρότητος; καὶ λύει τοῦτο λέγων ὅτι ἡ κρᾶσις ἡ ποιήσασα τὸ πρόσφατον χρῶμα καὶ τὸ ἐκ γενετῆς ἐποίησεν, οἷον ὡς ἐπὶ τοῦ δι' αἰδῶ ἐρυθριάσαντος καὶ διὰ φόβον ὠχριάσαντος· ἐν γὰρ τῷ ἐρυθριᾶν 5 ἡ φύσις τὸν φίλιον χυμὸν προβάλλεται δίκην τῶν τὰς χεῖρας τοῖς ὀφθαλμοῖς ἐπιτιθέντων, ἵνα μὴ θεάσωνται ἃ μὴ δεῖ, μονονουχὶ παρέχουσα λέγειν τὸ

πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

καὶ ἐπὶ τοῦ διὰ φόβον ὠχριάσαντος καταφεύγει τὸ αἷμα εἰς τὴν καρδίαν, ὡς εἰς ἀκρόπολίν τινα. διὸ καὶ πάντων ἐσχάτη φθείρεται ἡ καρδία· εἰ 10 γὰρ καὶ καρδιουλκούμενα ζῇ, ἀλλὰ διὰ τὸ καθήκειν ἀρτηρίας εἰς ὅλον τὸ σῶμα ἀπὸ καρδίας * *. λέγουσι δὲ καὶ ἄλλην διαφοράν, ὅτι πού μὲν προηγήσατο ἡ φαντασία, ὡς ἐπὶ τοῦ αἰδεσθέντος καὶ ὠχριάσαντος, ἐπὶ δὲ τῶν ἐκ γενετῆς οὐ προηγήσατο. ψεῦδος δὲ καὶ τοῦτο· οἱ γὰρ ἐπιμελῶς τρέφοντες τὰς περιστερὰς θαλλοὺς περιπλέκουσι ποικίλα χρώματα ἔχοντας 15 ἐν τοῖς περιστερεῶσιν, ἵνα οἷα βούλονται σχοῖεν τὰ τεχθησόμενα, καὶ οὐκ ἀποτυγχάνουσι τῆς ἐλπίδος. καί τις γυνὴ Αἰθίοπα ἔτεκε μήτε Αἰθίοπι συγγενομένη μήτε Αἰθίοψ οὖσα, ἀλλ' ἐν τῷ καιρῷ τῆς συνουσίας Αἰθίοπα φαντασθεῖσα. προηγεῖται οὖν ἡ φαντασία καὶ τῶν ἐκ γενετῆς. καὶ ταῦτα μὲν περὶ τούτου.

20 Ἐφ' οἷς διακρίνει τὰ πάθη ἀπ' ἀλλήλων, ὅτι τῷ μᾶλλον καὶ τῷ ἧττον διαφέρουσιν. εἰπὲ δὲ σὺ ὅτι καὶ ἄλλως διαφέρουσι τὰ πάθη· ὅτι τὸ μὲν ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι, τὸ δὲ ἐν τῷ γεγονέναι· ἐν μὲν τῷ γίνεσθαι τὸ ὠχριᾶν καὶ ἐρυθριᾶν, ἃ καὶ ὑπὸ τὸ πάσχειν ἀνάγεται, ἐν τῷ γεγονέναι δέ, ὅταν μόνιμον τὸ πάθος ἐγγένηται, ὃ καὶ ὑπὸ τὴν ποιότητα 25 ἀνάγεται. οὕτω καὶ ἐπὶ τῆς ψυχῆς οὐ λέγεται ὀργίλος ὁ διὰ περίστασιν ὀργισθείς, ἀλλ' ὁ φύσει ὢν τοιοῦτος, περὶ οὗ εἴρηται | τῷ βουκολιαστῇ 278v

καί οἱ ἀεὶ δριμεῖα χολὴ ποτὶ ῥινὶ κάθηται.

p. 9b11 Ὅτι μὲν οὖν γίνονται καὶ ἀπογίνονται διὰ πάθος πολλαὶ μεταβολαὶ χρωμάτων.

30 Εἰπὼν τὰ χρώματα παθητικὰς ποιότητας εἶναι, τὸ ἀπὸ πάθους γενέσθαι αὐτὰ κατασκευάζει καὶ δείκνυσιν οὕτως ἔχοντα.

p. 9b19 Ὅσα μὲν οὖν τῶν τοιούτων συμπτωμάτων.

Τὰ χρώματα συμπτώματα εἶπεν εἶναι διὰ τὸ ἄλλοις πάθεσιν ἐπισυμβαίνειν, ὡς τῇ μακρᾷ νόσῳ ἕπεται ἡ ὠχρίασις· ἔστι δέ τι καὶ χρῶμα

---

3 πρόσφ.] πρόσκαιρον K ὡς om. K 4 τῷ] τὸ K 6 ἐπιθέντων HP μὴ] μὲν P 7 πάντων δὲ . .] cf. p. 34,12 δὲ] δὴ KP μάλιστ' αἰσχ. σαυτόν scripsi: μάλιστα αἰσχύνεσθαι αὐτόν HKP 11 post καρδίας defectum signavi 13. 18 γενητῆς HP 14 θαλοὺς libri 20 pr. τῷ] τὸ P 22 alt. τῷ] τὸ P 24 ἐγγίνεται (sic) H 26 βουκολ.] Theocr. I,18 27 δριμεῖαν χολὴν H 28 καὶ ἀπογίνονται om. Arist. 31 δεικνὺς P 33 διὰ τὸ] δι' HP

οὐσιῶδες, ὡς τὸ λευκὸν τῷ ψιμυθίῳ ἢ τῇ χιόνι καὶ τὸ ἐρυθρὸν τῷ αἵματι καὶ τὸ μέλαν ἐν τῷ τῆς σηπίας χυμῷ.

p. 9b27 Ὁμοίως γὰρ ποιοὶ κατ' αὐτὰς λεγόμεθα.

Ποιότης ἐστὶ καθ' ἣν ποιοί τινες λέγονται· εἰ οὖν λέγονται ποιοὶ 5 ἀπὸ τῶν εὐαποβλήτων παθῶν, δῆλον ὅτι ποιότητες ταῦτα λέγονται.

p. 9b33 Ὁμοίως δὲ τούτοις καὶ κατὰ τὴν ψυχὴν παθητικαὶ ποιότητες καὶ πάθη λέγονται.

Οὐ μόνον γὰρ περὶ τὸ σῶμα θεωροῦνται ⟨αἱ⟩ παθητικαὶ ποιότητες καὶ τὰ πάθη, ἀλλὰ καὶ περὶ τὴν ψυχήν.

10 p. 9b35 Ὅσα τε γὰρ ἐν τῇ γενέσει εὐθὺς ἀπό τινων παθῶν γεγένηνται, ποιότητες λέγονται.

Ὥσπερ ἡ ἐν τῷ Αἰθίοπι μελανία ἐκ γενετῆς οὖσα παθητικὴ ποιότης λέγεται.

p. 10a2 Ὁμοίως δὲ καὶ ἄλλαι ἐκστάσεις μὴ φυσικαί, ἀλλ' ἀπό 15 τινων συμπτωμάτων γεγένηνται.

Πάλιν ὡς ἡ ἀπὸ μακρᾶς νόσου γενομένη ἄχροια λέγεται παθητικὴ ποιότης, οὕτω καὶ ἡ ἀπό τινος συμπτώματος ἔκστασις ἢ ἄλλο τι τοιοῦτον παθητικὴ ποιότης λέγεται.

p. 10a11 Τέταρτον δὲ γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ ἕκα- 20 στον ἐνυπάρχουσα μορφή.

Διαιρεῖ τὸ τέταρτον εἶδος τῆς ποιότητος εἰς σχῆμα καὶ μορφήν. διαφέρει δὲ τὸ σχῆμα τῆς μορφῆς, διότι τὸ μὲν σχῆμα ἐπὶ τῶν κατ' ἐπίνοιαν λέγεται, ἡ δὲ μορφὴ ἐπὶ τῶν φυσικῶν. πάλιν τὸ σχῆμα καὶ ἐπὶ ἐμψύχων καὶ ἀψύχων λέγεται, ἡ δὲ μορφὴ ἐπὶ ἐμψύχων μόνον κυρίως λέγεται. καὶ 25 τοῦτο δηλοῖ ὁ Ἀριστοτέλης, διὰ τοῦ περὶ ἕκαστον καὶ τοῦ ἐνυπάρχουσα τὸ φυσικὸν αἰνιττόμενος. καὶ ὅτι πολλὰ σχήματα συνερχόμενα μορφὴν ἀποτελοῦσιν.

---

2 χυμῶ τῆς σηπ. coll. K 3 κατὰ ταύτας Arist. 5 post ὅτι add. οὐδὲ HP: eras. K 7 λέγεται Arist. 8 αἱ inserui 10 τε om. Arist. post παθῶν add. δυσκινήτων Arist. 10. 11 γεγένηται Arist. 14 ἄλλαι] ὅσαι Arist. 15 post τινων add. ἄλλων Arist. 19 γένος] εἶδος K[1] 20 ὑπερέχουσα H: ὑπάρχουσα P Arist. (cf. v. 25) 22 δὲ] γὰρ H[1] μὲν superscr. H 24 μόνων P 25 ὑπάρχ. Arist. 26. 27 καὶ ὅτι — ἀποτελοῦσιν eicias

p. 10a12 Ἔτι δὲ παρὰ ταῦτα εὐθύτης καὶ καμπυλότης.

Καὶ ταῦτα ὑπὸ τὸ τέταρτον εἶδος ἀνάγει διὰ τρεῖς αἰτίας· ἢ ὅτι καὶ ταῦτα σχήματά πώς εἰσιν (ὥσπερ γὰρ τὰ μέρη τῶν οὐσιῶν οὐσίαι εἰσίν, οὕτω καὶ τὰ μέρη τῶν σχημάτων σχήματά εἰσιν), ἢ ὅτι κοινὰ ταῦτα 5 σχήματος καὶ μορφῆς ὡς δι᾽ ἀμφοτέρων διήκοντα, ἢ ὅτι σχήματά πώς εἰσι τῆς γραμμῆς.

p. 10a13 Καὶ ὅσα ἄλλα τοιαῦτα.

Τοῦτο προσέθηκε διὰ τὰ μέσα σχήματα τὰ ἑλικοειδῆ· ἡ γὰρ γραμμὴ ἢ ἄκρως ἐπιτέταται καὶ ποιεῖ τὴν εὐθεῖαν, ἢ ἄκρως κέκαμπται καὶ ποιεῖ τὴν περι- 10 φέρειαν, ἢ μέσως πως ἔχει καὶ ποιεῖ | τὰ μεταξύ, τὰ ἑλικοειδῆ. καὶ ταῦτα 279r μὲν περὶ τούτου. ἀπωθεῖται δὲ ὁ Ἀριστοτέλης τοῦ τετάρτου εἴδους τῆς ποιότητος λειότητα καὶ τραχύτητα· δοκοῦσι γὰρ σχήματά πως εἶναι, καὶ ταῦτα τῆς ἐπιφανείας· ἢ γὰρ ὅλα τὰ μόρια ἐν ἑνί εἰσιν ἐπιπέδῳ καὶ ποιοῦσι τὴν λειότητα, ἢ μεταξὺ ἀνισότητα ἔχει, καὶ τῶν μορίων τὰ μὲν ὑπερέχει τὰ δὲ εἰσέχει, καὶ 15 ποιεῖ τὴν τραχύτητα. διττὸν δὲ τὸ τραχὺ καὶ τὸ λεῖον· ἢ γὰρ ἐν τῷ κατὰ παράθεσιν ὅλῳ θεωρεῖται, ὡς ἐν τοίχῳ τὸ λεῖον ἢ τὸ τραχὺ τὸ ἐν τῷ πρίονι, καὶ τότε ὑπὸ τὰ πρός τι ἀνάγεται (σχέσιν γὰρ δηλοῖ τῶν λίθων καὶ τῆς πηλοῦ τό τε λεῖον τὸ ἐν τῷ τοίχῳ ἢ τὸ τραχὺ τὸ ἐν τῷ πρίονι), ἢ ἐν συνεχεῖ ὅλῳ θεωρεῖται, ὡς ἐν μήτρᾳ φύσει τραχείᾳ οὔσῃ ἡ τραχύτης 20 τῆς μήτρας καὶ ὡς ἐν μετώπῳ καὶ μήλῳ ἡ λειότης· ταῦτα γὰρ φύσει λεῖα καὶ τοῦ ὅλου ἕνα χαρακτῆρα δηλοῦσι, διὸ καὶ ὑπὸ τὴν ποιότητα ἀνάγονται. ἀπωθεῖται δὲ οὐ μόνον σχήματος καὶ μορφῆς, ἀλλ᾽ ὅλης τῆς ποιότητος πυκνότητα καὶ μανότητα πᾶσαν. διττὸν δὲ τὸ μανὸν καὶ τὸ πυκνόν, τὸ μὲν ἐν τοῖς κατὰ παράθεσιν μορίοις θεωρούμενον, ὡς κισσήρει 25 καὶ σπόγγῳ, ὅτε καὶ ὑπὸ τὰ πρός τι ἀνάγονται, ἢ ἐν συνεχεῖ ὅλῳ θεωρούμενον, ὡς τὸ μανὸν τὸ ἐν πυρὶ καὶ ἀέρι· τότε γὰρ τοῦ ὅλου ἕνα χαρακτῆρα δηλοῦσι καὶ ὑπὸ τὴν ποιότητα ἀνάγονται· εἴωθε γὰρ Ἀριστοτέλης τὰ λεπτότερα τῶν στοιχείων μανὰ καλεῖν τὰ δὲ παχύτερα πυκνά. τὰ τοιαῦτα οὖν πυκνὰ καὶ μανὰ ἐπειδὴ τοῦ ὅλου ἕνα χαρακτῆρα δηλοῦσιν, ὑπὸ τὴν ποιό- 30 τητα ἀνάγονται. ἔτι τὸ μανὸν καὶ πυκνὸν διττόν· ἢ γὰρ τεχνητόν ἐστιν, ὡς ἐπὶ ἱματίου, καθό φαμεν πυκνὸν τὸ ἔχον πλησίον τοὺς στήμονας καὶ τὴν κρόκην, μανὸν δὲ ἤτοι ἀραιὸν τὸ μὴ οὕτως ἔχον, ὅτε καὶ ὑπὸ τὸ

---

1 πρὸς τούτοις Arist. post εὐθύτης add. τε HP 2 alt. καὶ superscr. H 3 σχῆμα KP 5 post ἢ superscr. καὶ H 7 καὶ εἴ τι τούτοις ὅμοιόν ἐστιν Arist. 10 καὶ ποιεῖ om. P 11 ἀποθεῖται H[1]P 14 ἀνισότητος P καὶ τῶν μορ. scripsi: τῶν μορ. καὶ K: τῶν μορ. HP 17 πρίονι] πλείονι H[1] 20 τῆς iter. K: om. P: τῆς μήτρας eicias 21 τοῦ om. KP (cf. v. 29) ὑπὸ] ἐπὶ K 22 ἀποθεῖται HP 23 post δὲ add. καὶ P 24 κατὰ παράθ.] βάθος K 27 Ἀριστ.] cf. Bonitzii Ind. p. 445b. 660b 29 μανὰ καὶ πυκνὰ coll. K 30 ante πυκνὸν add. τὸ P 32 ὡραῖον H[1]: αἱραῖον H[2] ἔχων P καὶ om. KP

κεῖσθαι ἀνάγεται ἑκάτερον (θέσιν γάρ τινα τῶν μορίων δηλοῦσιν), ἢ φυσικόν. καὶ ἢ ἐν ἑνὶ ὑποκειμένῳ ὡς ἐν ἀέρι καὶ ὕδατι τὸ μανὸν καὶ τὸ πυκνὸν λέγομεν, ὅτε καὶ ὑπὸ τὴν ποιότητα ἀνάγονται (ποιὸς γὰρ κατ' αὐτὸ γίνεται ὁ ἀήρ, οὐ τῷ ἀφεστάναι ἀλλήλων τὰ μόρια αὐτοῦ, ἀλλὰ τῷ κοῦφος εἶναι 5 καὶ εὐδιαίρετος), καὶ εἴη ἂν μανὸν οὐχ ᾧ τὸ πυκνόν, ἀλλ' ᾧ τὸ στερεόν ἐστιν ἀντικείμενον, ὃ καὶ βαρύ ἐστι καὶ δυσδιαίρετον. ἢ οὐκ ἐν ἑνὶ ἀλλ' ἐν πλείοσιν ὑποκειμένοις θεωρεῖται τὸ μανὸν καὶ τὸ πυκνόν, ὅτε κἂν φυσικὰ ὦσιν, οὐ λέγονται ποιότητες ἀλλὰ θέσεις, οἷον ἡ τῶν ὀδόντων πυκνότης ἢ μανότης· εἰ γὰρ καὶ ἐκ φύσεώς ἐστιν, ἀλλὰ τῷ μὴ ἐν ἑνὶ θεωρεῖσθαι 10 ὑποκειμένῳ ἀλλ' ἐν πλείοσι τοῖς ὀδοῦσιν οὐ λέγεται ποιότης.

p. 10a27 Ποιότητες μὲν αἱ εἰρημέναι, ποιὰ δὲ τὰ ἀπ' αὐτῶν λεγόμενα.

Μετὰ τὴν ὑπογραφὴν τῆς ποιότητος ὑπογράφει καὶ τὸ ποιόν. καὶ ἐν μὲν τῇ | ἐπιγραφῇ προέταξε τὸ ποιόν, ἐν δὲ ταῖς ὑπογραφαῖς τὴν ὑπο- 279v 15 γραφὴν τῆς ποιότητος προέταξε, καὶ εἶθ' οὕτως τὴν ὑπογραφὴν τοῦ ποιοῦ, ἐνδεικνύμενος ὅτι πρός τι τὸ ποιὸν καὶ ἡ ποιότης καὶ οὐ δύναται ταῦτα ὡς συνυπάρχοντα χωρὶς ἀλλήλων ὑποστῆναι. διὸ καὶ νόμῳ τῶν πρός τι ἴδιον τὸ δι' ἀλλήλων ὑπογράφεσθαι. διὸ καὶ ἀποροῦσιν· ὅτι ἐπὶ τῶν πρός τι ὁ τὸ ἕτερον εἰδὼς καὶ τὸ λοιπὸν οἶδε, διὰ τί μὴ ἠρκέσθη τῇ ὑπογραφῇ 20 τῆς ποιότητος, ὡς δι' αὐτῆς καὶ τὴν ὑπογραφὴν τοῦ ποιοῦ ἔχων; καὶ λέγω τούτου λύσεις δύο· μίαν μέν, ὅτι διὰ τὸ προσθεῖναι τὸ ἢ ὁπωσοῦν ἄλλως καὶ ποιὸν ὑπογράφει λεγόμενον ἐνταῦθα, ὀφεῖλον δὲ κατὰ κοινοῦ καὶ ἐπὶ τῆς ποιότητος λέγεσθαι. καὶ δι' ἄλλην δὲ αἰτίαν ὑπογράφει τὸ ποιόν· ὑπογράψας γὰρ τὴν ποιότητα καὶ παραδοὺς ἡμῖν αὐτῆς 25 τὰ εἴδη, ὀφείλων λοιπὸν ἐλθεῖν ἐπὶ τὰ ἴδια, ἵνα ἀψοφητὶ ποιήσῃ ταύτην τὴν μετάβασιν, πρότερον ὑπογράφει τὸ ποιόν· καὶ ἡ ὑπογραφὴ γὰρ ἰδιόν πώς ἐστι τῷ ἐκ τῶν συμβεβηκότων λαμβάνεσθαι, ᾗ καὶ ἀντιστρέφει. ἔχει δὲ οὕτως ἡ ὑπογραφή· ποιόν ἐστι τὸ ἀπὸ τῆς ποιότητος παρωνύμως λεγόμενον ἢ ὁπωσοῦν ἄλλως, οἷον ἀπὸ τῆς θερμότητος θερμοί, ἀπὸ τῆς λευ- 30 κότητος λευκοί, ἀπὸ τῆς ἀνδρείας ἀνδρεῖοι, ἀπὸ τῆς δικαιοσύνης δίκαιοι. τὸ δὲ ἢ ὁπωσοῦν ἄλλως πρόσκειται, ἐπειδὴ τῆς ποιότητος τετραχῶς ἡ κατηγορία, παρωνύμως ὁμωνύμως ἑτερωνύμως ἀκατονομάστως. διὸ καὶ ἀποροῦσιν· εἰ τετραχῶς ἡ ποιότης κατηγορεῖται, διὰ τί τῶν παρωνύμων ἐμνημόνευσε μόνων; καὶ λέγομεν ὅτι μᾶλλον παρωνύμως ἡ ποιότης κατη- 35 γορεῖται ἢ ἄλλως. λεκτέον δὲ οὕτως, ὅτι τεσσάρων ὄντων εἰδῶν τῆς ποιότητος τὰ μὲν δύο παρωνύμως κατηγοροῦνται, ἕξις καὶ διάθεσις καὶ

2 alt. τὸ om. K 4 alt. τῷ] τὸ HP 7 πλείωσιν H κἂν] καὶ P 11 μὲν οὖν εἰσιν Arist. ἀπ' αὐτῶν] κατὰ ταύτας παρωνύμως Arist. 13 ἐπιγραφὴν K 15 τῆς superscr. H 21 προσθῆναι H 21. 31 ὁποσοῦν H 22 ὀφείλων HK[1]P 27 τῷ] τὸ HK[1]P 29 ὁποσοῦν HP 31 ἢ om. K 32 ὁμονύμως H καὶ om. K 33 post κατηγ. addita ἢ ἄλλως—ὄντων (35) del. P

παθητικὴ ποιότης καὶ πάθος, τὰ δὲ ἄλλα δύο τὰ μὲν ἀκατονομάστως, ὡς
δύναμις καὶ ἀδυναμία, τὰ δὲ ὁμωνύμως, ὡς σχῆμα καὶ μορφή· τὸ γὰρ
σχῆμα καὶ ἡ μορφὴ ὁμωνύμως κατηγοροῦνται· τρίγωνον γὰρ λέγεται καὶ
τὸ σχῆμα καὶ τὸ σῶμα τὸ ἔχον τὸ τρίγωνον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ τετρα-
5 γώνου καὶ τῶν ἄλλων σχημάτων νοητέον. μόνη δὲ ἀρετὴ καὶ σπουδαῖος
ἑτερωνύμως. εἰ δὲ ἀπορήσει τις λέγων 'οὐδὲν ἧττον μένει ἡ ἀπορία·
δύο γὰρ παρωνύμως κατηγοροῦνται εἴδη καὶ δύο οὐ παρωνύμως', πρὸς
τοῦτό φαμεν ὅτι ἐφ' ὧν κεῖνται ὀνόματα ἰδικά, μᾶλλον παρωνύμως κατη-
γορεῖται ἡ ποιότης ἢ ὁμωνύμως, ἐφ' ὧν δὲ οὐ κεῖνται τὰ ὀνόματα, ἢ οὐδὲ
10 ὅλως κεῖνται, ἀκατονομάστως, ὡς ἐπὶ δυνάμεως καὶ ἀδυναμίας, ἢ κεῖνται
μὲν ἰδικὰ δὲ ⟨οὐ⟩ κεῖνται, ὡς ἐπὶ σχήματος καὶ μορφῆς· κοινὰ γὰρ αὐτῶν
τὰ ὀνόματα | πάντα ὁμωνύμως κατηγοροῦνται. ἓν δὲ μόνον ἑτερωνύμως 280r
κατηγορεῖται, ἀρετὴ καὶ σπουδαῖος. μᾶλλον οὖν παρωνύμως ἡ ποιότης
κατηγορεῖται ἤπερ ἄλλως.

15 p. 10b12 Ἐπιδέχεται δὲ ἡ ποιότης καὶ τὰ ἐναντία.

Μετὰ τὴν ὑπογραφὴν τοῦ ποιοῦ καὶ τῆς ποιότητος καὶ τὰ εἴδη αὐτῆς
ἔρχεται καὶ ἐπὶ τὰ ἴδια | ὁ φιλόσοφος. πρῶτον τοίνυν ἴδιον τῆς ποιό- 282r
τητος τὸ θεωρεῖσθαι ἐν σώματι ἐναντία, ὡς τὸ λευκὸν τὸ μέλαν, ψυχρὸν
καὶ θερμόν, καὶ ἐν ψυχῇ ἐναντία (ἐναντία γὰρ ἡ δικαιοσύνη τῇ ἀδικίᾳ),
20 καὶ ἐν τῷ συναμφοτέρῳ, ὡς νόσος καὶ ὑγίεια. πλὴν εἰ καὶ ἐν τοῖς τρισὶ
τούτοις δύναται θεωρεῖσθαι, οὐ πάντως καὶ πάσῃ ποιότητι ὑπάρχει ἐναν-
τιότης· τοῖς γὰρ μέσοις χρώμασιν οὐδὲν ἐναντίον, οἷον φαιῷ ἢ ξανθῷ οὐδέν
ἐστιν ἐναντίον, οὐδὲ τῷ χλιαρῷ, ἐπειδὴ τὰ ἐναντία τῇ πλείστῃ διαστάσει
κρίνεται, πλεῖστον δὲ διέστηκεν οὐ τὸ μέσον τοῦ ἄκρου, ἀλλὰ τὸ ἄκρον τοῦ
25 ἄκρου, καὶ ἵνα μὴ ἑνὶ δύο ἐναντία ἀντιτάξῃ ἡ φύσις. πλὴν εἰ καὶ μὴ
πάσῃ ποιότητι ὑπάρχει, ἀλλ' οὖν μόνῃ ποιότητι ὑπάρχει· εἰ γὰρ καὶ τῷ
ποιεῖν ὑπάρχει ἐναντιότης, ὡς τὸ θερμαίνειν τὸ ψύχειν, καὶ τῷ πάσχειν
ὑπάρχει ἐναντιότης, ὡς τὸ θερμαίνεσθαι τὸ ψύχεσθαι, ἀλλ' ὡς ποιότητος
μετέχουσιν αὐτοῖς ὑπάρχει ἐναντιότης· ὑπάρχει γὰρ καὶ τοῖς πρός τι
30 ἐναντιότης ὡς ποιότητος μετέχουσι καὶ τῇ οὐσίᾳ· πῦρ γὰρ οὐσία ὂν τῷ
ὕδατι ἐναντίον οὐσίᾳ ὄντι διὰ τὰς ποιότητας, ὁπότε οὐδὲ ἐναντία ἡ ἐν

---

3 ἡ om. P   4 ἔχων H   τὸ (ante τρίγ.) om. K   τρίγονον H[1]
δὲ om. HP   τοῦ om. HP   9 δὲ] γὰρ K   τὰ om. K   10 an ⟨καὶ κατη-
γοροῦνται⟩ ἀκατον.?   11 οὐ inserui   12 πάντα] an ὄντα?   13 ἡ ποιότης
superscr. K   14 post ἄλλως lemmate Τέταρτον γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ
ἕκαστον ὑπάρχουσα μορφή anteposito ea, quae apud Philoponum p. 151,13—156,13 τέταρτον
τοῦτο εἶδος—ἀνδρῶν ζήτησις leguntur, addiderunt HKP   15 ὑπάρχει δὲ καὶ ἐναντιότης
κατὰ τὸ ποιόν Arist.   17 καὶ om. HP   18 σώμασι KP   22 ἢ om. K
23 ἐστιν suppl. P[2]   25 ἀντιτάξει H   μὴ om. K (οὐχ ὑπάρχει δεῖν οἶμαι λέγειν
add. in mrg.)   26 τῷ] τὸ P   27 ὡς τὸ θερμ.—ἐναντιότης (28) in mrg. suppl. P
θερμαίνον H: θερμένειν P   τῷ (ante πάσχ.)] τὸ H   28 τὸ (ante ψύχεσθαι)]
τῷ K   ποιότητες HP   29 τοῖς] τῆς HP   31 οὐδὲν H

πυρὶ θερμότης καὶ ἡ ἐν ὕδατι ψυχρότης, εἰ οὐσιώδεις ληφθεῖεν, ὡς ἀνωτέρω ἐδείχθη. ὁ δὲ Ἀρχύτας καθολικώτερον τὸ ἴδιον προάγων φησὶν ὅτι ὑπάρχει τῇ ποιότητι ἴδιον τὸ ἐπιδέχεσθαι τὰ ἐναντία ἢ στέρησιν. καὶ τούτοις συνᾴδει ὁ Ἀριστοτέλης· προϊὼν γὰρ ἀμφιβάλλει εἰ ἐναντία ἡ δικαιο-
5 σύνη τῇ ἀδικίᾳ· δόξουσι γὰρ ἐναντία εἶναι ὡς μεταβάλλοντα, δόξει καὶ στέρησις εἶναι ἡ ἀδικία· τὸ γὰρ ᾱ στερητικόν. ὅθεν καὶ ἀποροῦσιν ὅτι πῶς μάχεται ἡ στέρησις τῷ εἴδει, ⟨οἷον⟩ τίς ἂν γένοιτο ἐν τῷ ἀνθρώπῳ. πρὸς ὅ φαμεν· ἀλλ' οὔτις ἂν γένοιτο ἐν τῷ ἀνθρώπῳ, ἀλλά τις ἐν τῇ ὕλῃ τοῦ ἀνθρώπου γένοιτο. καὶ ἐπειδὴ ὡς ἐν ὕλῃ συμβεβηκότα εἰσί
10 (γίνονται γὰρ καὶ ἀπογίνονται), μάχεται ἡ στέρησις τῷ εἴδει ὡς συμβεβηκὸς συμβεβηκότι.

p. 10b17 Ἔτι ἐὰν τῶν ἐναντίων θάτερον ᾖ ποιόν, καὶ τὸ λοιπὸν ποιόν.

Δεύτερον ἴδιον τῆς ποιότητος τὸ τῷ ποιῷ ἐναντίον ποιὸν εἶναι, καὶ
15 καθόλου ἧς κατηγορίας τὸ ἕτερον, τῆς αὐτῆς εἶναι καὶ τὸ λοιπόν. οὐ λέγει δὲ νῦν τὸ προσεχὲς γένος ὁ Ἀριστοτέλης τοῦ ποιοῦ, ἀλλὰ τὸ πόρρω. καὶ μή τις νομίσῃ ὅτι πάντα τὰ ἐναντία ὑφ' ἓν γένος ἀνάγονται· διορθοῦται γὰρ τοῦτο ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ἀντικειμένων λόγῳ, ὅτι τὰ ἐναντία τριττά· ἢ γὰρ ὑπὸ ἓν γένος ἀνάγονται, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ὑπὸ
20 τὸ χρῶμα, ἢ ὑπὸ ἀντιδιῃρημένα, ὡς δικαιοσύνη καὶ ἀδικία ὑπὸ ἀρετὴν καὶ κακίαν, ἢ οὐδὲ ὅλως ἀνάγονται ὑπὸ γένος τῷ αὐτὰ γένος εἶναι, ὡς τὸ ἀγαθὸν καὶ τὸ κακόν· διὰ γὰρ τῶν δέκα διήκουσι κατηγοριῶν. καὶ πιστοῦται τὰ νῦν λεγόμενα | ὁ Ἀριστοτέλης ἐκ τῆς ἐπαγωγῆς· πολὺ γὰρ 282v τὸ ἐπαγωγικὸν ἐν τῇ παρούσῃ πραγματείᾳ περὶ τῶν γενικωτάτων οὔσῃ, ἃ
25 οὐδὲν ἔχει πρὸ αὐτῶν ἀλλὰ μετὰ ταῦτα· εἰ γὰρ τῷ ὀξεῖ τῷ ἐν χυμοῖς τὸ γλυκὺ τὸ ἐν χυμοῖς ἀντίκειται, ἐκεῖνο δὲ ὑπὸ τὴν ποιότητα, καὶ τοῦτο ὑπὸ τὴν ποιότητα ἀναχθήσεται. καὶ εἰ τὸ ὀξὺ τὸ ἐν γωνίαις ὑπὸ τὰ πρός τι (ὀξεῖα γὰρ ἡ ἐλάσσων ὀρθῆς), καὶ τὸ ἀμβλὺ τὸ ἐν γωνίαις ὑπὸ τὰ πρός τι· ἀμβλεῖα γὰρ ἡ μείζων ὀρθῆς, τὸ δὲ μεῖζον καὶ ἔλαττον τῶν πρός τι.
30 καὶ εἰ τὸ ὀξὺ τὸ ἐν φωναῖς ὑπὸ τὸ ποιεῖν ἀναχθήσεται, καὶ τὸ ἀμβλὺ ὁμοίως. ἀλλ' ὅσον ἐπὶ τούτῳ διάφοροι ἔσονται κατηγορίαι τῶν ἐναντίων, καὶ οὐκέτι ἐν ποιότητι μόνῃ ἡ ἐναντιότης. καὶ λέγομεν ὅτι οὐκ εἶπεν ὁ Ἀριστοτέλης ὅτι εἰ τὸ ἕτερον τῶν ἐναντίων ὑπὸ τήνδε τὴν κατηγορίαν ἀνάγεται, καὶ τὸ λοιπὸν ἀναχθήσεται, ἀλλὰ τὸ τῷ ποιῷ ἐναντίον ποιὸν
35 εἶναι. διὸ καὶ ἀμφιβόλως τὸν λόγον προήγαγε λέγων· οἷον εἰ ἡ δικαιοσύνη ἐναντίον τῇ ἀδικίᾳ· δόξα γὰρ γέγονεν ὅτι ἡ ἀδικία οὐκ ἔστιν ἐναντία τῇ

---

1. 2 ἀνωτέρω] p. 180,3 3 τῇ om. K 7 οἷον inserui 8 γένοιτω H 9 γένοιτο scripsi: γένηται libri 11 post συμβεβηκὸς add. ὡς H 12 ἔτι δὲ Arist. θάτερον] θεάτρων HP ᾖ om. K post λοιπὸν add. ἔσται Arist. 17 νομήσει H 21 ante pr. γένος add. τὸ P 25 πρὸ] πρὸς HP an μετ' αὐτά? 27. 28 γονίαις H 31 ἔσονται] ἕπονται HP 32 οὐκ ἔστι H

δικαιοσύνῃ· ἡ γὰρ ἀδικία στέρησις, τὸ δὲ ἀντικείμενον τῇ δικαιοσύνῃ ἀκατονόμαστόν ἐστι, καὶ οὐ δεῖ τὰς ἕξεις στερητικοῖς ὀνόμασιν ὀνομάζειν, ὥσπερ ἡ ἀδικία στερητικὸν ὄνομα ἔχει, ἕξις οὖσα. πλὴν οὐκ ἀληθὴς ὁ λόγος· οὐ γὰρ ἀεὶ αἱ στερήσεις στερητικοῖς ὀνόμασιν ὀνομάζονται· ἰδοὺ γὰρ ἡ 5 τυφλότης καὶ κωφότης, στερητικὰ ὄντα, στερητικοῖς ὀνόμασιν οὐκ ὀνομάζονται, ὡς τὸ ἀσώματον, ἀθάνατον, αἴδιον, ἀγέννητον.

Τρίτον δὲ ἴδιον τῆς ποιότητος τὸ ἀπογεννώμενον ἐκ τοῦ πρώτου ἰδίου, τοῦ ἐπιδέχεσθαι τὰ ἐναντία, τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον· ἀεὶ γὰρ ταῦτα ἕπονται ἀλλήλοις· ὅπου τὰ ἐναντία, ἐκεῖ πάντως τὸ μᾶλλον καὶ ἧττον, 10 καὶ ὅπου τὸ μᾶλλον καὶ ἧττον, ἐκεῖ καὶ τὰ ἐναντία, καὶ ὅπου οὐκ ἔστι τὸ ἕτερον, οὐδὲ τὸ λοιπόν. ταῦτα δὲ καὶ ἐν μόνῃ τῇ ποιότητι θεωροῦνται, πλὴν οὐκ ἐν πάσῃ· τῷ γὰρ σχήματι οὐδέν ἐστιν ἐναντίον, οὐδὲ τοῖς μέσοις τῶν χρωμάτων. ὅπου γε καὶ δόξα γέγονε μηδὲ αὐτὴν τὴν ποιότητα ἐπιδέχεσθαι τὰ ἐναντία, ἀλλὰ τὰ μετέχοντα μόνον· ὥσπερ γὰρ πυρκαϊᾶς μιᾶς 15 καὶ τῆς αὐτῆς οὔσης οἱ μὲν μᾶλλον θερμαίνονται οἱ δὲ ἧττον τῷ μᾶλλον μετέχειν ἢ ἧττον, καὶ τῆς δικαιοσύνης μιᾶς καὶ τῆς αὐτῆς οὔσης οἱ μὲν μᾶλλον οἱ δὲ ἧττον μετέχουσι τῆς δικαιοσύνης, οὕτω καὶ ἐπὶ τῆς ποιότητος ἔχει. ἰστέον δὲ ὅτι οὐδὲ ἐν πᾶσι τοῖς μετέχουσι τῆς ποιότητος ἡ ἐναντιότης· τρίγωνον γὰρ τριγώνου ⟨οὐ⟩ λέγεται μᾶλλον τρίγωνον, ἢ τετράγωνον 20 ἢ κύκλος· καθόλου γὰρ εἰπεῖν, τὸ μᾶλλον καὶ ἧττον καὶ τὰ ἐναντία οὐδὲ ἐν οἷς πάντῃ ὁ αὐτὸς ὁρισμός, ὡς ἐπὶ δύο τριγώνων, οὐδὲ ἐν οἷς πάντῃ διάφορος, ὡς ἐπὶ τριγώνου καὶ κύκλου, θεωροῦνται (οὐδὲν γάρ τούτων πρὸς τὸ ἀνό|μοιον λέγεται μᾶλλον ἢ ἧττον), ἀλλ' ἐν οἷς πῇ μὲν ὁ αὐτὸς λόγος 283r πῇ δὲ διάφορος, ὡς ἐπὶ δύο λευκῶν· ὁ γὰρ λόγος ὁ αὐτὸς ἐπὶ ἑκατέρου, 25 ἀλλὰ καὶ διάφορος· λευκὸν γάρ ἐστι καὶ τὸ λελευκωμένον, λευκὸν δέ ἐστι καὶ αὐτὸ τὸ χρῶμα, ἀλλ' ἔστι μᾶλλον διακρίνειν καὶ ἧττον.

Τούτων δὲ τῶν δύο ἰδίων καὶ ἀνωτέρω ἐμνήσθημεν, ἀλλὰ ποὺ μὲν ὡς μὴ ὑπαρχόντων, οἷον ἐπὶ οὐσίας καὶ ποσοῦ, ποὺ δὲ ὡς ὑπαρχόντων, ὡς ἐπὶ τῶν πρός τι καὶ ποιότητος. ὥσπερ δὲ ἀνωτέρω τὰ ψευδῆ ἴδια τῶν 30 ἀληθῶν προέταττεν, οὕτω κἀνταῦθα μετὰ τὰ ψευδῆ ἴδια ἔρχεται ἐπὶ τῶν κυρίως καί φησιν ὅτι τέταρτον ἴδιον τῆς ποιότητος ὥσπερ οὐσίας τὸ ταὐτὸν καὶ ἕτερον· οὐδὲν γάρ ἐστιν ὁμοιότης ἢ ποιοτήτων ταυτότης, ὥσπερ ἀνομοιότης ποιοτήτων διαφορά. τοῦτο δὲ καὶ ἐπὶ ψυχῆς ληπτέον, φημὶ τὸ ὅμοιον,

35 ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον,

καὶ ἐπὶ σώματος

παῦροι γὰρ καὶ παῖδες ὁμοῖοι πατρὶ πέλονται,

καὶ

τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσι.

---

3 ἕξεις H 5 κουφώτης P 9 ἕπεται H 12 ἐστιν om. KP 15 θερμαίνονται in mrg. suppl. P 19 οὐ addidi 25 pr. λευκὸν—ἐμνήσθημεν (27) in mrg. suppl. K 29 δὲ om. K 35 ὡς αἰεὶ ..] Hom. ρ 218 37 παῦροι ..] Hom. β 276 καὶ] τοι Hom. πατέρι H τίκτουσιν ..] Hes. op. et d. 235

Μετὰ τὰ τέσσαρα ἴδια τῆς ποιότητος ἀπορεῖ ὁ Ἀριστοτέλης ὅτι πῶς ἕξιν καὶ διάθεσιν ἤτοι ἐπιστήμην ὑπὸ δύο ἀνήγομεν κατηγορίας, ὑπὸ τὰ πρός τι καὶ τὴν ποιότητα· ἡ γὰρ ἕξις καὶ ἐπιστήμη παραδείγματα ἦσαν τῶν πρός τι· ἡ γὰρ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη καὶ ἡ ἕξις ἑκτοῦ ἕξις.
5 ἀλλὰ καὶ πρῶτον εἶδος τῆς ποιότητος ἦσαν ἕξις καὶ ἐπιστήμη ἤτοι διάθεσις. ἔσται οὖν τι κοινὸν τῶν γενικωτάτων καὶ οὐκέτι δέκα αἱ κατηγορίαι, ἐοικυῖαι τάγματι χιλίων ἀνδρῶν εἰς δέκα ἑκατοντάρχας διῃρημένων, ἐν οἷς τὸ ἕτερον οὐ τελεῖ ὑπὸ τὸ ἕτερον. καὶ λύει τοῦτο λέγων ὅτι ἡ καθόλου ἐπιστήμη πρός τι καὶ οὐ ποιότης, ἡ δὲ τὶς ἐπιστήμη, οἷον ἡ γραμματικὴ ἡ ἐν
10 Ἀριστάρχῳ, ἡ ῥητορικὴ ἡ ἐν Δημοσθένει, ποιότητες καὶ οὐ πρός τι. καὶ τοῦτο κατασκευάζει ἐκ τῶν ὁρισμῶν ἑκατέρου, τῶν πρός τι καὶ τῆς ποιότητος· πρός τι γάρ ἐστιν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται· ἡ ἐπιστήμη οὖν τῶν πρός τι· ἡ γὰρ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη. ποιότης δέ ἐστι καθ' ἣν ποιοί τινες λέγονται εἶναι· λεγόμεθα δὲ γραμματικοὶ ἀπὸ
15 τῆς γραμματικῆς· οὐδὲ γὰρ ἀπὸ τῆς καθόλου ἐπιστήμης λεγόμεθα ἐπιστήμονες τοῦδε τοῦ γράμματος (οὐδὲ γὰρ ἐνδέχεται ἄνθρωπον ἕνα πᾶσαν ἐπιστήμην ἔχειν, εἰ καὶ ὁ Πλάτων κέρματα ἀνθρώπου ἐκάλει τοὺς κατὰ μέρος ἀνθρώπους, ὡς μὴ δυναμένους πᾶσαν ἐπιστήμην ἔχειν), ἀλλὰ λεγόμεθα ἐπιστήμονες ἀπό τινος ἐπιστήμης· ἡ γὰρ γραμματικὴ οὐ λέγεται γραμμα-
20 τικὴ φωνῶν, ἀλλ' ἐπιστήμη φωνῶν. καὶ ἰδοὺ οἶδε καὶ ὁ Ἀριστοτέλης τὸ σημαινόμενον τῶν πρός τι τὸ μὴ δι' ἑαυτὸ πρός τι, ἀλλὰ διὰ τὴν πρὸς τὸ γένος ἀναφοράν, οἷον ἡ γραμματική. καὶ ἀποροῦσι πρὸς τὴν λύσιν ὅτι πῶς τοῦ γένους ὑπ' ἄλλην ἀναγομένου τὰ εἴδη ὑπὸ ἑτέραν κατηγορίαν ἀνάγεται· ἰδοὺ γὰρ ἡ ἐπιστήμη | ὑπὸ τὰ πρός τι, ἡ δὲ γραμματικὴ εἶδος οὖσα τῆς 283v
25 ἐπιστήμης καὶ διὰ τοῦτο τῶν πρός τι ὑπὸ τὴν ποιότητα· καὶ γὰρ ἐλέγετο ἀνωτέρω ὅτι ὅσα τῶν ἐπάνω κατηγορεῖται, καὶ τῶν ὑποκάτω· διὰ τί οὖν τὰ πρός τι τῆς ἐπιστήμης κατηγορούμενα τῆς γραμματικῆς οὐ κατηγορηθήσεται; καὶ λέγομεν πρὸς τοῦτο ὅτι ἡ ἐπιστήμη ὡς ποιότης κατηγορηθήσεται τῆς γραμματικῆς, οὐχ ὡς πρός τι, εἰ καὶ συμβέβηκεν αὐτῇ ἀμφό-
30 τερα, καὶ πρός τι εἶναι καὶ ποιότητα κατ' ἄλλο καὶ ἄλλο νοούμενον. καὶ ὡς ποιότης μὲν οὖσα κατὰ φύσιν, διεβίβασε τὸ κατηγορούμενον αὐτῆς κατὰ φύσιν εἰς τὰ εἴδη, τὸ δὲ πρός τι ὡς κατὰ δεύτερον λόγον αὐτῇ ὑπάρχον οὐ διεβίβασεν εἰς τὰ οἰκεῖα εἴδη. λέγει καὶ δευτέραν λύσιν ὁ Ἀριστοτέλης· ὅτι εἰ τὸ αὐτὸ ὑπὸ δύο κατηγορίας ἀνήγετο, ὧν οὐδὲ ἑτέρα πρός τι, ἀπορεῖν ἐχρῆν, ⟨ἀλλ' οὐκ
35 ἀπορεῖν ἐχρῆν⟩ ὅτι εἰ τὸ αὐτὸ δυνατὸν ὑπὸ δύο κατηγορίας ἀνάγεσθαι, ὧν ἡ ἑτέρα [οὐ] πρός τι. τοὐναντίον ἀπορεῖν ἐχρῆν ὅτι εἰ τὸ αὐτὸ μὴ καὶ ὑπὸ

---

3 παραδείγμ. ἦσαν] cf. p. 6b2. 3 4 ἡ (ante ἕξις) om. HP τοῦ ἑκτοῦ H 5 πρῶτον εἶδος] cf. p. 8b27. 29 ἤτοι διάθεσις post ἕξις transponas 6 οὖν om. P 8 ὑπὸ] ἐπὶ KP ἡ iter. H 9 ἡ (ante γραμμ.) om. K 10 δημωσθ. H 11 τι om. H 17 Πλάτων] cf. p. 167,9 ἀνθρώπων HP ante τοὺς add. πάντας K 20 ἀλλ'—φωνῶν in mrg. suppl. P ὁ om. P 24 γὰρ iter. P 26 ἀνωτέρω] p. 153,11 28 ἡ om. K 28. 29 post κατηγορ. addita καὶ λέγομεν πρὸς τοῦτο del. P 32 εἴδει H1 34 post εἰ add. καὶ K 34. 35 ἀλλ'—ἐχρῆν inserui 35 ἀνάγεται H 36 οὐ delevi

ἄλλην κατηγορίαν ἀνήγετο· οὐδὲν γὰρ τῶν ὄντων πρός τι μόνως, ἀλλ' ἢ πρός τι καὶ οὐσία ἢ πρός τι καὶ ποσὸν ἢ πρός τι καὶ ποιόν. εἰπὲ καὶ ἄλλην σὺ λύσιν, ὅτι οὐδὲν ἄτοπον τὸ αὐτὸ ὑπὸ δύο κατηγορίας ἀνάγεσθαι κατ' ἄλλο καὶ ἄλλο· οἷον ἡ γραμματικὴ ὡς ἐπιστήμη καὶ ὑπὸ τὰ πρός τι
5 καὶ ὑπὸ τὴν ποιότητα· εἰ μὲν γὰρ ὡς πρὸς τὸ ἐν ᾧ ὑπόκειται, τὴν ψυχήν, ἀπίδῃ τις, ποιότης, εἰ δὲ πρὸς τὸ περὶ ὃ ἐνεργεῖ, φημὶ τὰς φωνάς, ἐπιστήμη. ἀλλὰ ποίαν συνέχειαν ἔχει τὰ νῦν λεγόμενα πρὸς τὸ τέταρτον ἴδιον τῆς ποιότητος; καὶ λέγομεν ὅτι ναί, εἴ γε κατέληξεν ὁ περὶ ποιότητος λόγος εἰς τὸ ὅμοιον καὶ ἀνόμοιον, ταῦτα δὲ καὶ πρός τι (τὸ γὰρ ὅμοιον ὁμοίῳ ὅμοιον
10 καὶ τὸ ἀνόμοιον ἀνομοίῳ ἀνόμοιον) καὶ ποιότητες ἄμφω· ὁμοιότης γάρ ἐστι ποιοτήτων ταυτότης. ταῦτα ἔχει ἡ θεωρία. ἐν οἷς καὶ ὁ περὶ ποιότητος λόγος.

Περὶ τοῦ ποιεῖν καὶ πάσχειν.

Οὐχ αἱ μὲν τῶν κατηγοριῶν ἁπλαῖ αἱ δὲ συμπεπλεγμέναι· οὐ γὰρ
15 συμπεπλεγμένον τὸ ποιεῖν καὶ πάσχειν, εἰ καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον· ἐξ οὐσίας γὰρ καὶ ἐνεργείας τὸ ποιοῦν, ἀσθενείας δὲ καὶ πείσεως τὸ πάσχον. οὐδὲ τὸ ἐν τόπῳ εἶναι ἢ χρόνῳ σύνθετα, εἰ καὶ τὸ ἐν τόπῳ ὂν ἐξ οὐσίας καὶ τόπου καὶ τὸ ἐν χρόνῳ ὂν ἐξ οὐσίας καὶ χρόνου, καὶ διὰ τοῦτο σύνθετα. οὐδὲ τὸ κεῖσθαι καὶ τὸ ἔχειν σύνθετα, εἰ καὶ τὸ κείμενον καὶ τὸ ἔχον
20 σύνθετα ἐξ οὐσίας καὶ θέσεως καὶ σχέσεως. ἀλλὰ πᾶσαι αἱ κατηγορίαι ἁπλαῖ· πᾶσα γὰρ κατηγορία ἁπλῆ ἐστι νοῆσαι καὶ γενικώτατον. εἰ δέ τις ἀπορεῖ ὅτι πῶς γενικώτατον τὸ ἐκ συμπλοκῆς ἄλλων γενόμενον (τὰ γὰρ ἁπλᾶ πρότερα τῶν συνθέτων), ἐροῦμεν λύσιν τοιαύτην· ὅτι ἀληθὲς τὸ προηγεῖσθαι τὰ ἁπλᾶ τῶν συνθέτων, καὶ προτέτακται ἡ οὐσία πάσης κατη-
25 γορίας, δεύτερον τὸ ποσόν, τρίτον τὸ πρός τι, τέταρτον τὸ ποιόν (οὐκοῦν καὶ ἐν συνθέσει φυλάτ|τεται ἡ τάξις ἐν ταῖς κατηγορίαις· διὰ τοῦτο οὐδὲ 284r τὸ ὂν συνωνύμως κατηγορηθήσεται τῶν δέκα κατηγοριῶν), ἀλλ' ὅταν λέγωμεν ὅτι γενικώτατον τὸ ποιεῖν ἢ πάσχειν ἢ ἄλλην ὁποιανοῦν κατηγορίαν, οὔ φαμεν ὅτι οὐδέν ἐστι πρὸ αὐτῶν (εἰσὶ γὰρ πρὸ αὐτῶν τὰ ἐξ ὧν ἐγένοντο),
30 ἀλλ' ὅτι γένος οἰκεῖον οὐκ ἔχουσι πρὸ αὐτῶν συνωνύμως κατηγορηθῆναι ὀφεῖλον· εἰ γὰρ τοῦτο, οὐκ ἔστι γενικώτατον. γενικώτατα δέ εἰσι πᾶσαι αἱ κατηγορίαι ὡς ἁπλαῖ νοῆσαι, κἂν ἐκ συμπλοκῆς ἄλλων ἐγένοντο· μία γὰρ ἡ σχέσις τῶν δύο πραγμάτων, ὥσπερ μία ὁδὸς ⟨ἀπὸ⟩ Ἀθηνῶν εἰς Θήβας καὶ ἀπὸ Θηβῶν εἰς Ἀθήνας, αἱ δὲ πόλεις δύο. εἰ δέ τις εἴποι ὅτι 'καὶ
35 τὰ πρός τι δύο εἰσὶ πράγματα ἔχοντα μίαν σχέσιν καὶ τί διοίσουσι τούτων;', φαμὲν πρὸς αὐτὸν ὅτι τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται ἀεί, κἂν μία ἡ σχέσις αὐτῶν· οὐ πάντως δὲ ὅπου συμπλοκὴ δύο πραγμάτων καὶ

---

2 οὐσίαν P ἢ πρός τι καὶ ποιόν om. K 9 pr. τὸ om. K 10 καὶ τὸ ἀνόμ. — ἀνόμοιον om. KP 19 εἰ om. P 22 ὅτι om. KP 24 post συνθέτων addita ἐροῦμεν λύσιν τοιαύτην ὅτι ἀληθὲς del. P 28 ὅτι eicias 33 ἀπὸ inserui 34 pr. δὲ] δαὶ H

σχέσις εὐθύτητος, καὶ πρός τι εἴη καὶ πρὸς ἀντιστρέφοντα λέγοιντο· Ἀθῆναι γὰρ καὶ Θῆβαι οὐ πρός τι, κἂν μία ὁδὸς μεταξύ, οὐδὲ τὸ 'Σωκράτης περιπατεῖ' τῶν πρός τι, ὂν συμπεπλεγμένον, οὐδὲ τὸ ποιοῦν ἐξ οὐσίας ὂν καὶ ἐνεργείας πρός τι· οὐ γὰρ πρὸς τὸ πάσχον αὐτὸ παραβάλλοντες νῦν
5 τὴν ποιεῖν κατηγορίαν νοοῦμεν, ἀλλ' αὐτὸ τὸ ποιοῦν μόνον θεωροῦντες καθ' αὑτὸ συμπεπλεγμένον ἐξ οὐσίας καὶ ἐνεργείας τὸ ποιεῖν τὸ ἁπλοῦν ἐπινοοῦμεν κατηγορίαν. τὰ αὐτὰ καὶ ἐπὶ τῶν λοιπῶν συμπεπλεγμένων κατηγοριῶν ἀκουστέον, ἤγουν συνθέτων. σύνθετοι δὲ λέγονται τῷ ἐκ συμπλοκῆς ἀλλήλων αὐτὰς γενέσθαι. διὸ καὶ ἀπαρεμφάτοις ῥήμασιν αὐτὰς ὀνομάζει ποιεῖν,
10 πάσχειν, ἵνα μὴ τὸ ἐφέλκεσθαι πρόσωπον συνθέτους αὐτὰς ποιήσῃ, ἢ ἐπιρρήμασιν ὀνομάζει τινὰς ἐξ αὐτῶν ἰσοδυναμοῦσι ῥήμασιν ἀπαρεμφάτοις· τὸ γὰρ ποῦ ταὐτὸν τῷ ἐν τόπῳ εἶναι καὶ τὸ ποτέ τῷ ἐν χρόνῳ εἶναι, τὸ δὲ εἶναι ἀπαρέμφατον ῥῆμα.

Μηκύνας οὖν ὁ Ἀριστοτέλης τὸν περὶ τῶν ἁπλῶν κατηγοριῶν λόγον
15 ἔχει δι' αὐτῶν καὶ τὰς συμπεπλεγμένας. προέταξε δὲ τῶν συμπεπλεγμένων τὸ ποιεῖν καὶ πάσχειν διὰ δύο αἰτίας· ἢ ὅτι περὶ ποιότητα τὸ ποιεῖν καὶ πάσχειν ἢ ὅτι ἐμνήσθη ἐν τῷ περὶ ποιότητος λόγῳ τοῦ ποιεῖν καὶ πάσχειν, ὅτε τὴν διὰ φόβον ὠχρίασιν καὶ τὸ δι' αἰδῶ ἔρευθος ὑπὸ τὸ πάσχειν ἀνήγαγεν. ἐπέγραψε δὲ Περὶ τοῦ ποιεῖν καὶ πάσχειν, οὐ Περὶ ποιοῦντος
20 καὶ πάσχοντος, διότι τὸ ποιοῦν καὶ πάσχον τῶν πρός τι, οὐ Περὶ ποιήσεως καὶ παθήσεως· ἡ γὰρ ποίησις διττή· λέγεται γὰρ ποίησις καὶ αὐτὴ ἡ ἐνέργεια καὶ τὸ ἀποτέλεσμα, οἷον ἀβάκιον, ἅπερ προδήλως ὑπὸ ἄλλην κατηγορίαν ἀνάγονται. οὕτω δὲ συγγενὲς τὸ ποιεῖν καὶ πάσχειν τῇ ποιότητι, ὅτι καὶ τὰ ἴδια τῆς ποιότητος ὑπάρχει τῷ ποιεῖν καὶ πάσχειν· | ἐναντία 284v
25 γὰρ τὸ ποιεῖν καὶ ποιεῖν, οἷον τὸ θερμαίνειν τῷ ψύχειν ἐστὶν ἐναντίον. ἀλλὰ καὶ τὸ πάσχειν τῷ πάσχειν ἐναντίον· τὸ γὰρ θερμαίνεσθαι τῷ ψύχεσθαι ἐναντίον. ὑπάρχει δὲ τῷ ποιεῖν καὶ πάσχειν ὥσπερ τὰ ἐναντία οὕτω καὶ τὸ μᾶλλον καὶ ἧττον· ἔστι γὰρ μᾶλλον θερμαίνειν καὶ μᾶλλον ψύχειν καὶ ἧττον θερμαίνειν καὶ ἧττον ψύχειν, καὶ μᾶλλον θερμαίνεσθαι καὶ ψύχεσθαι
30 καὶ ἧττον.

Ἐπειδὴ δὲ αἱ κατηγορίαι πλήθει τῶν ὑφ' ἑαυτὰς εἰδῶν χαρακτηρίζονται ὡς γενικώταται οὖσαι, εἴπωμεν τὰ εἴδη ἑκάστης τῶν ἓξ κατηγοριῶν. τὸ ποιεῖν τοίνυν διττόν· ἢ γὰρ εἰς ἑαυτὸ ἢ εἰς ἕτερον ποιεῖ τι, καὶ εἰς ἑαυτὸ μὲν ὡς ἡ ψυχὴ ζωοῦσα ἑαυτήν, εἰς ἕτερον δὲ ὥσπερ ἡ αἴσθησις ἐνεργοῦσα
35 περὶ τὸ αἰσθητόν· ὅ τι μὲν γὰρ ὁρᾷ ἡ αἴσθησις οἶδε, διὰ τί δὲ ὁρᾷ οὐκ οἶδε. καὶ ἄλλως τὸ ποιεῖν διττόν· ἢ γὰρ καθ' ὁρμὴν ὡς ἐπὶ τοῦ ὑλακτοῦντος κυνός, ἢ κατὰ φύσιν ὡς τῷ πυρὶ τὸ καίειν φυσικῶς. καὶ τὸ πάσχειν διττόν· ἢ γὰρ φθαρτικόν ἐστιν ὡς ἐπὶ τοῦ τέμνεσθαι καὶ καίεσθαι, ἢ τελειωτικὸν ὡς τὸ μανθάνειν, γινώσκειν. τὸ ποῦ ἑξαχῶς· τὸ γὰρ ποῦ

2 οὐδὲ] εἰ δὲ K 3 ὧν P 6 pr. τὸ] τοῦ K 8 τῷ scripsi: τὸ libri 10 ποιήσει HK 10. 11 ἐπιρήμ. P 17 post πάσχειν addita διὰ δύο del. P ἐν τῷ περὶ π. λόγῳ] p. 9b13 19 ἀνῆγεν KP 24 ἐναντίον HP 26 alt. τῷ] τὸ P 31 δὲ om. P 33 ποιεῖ] ποιεῖν KP 37 τῷ ex τὸ corr. P 38 ἢ] εἰ HP

ἐστι τὸ ἐν τόπῳ εἶναι, ὁ δὲ τόπος πέρας τοῦ περιέχοντος, τὸ δὲ περιεχόμενον σῶμα, παντὸς δὲ σώματος τρεῖς εἰσι διαστάσεις, ἐπειδὴ καὶ τρεῖς μόναι εὐθεῖαι πρὸς ὀρθὰς γωνίας δύνανται συμβάλλειν ἑαυταῖς καθ' ἓν σημεῖον, πάσης δὲ διαμέτρου δύο εἰσὶ πέρατα, ὡς γίνεσθαι ἓξ διαστάσεις,
5 ἄνω, κάτω, πρόσω, ὀπίσω, δεξιά, ἀριστερά. καὶ τὸ μὲν ἄνω καὶ κάτω ποιεῖ τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον, τὸ δὲ δεξιὰ καὶ ἀριστερὰ ποιεῖ ἀνατολικὸν καὶ δυτικόν, τὸ πρόσω καὶ ὀπίσω ποιεῖ νότιον καὶ βόρειον. ταῦτα περὶ τοῦ ποῦ. τὸ δὲ ποτὲ τριχῶς κατὰ τὴν τριμέρειαν τοῦ χρόνου, ἐνεστῶτος, παρεληλυθότος, μέλλοντος. τὸ δὲ κεῖσθαι τριχῶς· ἢ γὰρ ὄρθιά
10 εἰσι πάντα καὶ λέγεται στάσις, ἢ πάντα κέκλιται καὶ λέγεται ἀνάκλισις, ἢ τὰ μὲν ὕπτια τὰ δὲ κεκλιμένα καὶ λέγεται καθέδρα. τὸ ἔχειν διχῶς· ἢ ὅλον περὶ ὅλον, ὡς ἱμάτιον περὶ ὅλον, τὸ σῶμα, ἢ ὅλον περὶ μέρος, ὡς δακτύλιος ὅλος περὶ μέρος, τὸν δάκτυλον. ταῦτα ἡμῖν καὶ περὶ τῶν δέκα κατηγοριῶν. ἐν οἷς σὺν θεῷ καὶ τὸ δεύτερον τμῆμα.

15 Περὶ ἀντικειμένων.

Ἐπειδὴ τὰς κατηγορίας διηνύσαμεν καὶ τῶν χρησίμων δὲ πρὸς τὰς κατηγορίας τὰ ἀσαφέστερα διηρθρώσαμεν, ὧν τὸ μὲν πεποιήκαμεν ἐν τῷ πρώτῳ τμήματι τὸ δὲ ἐν τῷ δευτέρῳ, μηδὲ τῶν σαφῶν χρησίμων πρὸς τὰς κατηγορίας ἀμελήσωμεν πανταχόθεν τὸ τέλειον τῇ πραγματείᾳ περιποιούμενοι.
20 ἐπὶ τὸ τρίτον τοίνυν ἥκωμεν τμῆμα, ἐν ᾧ περὶ πέντε τινῶν διαλέγεται ὁ | φιλόσοφος, περὶ ἀντικειμένων, περὶ προτέρου καὶ ὑστέρου, περὶ τῶν ἅμα, 285r περὶ κινήσεως, περὶ τοῦ ἔχειν ἑτέρου ὄντος τῆς τοῦ ἔχειν κατηγορίας. προέταξε δὲ τὰ ἀντικείμενα, ἐπειδὴ τῶν ἄλλων χρησίμων ἐν τῇ πρώτῃ κατηγορίᾳ ἐδεήθη * * περὶ τοῦ ἅμα ἐν τοῖς πρός τι, περὶ προτέρου καὶ ὑστέρου
25 ἐν τῇ ποιότητι, ὅτε ἔλεγεν ὅτι πρότερον τὸ ἐπιστητὸν τῆς ἐπιστήμης, τῶν μέντοι ἀντικειμένων ἐν πάσῃ κατηγορίᾳ ἐδεήθη· ἐφ' ἑκάστης γὰρ κατηγορίας ἐζητοῦμεν εἰ ἔχει ἐναντίον ἢ οὔ. καὶ διαφορᾶς ἐναντίων δὲ ἐδεήθημεν ἐν τῷ περὶ ποσοῦ λόγῳ, ὅτε τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον οὐκ ἀνήγομεν ὑπὸ τὰ ἐναντία, ἀλλ' ὑπὸ τὰ πρός τι· τὰ δὲ ἐναντία
30 καὶ τὰ πρός τι εἴδη ἀντικειμένων. Ἑρμῖνος δὲ ὁ Πρὸ τῶν τόπων ἐπιγράψας τὰς Κατηγορίας αἰτίαν λέγει τοιαύτην, ὅτι διαλεκτικὴ ἡ προκειμένη πραγματεία, ἔργον δὲ τῆς διαλεκτικῆς περὶ τὸν ἀποφαντικὸν εἱλεῖσθαι λόγον τῷ συνηγορεῖν τῇ ἀντιφάσει καὶ τοῖς ἀντικειμένοις· διὰ τοῦτο οὖν καὶ τὰ ἀντικείμενα τῶν λοιπῶν προέταξε.
35 Τὰ δὲ ἀντικείμενα τετραχῶς· ἢ ὡς τὰ πρός τι ἢ ὡς τὰ ἐναντία ἢ

3 συμβάλειν (sic) ἑαυτὰς H 6 ὑμισφ. H 7 καὶ (post νότιον) om. KP 8 τριμερίαν P 9 ante μέλλοντος add. καὶ H 14 post τμῆμα add. τέλος σὺν θεῷ τῶν κατηγοριῶν K 15 tit. om. HP 17 ὧν scripsi: ὡς libri 20 ἥκωμεν HP 22 ἑτέρου—ἔχειν in mrg. suppl. (nunc evanida) P 23 τῇ πρώτῃ] an μιᾷ 24 ante περὶ τοῦ ἅμα lac. signavi 25 ἐν τῇ ποιότ.] potius ἐν τοῖς πρός τι (cf. p. 7b23) 26 μέντι H 29 ἀνήγομεν] p. 196,12 30 Πρὸ τῶν τ.] cf. p. 132,26 32 τὸν ex τῶν corr. P 33 ἀντηφάσει H

ὡς ἕξις καὶ στέρησις ἢ ὡς ἀπόφασις καὶ κατάφασις. δύο οὖν ζητήσωμεν ἐνταῦθα, διὰ τί τέσσαρα καὶ τὴν τάξιν αὐτῶν. τέσσαρα τοίνυν εἰσὶ δι' αἰτίαν τοιαύτην· τὰ ἀντικείμενα ἢ ἁπλᾶ ἢ συμπεπλεγμένα, καὶ εἰ μὲν συμπεπλεγμένα, ποιεῖ τὴν ἀντίφασιν 'Σωκράτης κάθηται — Σωκράτης οὐ κάθηται',
5 εἰ δὲ ἁπλᾶ, ἢ σώζει ἄλληλα καὶ ποιεῖ τὰ πρός τι, ἢ ἀναιρεῖ (εἰ γὰρ τὰ πρός τι, συναναιρεῖ· ἀλλ' οὐ ταὐτὸν τὸ ἀναιρεῖν τῷ συναναιρεῖν· τὸ γὰρ ἀναιροῦν αὐτὸ μένον ἄλλο ἀναιρεῖ, τὸ δὲ συναναιροῦν ἀναιρεθὲν συναναιρεῖ)· εἰ δὲ ἀναιρεῖ, ἢ ἀμφότερα μεταβάλλει εἰς ἄλληλα, τὸ θερμὸν εἰς ψυχρὸν ἢ ἀνάπαλιν, καὶ ποιεῖ τὰ ἐναντία, ἢ τὸ ἓν μόνον μεταβάλλει καὶ ποιεῖ ἕξιν
10 καὶ στέρησιν· ἕξις γὰρ εἰς στέρησιν μεταβάλλει, στέρησις δὲ εἰς ἕξιν οὐδέποτε ὑπὸ φύσεως ἢ τέχνης· τῇ γὰρ προνοίᾳ οὐδὲν ἀδύνατον. προέταξε δὲ τὰ πρός τι ἐν τοῖς ἀντικειμένοις ὡς μαλακώτερα καὶ ὡς ἧττον μαχόμενα ἐν τοῖς ἀντικειμένοις, ὡς καὶ ἀμφιβάλλεσθαι εἴ εἰσιν ἀντικείμενα σώζοντα ἄλληλα. ἀλλὰ τοῦτο μὲν δείκνυσιν Ἀλέξανδρος ὅτι ἀντικείμενα, ὃς καὶ τὰ
15 λαβδοειδῆ ξύλα παράδειγμα λαμβάνει, ἅτινα μετὰ ἀντιθέσεώς τινος σώζει ἄλληλα, ἃ ἡ συνήθεια ἀντήρεις καλεῖ, ὁ δὲ ποιητὴς ἀμείβοντας. ἀλλ' οὗτος μὲν διὰ μόνου παραδείγματος πιστοῦται ὅτι ἀντικείμενα, φέρε δὲ ἡμεῖς λόγῳ δείξωμεν ὅτι εἰσὶν ἀντικείμενα. ἀντικείμενα μὲν οὖν εἰσι ὡς ἀναιροῦντα· τὰ γὰρ ἀναιροῦντα ἀναιροῦσιν· ἀρκεῖ δὲ πρὸς μάχην τὸ
20 ἀναιρεῖν ὁπωσοῦν, καὶ περίεργον τὸ ζητεῖν εἰ τοιῶσδε ἢ τοιῶσδε ἀναιρεῖ. εἰπὲ δὲ | καὶ ἄλλην αἰτίαν, διὰ τί προέταξε τὰ πρός τι· ἐπειδὴ ταῦτα 285v δύο κοινὰ ἔχει (ἅμα γὰρ ἄπεστι καὶ ἅμα πάρεστι), τὰ δὲ ἐναντία ἓν κοινὸν ἔχει· ἅμα γὰρ ἄπεστιν, ὡς ἐπὶ φαιοῦ λευκὸν καὶ μέλαν, ἅμα δὲ παρεῖναι οὐ δύναται. διὰ τοῦτο οὖν τὰ πρός τι προέταξεν ὡς ἧττον ἀντικείμενα, διὰ
25 τὴν πολλὴν κοινωνίαν. ἕξις δὲ καὶ στέρησις οὐδὲ ἅμα παρεῖναι δύναται οὐδὲ ἅμα ἀπεῖναι. ἐπὶ μέντοι πεφυκότων μόνων· οὐ γὰρ λέγεται νωδὸν τὸ νεογνὸν παιδίον, οὐδὲ τυφλὸν τὸ σκυλάκιον, κἂν μὴ ὁρᾷ. ἀπόφασις μέντοι καὶ κατάφασις οὐδὲ ἅμα ἄπεισιν οὐδὲ ἅμα πάρεισι. καὶ τοῦτο κοινὸν ἔχει ἕξει καὶ στερήσει. διαφέρει δὲ τῷ ἐπὶ πάντων λέγεσθαι, ὄντων, μὴ
30 ὄντων, πεφυκότων, μὴ πεφυκότων. ἀλλὰ ταῦτα μὲν κατὰ Ἀριστοτέλην ἀντικείμενα μόνον. ὁ μέντοι Πλάτων ἄκρα ταὐτά φησιν εἶναι ἀντικείμενα, μεταξὺ δὲ τούτων εἶναι μέσα, ὡς πάντα ἔμμεσα λέγων· μεταξὺ γὰρ τῶν πρός τι καὶ τῶν ἐναντίων ἐστὶ θερμότερον — ψυχρότερον· ἐναντία γὰρ ταῦτα ὡς θερμὸν — ψυχρόν, καὶ πρός τι· τὸ γὰρ θερμότερον τοῦ ἠρέμα θερμοῦ
35 θερμότερον. μεταξὺ δὲ τῶν ἐναντίων καὶ ἕξεως καὶ στερήσεως φῶς καὶ σκότος· καὶ τῶν μὲν γὰρ ἐναντίων ἔχουσι τὸ μεταβάλλειν εἰς ἄλληλα, στερήσεως δὲ καὶ ἕξεως τὸ εἰδοποιεῖσθαι μὲν τὸ φῶς τὸ δὲ σκότος ἀνείδεον.

---

4 σωκρ. οὐ κάθηται in mrg. suppl. (nunc evan.) P 6 ἀλλ'—ἀναιρεῖ (8) om. P τῷ ἀναιρ. τὸ συναναιρ. H 13 καὶ ὡς coll. K 15 παράδειγμα b: παραδείγματα HKP 16 ἡ om. KP συνήθη P ποιητὴς] Hom. Ψ 712 17 μόνου om. K 18 δείξομεν K 20 ὁποσοῦν P 21 ταῦτα] τὰ K: evan. P 27 νεωγνὸν K: νεόγονον HP (cf. p. 244,16) 29 τῷ ἐπὶ] τὸ ἀπὸ KP 30 μὴ πεφυκότων superscr. P[2] 31 Πλάτων] cf. p. 181,10 194,15 33 ante ψυχρ. add. καὶ K 34 ψυχρῷ KP θερμοῦ iter. K 36 καὶ eicias γὰρ om. KP

μεταξὺ δὲ ἕξεως καὶ στερήσεως καὶ ἀποφάσεως καὶ καταφάσεώς ἐστιν ἐπιστήμη — ἄγνοια, δικαιοσύνη — ἀδικία· ἡ γὰρ ἄγνοια στερητικὸν μὲν ὄνομα, εἰ δὲ προστεθῇ τὸ ἀποφατικὸν τὸ οὔ καὶ εἴπωμεν ἀντὶ μὲν τοῦ ἄδικος οὐ δίκαιος καὶ ἀντὶ τοῦ ἀγνοεῖ ὅτι οὐ γινώσκει, τότε ἀποφατικὰ γίνονται καὶ
5 στερητικά.

p. 11b 24 Ὅσα μὲν οὖν ὡς τὰ πρός τι ἀντίκειται.

Τὸ προκείμενον ἡμῖν ἐστι διακρῖναι τὰ εἴδη τῶν ἀντικειμένων ἀπ' ἀλλήλων, καὶ τέως τὰ πρός τι ἀπὸ τῶν ἐναντίων, διότι τὰ πρός τι αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται (καὶ δῆλα τὰ παραδείγματα), τὰ δὲ ἐναντία
10 οὐχ οὕτως· τὸ γὰρ μέλαν οὐ λέγεται λευκοῦ μέλαν, ἀλλ' ἐναντίον, ὁμοίως καὶ τὸ λευκόν. διὸ τὰ μὲν πρός τι κύκλον λέγεται μιμεῖσθαι ὡς ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενα καὶ εἰς τὸ αὐτὸ λήγοντα, τὰ δὲ ἐναντία εὐθεῖαν λέγεται μιμεῖσθαι τὴν ἀλλαχόθεν ἀρχομένην καὶ ἀλλαχοῦ λήγουσαν.

Ἐφ' οἷς διακρίνει καὶ τὰ ἐναντία ἀπὸ ἕξεως καὶ στερήσεως. πρὸς δὲ
15 τὴν διάκρισιν τούτων δύο λημμάτων χρῄζει, τῆς διαιρέσεως τῶν ἐναντίων καὶ τοῦ ὁρισμοῦ τῆς στερήσεως. ἀλλ' ἡ παροῦσα θεωρία τὸ ἓν παραδίδωσι, τὴν διαίρεσιν τῶν ἐναντίων. τὰ ἐναντία ἢ ἄμεσα ἢ ἔμμεσα. καὶ ⟨εἰ⟩ ἄμεσα, ἢ οὐσιώδη ὡς ἄρτιον καὶ περιττόν (οὐδὲ γὰρ ἐπινοεῖται τὸ δεύτερον χωρὶς τοῦ ἀρτίου οὐδὲ τὸ τρίτον χωρὶς τοῦ περιττοῦ, καὶ διὰ τοῦτο
20 οὐσιώδη), ἢ ὡς ἐπουσιώδη, ὡς νόσος καὶ ὑγίεια· ταῦτα γὰρ γίνονται καὶ ἀπο|γίνονται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. τῶν δὲ ἐμμέσων ἢ 286r ἀμφότερα δύναται ἀπεῖναι τοῦ ὑποκειμένου, ὡς λευκὸν καὶ μέλαν τοῦ φαιοῦ, ἢ τὸ ἕτερον μόνον τῶν ἐναντίων ἄπεστι τὸ δὲ ἕτερον πάντως ὑπάρχει διὰ τὸ προκατειλῆφθαι τὸ εἶδος ὑπ' ἐκείνου, οἷον τὸ λευκὸν ὑπάρχει κύκνῳ
25 καὶ χιόνι, ἄπεστι δὲ τὸ μέλαν, τὸ δὲ μέλαν ὑπάρχει τῷ κόρακι καὶ ἐβένῳ, ἄπεστι δὲ τὸ λευκόν. ὁ δὲ Ἀριστοτέλης τὰ ἔμμεσα διαιρεῖ ἄλλως, λέγων ὅτι τῶν ἐμμέσων τὸ μέσον ἢ ἀμφοτέρων τῶν ἄκρων μετέχει ὡς τὸ χλιαρόν, ὅτε καὶ κατωνόμασται, ἢ οὐδετέρου τῶν ἄκρων μετέχει, ὅτε οὐδὲ κατωνόμασται, ἀλλὰ τῇ ἀποφάσει τῶν ἄκρων ὀνομάζεται, ὡς τὸ παιδίον τὸ
30 μήπω κατὰ προαίρεσιν ἐνεργῆσαν οὔτε δίκαιον οὔτε ἄδικόν φαμεν. ἔδει δὲ τὸν Ἀριστοτέλην πρότερον διελεῖν τὰ ἔμμεσα εἰς μονόμεσα καὶ πολύμεσα· μονόμεσα μὲν γὰρ τὸ ψυχρόν ἐστι καὶ θερμόν (μέσον δὲ αὐτῶν τὸ χλιαρόν), πολύμεσα δὲ ὡς τὸ λευκὸν καὶ μέλαν· πολλὰ γὰρ τὰ μέσα τούτων χρώματα, ξανθόν, φαιόν, ὠχρὸν καὶ ἄλλα πολλά. ταύτης οὖν λεχθείσης ὑφ' ἡμῶν
35 τῆς ὑποδιαιρέσεως ἰστέον ὅτι καὶ ἄλλως τὰ ἔμμεσα ⟨ὑποδιαιρεῖται⟩· ἢ ὥρισται ⟨καὶ τὰ ἄκρα⟩ καὶ τὸ μέσον, ὡς ἐπὶ θερμοῦ καὶ ψυχροῦ καὶ τοῦ χλιαροῦ (ταῦτα γὰρ ὥρισται καὶ περαιτέρω τούτων ἄλλα οὐκ ἔστιν), ἢ τὰ μὲν ἄκρα ὥρισται τὰ δὲ μέσα ἀόριστα, ὡς ἐπὶ λευκοῦ καὶ μέλανος (τὰ

---

3 εἴπομεν HP 9 δεῖλα H¹: δῆλον P 11 τὸ om. P 12 ἀρχόμενον P 18 εἰ inserui 20 an ἐπεισοδιώδη? 22 δύνανται HP 25 ante ἐβένῳ add. τῷ K 32 μὲν om. KP 35. 36 ὑποδιαιρεῖται et καὶ τὰ ἄκρα inserui

γὰρ μέσα τούτων ἄπειρα), ἢ τὸ μὲν μέσον ὥρισται τὰ δὲ ἄκρα ἀόριστα, ὡς ἐπὶ ὀρθῆς γωνίας· αὕτη γὰρ ὥρισται, καὶ οὐκ ἔστιν εἰπεῖν ὀρθὴν ὀρθῆς μείζονα ἢ ἐλάττονα, τὰ δὲ ἄκρα αὐτῆς ἀόριστα, ἡ ὀξεῖα καὶ ἡ ἀμβλεῖα γωνία· ὀξεῖα γὰρ ὀξείας ἐστὶ μᾶλλον ὀξεῖα καὶ ἧττον, καὶ ἀμβλεῖα ὁμοίως. 5 καὶ αὕτη ἡ διαίρεσις τῶν ἐναντίων.

p. 12a26 Στέρησις δὲ καὶ ἕξις λέγεται μέν τι περὶ τῶν αὐτῶν.

Ἐπειδὴ πρὸς τὴν διάκρισιν τῶν ἐναντίων ἀπὸ ἕξεως καὶ στερήσεως ἐδεήθη τῆς διαιρέσεως τῶν ἐναντίων καὶ τοῦ ὁρισμοῦ τῆς στερήσεως, ὧν τὸ πρῶτον ἡ φθάσασα ἐδίδαξε θεωρία, τὴν διαίρεσιν τῶν ἐναντίων, φέρε 10 εἴπωμεν καὶ τὸν ὁρισμὸν τῆς στερήσεως. ἀλλ' ἵνα τοῦτο γνῶμεν, λήμματά τινα προλάβωμεν. ἰστέον ὅτι ἵνα γένηται ἡ στέρησις, τεσσάρων χρεία εἰς συνδρομήν, οἷον ἀπουσίας εἴδους (εἰ μὴ γὰρ ἀπῇ ἡ ὄψις, τυφλότης οὐ γίνεται), καὶ φύσεως δεκτικῆς χρεία (ἐπεὶ ἂν ᾖ λίθος, στέρησιν ὄψεως οὐχ ὑπομένει), καὶ μορίου ἐπιτηδείου (οὐ λέγεται γὰρ ὁ ἄνθρωπος τυφλός, 15 διότι τῇ χειρὶ οὐχ ὁρᾷ, ἐπειδὴ οὐδὲ πέφυκε τῇ χειρὶ ὁρᾶν), ἀλλὰ καὶ χρόνου ἐπιτηδείου· τὸ γὰρ νεογνὸν παιδίον οὐ λέγεται νωδόν, ἐπεὶ μὴ ἔχει ὀδόντας, οὐδὲ τὸ ἀρτιγενὲς σκυλάκιον λέγεται τυφλόν, ἐπεὶ μὴ ὁρᾷ· οὐ γὰρ πέφυκεν ὁρᾶν ἐν τῷ χρόνῳ ἐκείνῳ. αὕτη δὲ ἡ στέρησις τοῦ δυνάμει ἐστί, διὸ οὐδὲ ἐπανακάμπτει ποτέ· εἰ γὰρ μὴ | ἦν τοῦ δυνάμει ἡ στέρησις, 286v 20 πάντως ἂν ἤγετο εἰς τὸ ἐνεργείᾳ. τούτων οὕτως προληφθέντων πρόεισιν ⟨ὁ⟩ ὁρισμὸς τῆς στερήσεως οὕτως· στέρησίς ἐστιν ἀπουσία εἴδους φύσεως δεκτικῆς ἐν τῷ πεφυκότι δέχεσθαι καθ' ὃν πέφυκε δέχεσθαι χρόνον. οὗτος ὁ ὁρισμός. ἰστέον δὲ ὅτι τινὰ καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα στερητικὸν ἔχει, ὥσπερ τὸ ἀναίσθητος ἐπὶ τοῦ ἀποπλήκτου, τινὰ δὲ τὸ ὄνομα στερη- 25 τικὸν ἔχει, οὐ μὴν τὸ πρᾶγμα, ὡς τὸ ἀθάνατον καὶ ἀσώματον καὶ ἄλογον, τινὰ δὲ τὸ πρᾶγμα στερητικὸν ἔχει, οὐ μὴν τὸ ὄνομα, ὡς τὸ τυφλότης. ἀλλ' αὕτη μὲν ἡ ἐν Κατηγορίαις στέρησις. οἶδε δὲ καὶ ἄλλας στερήσεις ὁ Ἀριστοτέλης ἐν ταῖς Φυσικαῖς αὐτοῦ πραγματείαις, τὴν στέρησιν τῆς ἐνεργείας, ὡς ἐπὶ τοῦ καθεύδοντος γεωμέτρου· οὗτος γὰρ τῆς ἐνεργείας ἐστέρηται. 30 καὶ τῆς ἕξεως τῆς τελείας λέγεται στέρησις, ὡς ἐπὶ τοῦ παιδίου τοῦ ἄρτι εἰς γραμματικοῦ φοιτήσαντος· τῆς γὰρ τελείας ⟨ἕξεως⟩ τοῦτο ἐστέρηται. λέγεται στέρησις καὶ τῆς ὀρθότητος, ὡς ἄφωνον λέγομεν τὸν κακόφωνον· οὗτος γὰρ τῆς ὀρθότητος ἐστέρηται τῆς φωνῆς. λέγεται στέρησις καὶ τοῦ μεγέθους, καθὸ λέγομεν ἀτράχηλον ζῷον καὶ ἀγίγαρτον ῥοιάν, ἐπειδὴ ποὺ μὲν ὁ 35 τράχηλος βραχὺς ποὺ δὲ τὸ γίγαρτον μικρόν. αὗται δὲ αἱ στερήσεις οὐκ

3 alt. ἡ om. H 6 καὶ correxi: ἡ libri μέν τι περὶ αὐτῶν HK: μέντοι π. τῶν αὐτ. P: μὲν περὶ ταὐτόν τι Arist. 8 ἐδεήθη — στερήσεως in mrg. add. (nunc evan.) P 9 ἔδειξε K 13 post ἂν addita λέγεται γὰρ ὁ ἄνθρωπος del. P 18 ἐκείνῳ iteratum del. H 19 οὐδὲ scripsi: οὔτε libri μὴ γὰρ coll. KP 20 πρόησιν P 21 ὁ inserui 22 καθὸ π. δ. χρόνῳ HP 26 στεριτικὸν H[1] 27. 28 οἶδε δὲ καὶ ἄλλ. στερ. ὁ Ἀρ. ἐν ταῖς Φυσ.] videas Bonitzii Ind. p. 699b 29 τοῦ om. HP 31 γραμματικὸν HP ἕξεως inserui 34 ἀγήγ. H

εἰσι τοῦ δυνάμει, ἀλλὰ τοῦ ἐνεργείᾳ, μόναι δὲ αἱ τῆς ὀρθότητος καὶ τοῦ μεγέθους· διὸ καὶ ἄγονται εἰς τὸ ἐνεργείᾳ.

Δεῖ δὲ εἰδέναι ὅτι ἄλλο πρός τι καὶ ἄλλο τὰ ὑπὸ τὰ πρός τι (πρός τι αὐτὴ ἡ κατηγορία, ὑπὸ ταύτην δὲ πατὴρ καὶ υἱός), ἄλλο ἕξις καὶ [ἄλλο] 5 στέρησις καὶ ἄλλο τὸ ἔχον ἕξιν ἢ στέρησιν (ἕξιν γὰρ λέγεται ἔχειν ὁ ἄνθρωπος, οἷον τὴν ὅρασιν, ὅρασις δὲ οὐ λέγεται οὐδὲ ἕξις· ταὐτὰ καὶ ἐπὶ τυφλότητος καὶ στερήσεως), πάλιν ἄλλα ἐναντία καὶ ἄλλα τὰ ὑπὸ ἐναντία (ἐναντία λευκὸν καὶ μέλαν, ὑπὸ ταῦτα κύκνος, κόραξ, καὶ οὐ λέγεται ὁ κύκνος λευκότης οὐδὲ ὁ κόραξ μελανία), ἄλλο ἀπόφασις καὶ [ἄλλο] κατάφασις καὶ 10 καὶ ἄλλα ⟨τὰ⟩ ὑπὸ ταύτας· ἡ μὲν γὰρ κατάφασις καὶ ἀπόφασις ὡς λόγοι εἰσί, τὰ δὲ ὑπ' αὐτὰς πράγματα· 'Σωκράτης οὐ κάθηται — Σωκράτης κάθηται' ἀπόφασις καὶ κατάφασις, ὑπὸ δὲ ταύτας ⟨τὸ⟩ καθῆσθαι Σωκράτην ἢ μὴ καθῆσθαι. οὐ ταὐτὸν δὲ ταῦτα, ἐπειδὴ οὐ πάντως ἐν τῷ λέγειν ὅτι Σωκράτης κάθηται ἤδη κατ' ἀλήθειαν κάθηται (ἔστι γὰρ ὅτε ἵσταται), κἂν εἴπω ὅτι οὐ κάθηται, 15 τί κωλύει τὸ καθῆσθαι αὐτόν; οὐκ ἐξ ἀνάγκης οὖν οἱ λόγοι πάντως συμφθέγγονται τοῖς πράγμασι. πλὴν εἰ καὶ τοσοῦτον ταῦτα διαφέρουσιν ἀλλήλων, ἀλλ' οὖν ὁ τρόπος τῆς ἀντιθέσεως ὁ αὐτός· ὡς γὰρ ἀντίκεινται ἕξις καὶ στέρησις, οὕτω καὶ τὰ ἔχοντα τὴν ἕξιν καὶ στέρησιν, καὶ ὡς ἀντίκεινται τὰ ἐναντία, οὕτω καὶ τὰ ὑπ' αὐτά, καὶ ὡς ἀντίκεινται ἀπόφασις καὶ κατάφασις, 20 οὕτω καὶ τὰ ὑπ' αὐτά. ἐπὶ δὲ τῶν πρός τι τὰ μετέχοντα ἀντίκεινται ἀλλήλοις, οὐ μὴν ἐπὶ τοῦ πρός τι, αὐτῆς τῆς κατηγορίας, ἔστιν ἀντίθεσις· ἡ γὰρ σχέσις μία, αὐτὴ ἡ κατηγορία. |

p. 12b16 Ὅτι δὲ ἡ στέρησις καὶ ἡ ἕξις οὐκ ἀντίκεινται ὡς τὰ πρός τι. 287r

25 Μετὰ τὸν ὁρισμὸν τῆς στερήσεως ὀφείλων εἰπεῖν τὴν διαίρεσιν τῶν ἐναντίων ἀπὸ ἕξεως καὶ στερήσεως, δι' ἣν καὶ προελήφθη ὁ ὁρισμὸς τῆς στερήσεως, οὐ τοῦτο ποιεῖ, ἀλλ' αὐτὰ τὰ πρός τι διακρίνει, ἐπειδὴ καὶ ἐπὶ τούτων τὴν αὐτὴν εὑρίσκει διάκρισιν. ἔχει δὲ ἡ διάκρισις οὕτως· τὰ πρός τι αὐτὰ ἅπερ εἰσὶν ἑτέρων εἶναι λέγονται, ἕξις δὲ καὶ στέρησις αὐτὰ ἅπερ εἰσὶν ἑτέρων οὐδέ- 30 ποτε λέγονται· οὐδὲ γὰρ λέγεται ἡ τυφλότης ὄψεως τυφλότης. εἰ δέ τις ἐρεῖ ὅτι ναί, λέγεται ὄψεως τυφλότης, λύομεν τοῦτο καὶ κατ' ἔνστασιν καὶ κατὰ ἀντιπαράστασιν. κατὰ μὲν ἔνστασιν οὕτως· οὐ λέγεται ἡ τυφλότης ὄψεως τυφλότης, ἀλλ' ὄψεως στέρησις· οὐδὲ γὰρ αὐτὴ ἡ ὄψις τυφλότης ἐγένετο· καθόλου γὰρ αἱ στερήσεις οὐ πρὸς τὰς ὄψεις ἤγουν ἕξεις λέγονται, ἀλλὰ πρὸς τὰ ὑποκείμενα

---

4 ante πατὴρ add. καὶ P 4. 9 ἄλλο (ante στερ. et κατάφ.) delevi 5 γὰρ scripsi: δὲ libri ὁ om. HP 10 τὰ inserui γὰρ superscr. H 12 τὸ inserui 19 καὶ ὡς — ὑπ' αὐτά (20) om. KP 21 ἔστιν om. H 22 αὐτὴ scripsi: αὕτη libri 23 ὅτι] ἔτι K: evan. P ἀντίκειται Arist. post ἀντικ. additum ἀλλήλοις del. H 25 μετὰ τὸν ὁρισμὸν τῆς στερήσεως — pr. στερησέως (26) suppl. H² ὀφίλον (sic) H εἶπεν H 26 alt. καὶ om. H 29 λέγεται K 30 ἡ om. K ὄψεος H αἱρεῖ H 31 pr. καὶ om. K: evan. P 32 κατὰ μὲν ἔνστασιν om. KP 34 ὄψις P

μόρια· οὐ λέγεται ἡ χωλότης πήρωσις ὀρθότητος σκελῶν, ἀλλὰ πήρωσις σκελῶν, καὶ τὸ σκότος οὐ φωτὸς σκότος, ἀλλ' ἀέρος σκότος. οὕτω καὶ τυφλότης οὐκ ὄψεως τυφλότης, ἀλλ' ὄψεως στέρησις λέγεται διὰ τὴν πρὸς τὸ γένος ἀναφοράν. οὕτω μὲν κατ' ἔνστασιν. ἀλλὰ καὶ κατὰ ἀντιπαράστασιν οὕτως 5 ἔχει· εἰ καὶ συγχωρήσομεν ὅτι λέγεται ὄψεως τυφλότης, οὐ δήπου καὶ ἀντιστρέφει· οὐδὲ γὰρ λέγει τις τὴν ὄψιν τυφλότητος ὄψιν, ἐπεὶ μὴ προϋπάρχει τυφλότης ὄψεως. ἀλλὰ ναί, φασί, προϋπάρχει, ὡς ἐπὶ τῶν ἐκ γενετῆς τυφλῶν. ἀλλὰ ψεῦδος· καὶ ἐπὶ τούτων γὰρ προηγεῖται ἡ ὄψις, ὅσον ἐπὶ τὸ πεφυκέναι. πάλιν ἐνίστανταί τινες ὅτι εἰ λέγεται ἡ τυφλότης 10 ὄψεως στέρησις, καὶ ὄψεως τυφλότης λεχθήσεται· καθόλου γὰρ ἐὰν γένος τινὸς κατηγορῆται ἔχον καὶ ἄλλα εἴδη, ἀνάγκη ἓν τῶν εἰδῶν ἐκείνων κατηγορεῖσθαι τοῦ πράγματος ἐκείνου· τὸ ζῷον κατηγορεῖται ἀνθρώπου εἴδη ἔχον τὸ λογικὸν καὶ τὸ ἄλογον· ἀνάγκη καὶ τὸ λογικὸν κατηγορεῖσθαι τοῦ ἀνθρώπου. ὁ Φιλόπονος τούτου ἐπιλαμβάνεται λέγων ὅτι οὐ καλῶς εἶπεν εἴδη 15 στερήσεως· τοῦ γὰρ μὴ ὄντος οὐκ εἰσὶν εἴδη. ψευδὴς δὲ ὁ λόγος, ἐπειδὴ μηδαμῇ μηδαμῶς ἀνέλαβε τὴν στέρησιν, ὅπερ ἄτοπον· αὕτη γὰρ ἡ στέρησις οὐκ ἔστι πάντῃ μὴ ὄν, ἀλλ' ἀμυδρὸν εἶδος ἔχει. διὸ καὶ ἐν ἀρχαῖς ὑπὸ Ἀριστοτέλους τάττεται· τὸ δὲ πάντῃ μὴ ὂν ἀρχὴ πῶς ἂν εἴη; ἔστι δὲ καὶ ἄλλως διακρῖναι τὰ πρός τι ἀπὸ ἕξεως καὶ στερήσεως, διότι τὰ μὲν πρός 20 τι συναναιρεῖ ἄλληλα, ἕξις δὲ καὶ στέρησις οὐχ οὕτως, καὶ ὅτι τὰ μὲν πρός τι ἅμα ἄπεστι καὶ ἅμα πάρεστιν, ἕξις δὲ καὶ στέρησις οὐδὲ ἅμα πάρεστιν οὐδὲ ἅμα ἄπεστιν.

p. 12b26 Οὐδὲ ὡς τὰ ἐναντία ἀντίκεινται τὰ κατὰ στέρησιν καὶ ἕξιν.

Διακρίνας ὁ Ἀριστοτέλης τὰ πρός τι ἀπὸ τῶν ἐναντίων καὶ ἕξεως καὶ 25 στερήσεως, ὀφείλων τὰ αὐτὰ πρός τι διακρῖναι καὶ ἀπὸ τῆς ἀντιφάσεως, ἵνα πληρωθεισῶν τῶν σχέσεων τῶν πρός τι πρὸς τὰ μετὰ ταῦτα ἑτέραν | ἀρχὴν προστησάμενος κατὰ δίαυλον εἴπῃ τὴν διάκρισιν τῶν ἐναντίων ἀπὸ 287v πάντων τῶν μετὰ ταῦτα, οὐ τοῦτο ποιεῖ, ἀλλὰ διακρίνει πρῶτον τὰ ἐναντία ἀπὸ ἕξεως καὶ στερήσεως. τοῦτο δὲ ποιεῖ, ἐπειδὴ κοινῶν εὐπορήσει λόγων 30 διακρινόντων τὴν ἀντίφασιν ἀπὸ πάντων τῶν μετ' αὐτήν. ἔχει δὲ ἡ διάκρισις τῶν ἐναντίων ἀπὸ ἕξεως καὶ στερήσεως οὕτως· τριττῶν ὄντων τῶν ἐναντίων, ἀμέσων, ἐμμέσων, καὶ ἐμμέσων ἢ ἀπεῖναι δυναμένων ἀμφοτέρων τοῦ ὑποκειμένου, ὡς ἐπὶ λευκοῦ καὶ μέλανος, ἢ μὴ δυναμένων ἄμφω ἀπεῖναι τοῦ ὑποκειμένου διὰ τὸ ἀφωρισμένως τὸ ἕτερον ὑπάρχειν τῷ ὑπο- 35 κειμένῳ, τῶν τριῶν εἰδῶν τῶν ἐναντίων διακρίνει ἕξιν καὶ στέρησιν· τῶν

1 ἡ om. P ἀλλὰ πήρωσις σκελῶν om. K 5 alt. καὶ om. KP 6 ἐπεὶ] ἐπὶ P 7 τυφλότης—προϋπάρχει om. P φασί scripsi: φησί libri τῶν] τὸν H 8 γεννητῆς HP: γεννετῆς K 9 τὸ] τω KP πάλλιν H ἐνίσταντέ P 11 κατηγορεῖται HP τῶν om. P 13 τὸ (ante ἄλογον) om. H 14 Φιλόπονος] cf. Philoponi in Categorias comm. p. 180,9 οὐ superscr. K an εἶπον? 17 πάντι H 18 Ἀριστ.] cf. Phys. A 8 p. 191b15 192a5 23 ἀντίκειται Arist. 26 πληρωθησῶν H 34 ἀφορισμ. P

γὰρ ἀμέσων ἐναντίων ἀνάγκη θατέρου μετέχειν τὸ ὑποκείμενον ζῷον (ἢ γὰρ ὑγιαίνει ὁ ἄνθρωπος ἢ νοσεῖ, καὶ ὁ ἀριθμὸς ἢ ἄρτιος ἢ περιττός), ἕξις δὲ καὶ στέρησις τοῦτο οὐκ ἔχει· τὸ γὰρ νεογνὸν παιδίον οὔτε νωδὸν λέγεται οὔτε ὀδόντας ἔχειν, καὶ τὸ ἀρτιγενὲς σκυλάκιον οὔτε ὄψιν ἔχειν λέγεται οὔτε 5 τυφλότητα. οὕτως μὲν τῶν ἀμέσων ἐναντίων ταῦτα διαφέρει. τῶν δὲ ἐμμέσων ἀμφοτέρων δυναμένων ἀπεῖναι, ὅτι ἐκεῖνα ἄμφω μὲν ἀπεῖναι δύνανται, ἕξις δὲ καὶ στέρησις ἅμα ἀπεῖναι οὐ δύνανται· τοῦ γὰρ χρόνου ὄντος ἐπιτηδείου πάντως θάτερον ὑπάρχει τῷ ζῴῳ. τῶν δὲ ἐμμέσων ἐναντίων, ἐφ' ὧν τὸ ἕτερον πάντως ὑπάρχει τῷ ζῴῳ, διαφέρει ἕξις καὶ 10 στέρησις, διότι ἐκεῖ ἀφωρισμένως τὸ ἕτερον ὑπάρχει τῷ ὑποκειμένῳ, οἷον τὸ λευκὸν τῇ χιόνι καὶ τὸ μέλαν τῷ κόρακι, ἐπὶ δὲ ἕξεως καὶ στερήσεως οὐχ οὕτως· οὐ γὰρ ἀφωρισμένως ὁ δεῖνα ἄνθρωπος τυφλότητα ἔχει ἢ ὄψιν, ἀλλ' ὡς ἔτυχεν. ὁ μέντοι Συριανὸς λαμβάνεται τοῦ παραδείγματος, οὗ εἴπομεν περὶ τοῦ παιδίου καὶ τοῦ σκυλακίου, ὅτι οὔτε ἕξιν λέγεται ἔχειν 15 οὔτε στέρησιν, μὴ προστιθεὶς δὲ καὶ τὴν αἰτίαν. ἀλλὰ φέρε ἡμεῖς καὶ τὴν αἰτίαν προσθῶμεν, ὅτι τὸ παράδειγμα δοκεῖ ἡμαρτῆσθαι διὰ τὸ τὸν χρόνον ἀνεπιτήδειον εἶναι. ἐγὼ δὲ πρὸς τοῦτο εἴποιμι ἄν, ὁ ἐξηγητὴς ὑμῶν, ὅτι δι' αὐτὸ τοῦτο λέγεται μήτε ἕξιν ἔχειν μήτε στέρησιν διὰ τὸν ἀνεπιτήδειον τοῦ χρόνου· ἵνα γὰρ γένηται στέρησις, χρεία χρόνου ἐπιτηδείου καὶ τῶν 20 λοιπῶν τῶν εἰρημένων. οὕτω ταῦτα εἰπὼν ὁ Ἀριστοτέλης, ὡς εἰ καί τις δείξας ὅτι τοῦ ἰσοπλεύρου τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι καὶ τοῦ ἰσοσκελοῦς αἱ δύο τῆς λοιπῆς μείζονες καὶ τοῦ σκαληνοῦ αἱ δύο τῆς λοιπῆς μείζονες καθόλου ἀποφαίνεται ὅτι παντὸς τριγώνου αἱ δύο πλευραὶ μείζονες τῆς λοιπῆς εἰσιν· ἀλλ' ἐνταῦθα μὲν ἐπὶ τῶν τριγώνων 25 ἀληθὲς τὸ ἐκ τῶν κατὰ μέρος ἐπὶ τὸ καθόλου ἀναδραμεῖν καὶ ἀποφήνασθαι, ἐπειδὴ ἰσχύσαμεν ἐναριθμήτων ὄντων τῶν σημαινομένων πᾶσιν ἐπεξελθεῖν· παχυμερὴς γὰρ ἡ τοιαύτη δεῖξις· οὐδὲ γὰρ ἐπὶ πάντων δυνατὸν πᾶσι τοῖς σημαινομένοις ἐπεξελθεῖν· οὕτω κἀνταῦθα ὁ Ἀριστοτέλης μὴ ἀρκεσθεὶς τοῖς τρισὶν εἴδεσι τῶν ἐναντίων εἰς τὸ | καθολικῶς ἀποφαίνεσθαι περὶ πάντων 288r 30 τῶν ἐναντίων, ἄλλως δι' ἑτέρου λόγου καθολικοῦ ἀποφαίνεται περὶ τῶν ἐναντίων λέγων οὕτως· ὅτι τὰ ἐναντία, ὄντος τοῦ δεκτικοῦ, πέφυκε μεταβάλλειν εἰς ἄλληλα, ἕξις δὲ καὶ στέρησις οὐχ οὕτως· ἡ μὲν γὰρ ἕξις εἰς τὴν στέρησιν μεταβάλλει, στέρησις δὲ εἰς τὴν ἕξιν οὐ μεταβάλλει ὑπὸ φύσεως ἢ τέχνης· τῇ γὰρ προνοίᾳ οὐδὲν ἀδύνατον. καλῶς δὲ εἶπεν ὄντος τοῦ 35 δεκτικοῦ· εἰ μὴ γὰρ εἴη κοινὸν ὑποκείμενον, οὐ γίνεται μεταβολή· περὶ γὰρ τὸν τόπον ἡ μάχη, ὡς Πλωτῖνός φησι. καὶ ἄλλως δὲ διακριτέον ταῦτα· ὅτι τἀναντία εἰδοπεποιημένα εἰσίν, ἕξις δὲ καὶ στέρησις οὐχ οὕτως· ἡ μὲν

---

1 θατέρου scripsi: θάτερα HP: compend. K 3 νεόγονον HP 5 post ἀμέσ. add. τῶν K 6 ἄμφω] ἀμφότερα P 7 τοῦ] τοῦτο H¹ 12 ἀφορισμένος P ἔχειν H: evan. P 15 pr. καὶ om. P 22 σκαλινοῦ H 23 καθόλου— λοιπῆς (24) om. KP 26 post πᾶσιν add. ὡς HP 27 παχυμερὶς H 28 ἐπεξελθεῖν scripsi: ἐξελθεῖν libri 29 ἀποφήνασθαι K 31. 32 μεταβάλειν H 33 alt. τὴν om. H 34 προννοία P ὄντως HK: ὑπάρχοντος Arist. 35 εἴη] ἢ HP 36 Πλωτῖνος] cf. p. 179,6 δὲ om HP

γὰρ ἕξις εἰδοπεποίηται, ἡ δὲ στέρησις οὔ. καὶ ἄλλως· ὅτι τὰ ἐναντία δύο πράγματά εἰσιν, ἕξις δὲ καὶ στέρησις ὂν καὶ μὴ ὄν εἰσιν.

p. 13a37 Ὅσα δὲ ὡς κατάφασις ἢ ἀπόφασις ἀντίκειται.

Τεσσάρων ὄντων εἰδῶν τῶν ἀντικειμένων ἓξ γίνονται σχέσεις κατὰ
5 τὴν ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου μέθοδον, πολυπλασιαζόντων τέσσαρα ἐπὶ τὸν μονάδι ἐλάττονα τὸν τρία, τετράκις τρία δώδεκα, καὶ τῶν συναχθέντων λαμβανόντων τὰ ἡμίση· ἡμίση γὰρ τῶν δώδεκα ἕξ. ἓξ οὖν σχέσεις, τῶν πρός τι πρὸς τὰ ἐναντία καὶ πρὸς ἕξιν καὶ στέρησιν (ἰδοὺ δύο σχέσεις), καὶ τῶν ἐναντίων πρὸς τὴν ἕξιν καὶ στέρησιν (ἰδοὺ καὶ ἄλλη
10 σχέσις), ἄλλαι δὲ τρεῖς γίνονται σχέσεις ἀπὸ ἀποφάσεως καὶ καταφάσεως πρὸς τὰ λοιπά. διαφέρει δὲ τῶν τριῶν ἡ ἀπόφασις καὶ κατάφασις, διότι ἡ μὲν ἀπόφασις καὶ κατάφασις διαιρεῖ τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος (ἢ γὰρ ἀληθεύει ἢ ψεύδεται 'Σωκράτης κάθηται — Σωκράτης οὐ κάθηται'), τὰ δὲ πρός τι καὶ τὰ ἐναντία καὶ ἕξις καὶ στέρησις ὡς ἁπλαῖ φωναὶ ὄντα
15 οὔτε ἀληθεύουσιν οὔτε ψεύδονται· ἐὰν γὰρ εἴπω 'πατήρ', οὔτε ἠλήθευσα οὔτε ἐψευσάμην, κἂν εἴπω 'λευκὸν ἢ μέλαν' ἢ 'ὄψις ἢ τυφλότης', τούτων ἕκαστον καθ' αὑτὸ οὔτε ἀληθὲς οὔτε ψεῦδος. εἰ δέ τις λέγει ὅτι συμπεπλεγμένα αὐτὰ λαμβάνω καὶ λέγω ὅτι 'Σωκράτης υἱός ἐστι', 'Σωκράτης μέλας ἐστί', 'Σωκράτης ὄψιν ἔχει', ἀλλὰ καὶ οὕτω διαφέρει τούτων ἡ
20 ἀντίφασις· αὕτη γὰρ καὶ ἐπὶ τῶν ὄντων καὶ ἐπὶ μὴ ὄντων διαιρεῖ τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος, οἷον 'ἄνθρωπος ἔστι', 'σκινδαψὸς οὐκ ἔστι', τὰ δὲ ἄλλα ἐπὶ μόνων τῶν ὄντων· ὁ γὰρ μὴ ὢν Σωκράτης οὔτε λευκὸς οὔτε μέλας οὔτε πατὴρ οὔτε υἱὸς οὔτε ὄψιν ἔχει οὔτε τυφλότητα· οὐκοῦν ἐπὶ μόνων τῶν ὄντων ταῦτα λέγει, καὶ οὐ τῶν ἁπάντων. * * οὐ γὰρ λέγεται ἡ
25 ψυχὴ δεξιὰ ἢ ἀριστερά, οὐδὲ ὁ ἀὴρ λευκὸς ἢ μέλας ἢ ὄψιν ἢ τυφλότητα ἤ τι τοιοῦτον ἔχειν. καὶ οὐδὲ ἐπὶ πάντων τῶν ὄντων δεκτικῶν· τὸ γὰρ σκυλάκιον τὸ ἀρτιγενὲς οὔτε ὄψιν ἔχει οὔτε τυφλότητα καὶ τὸ νεογνὸν παιδίον οὔτε νωδόν ἐστιν οὔτε ὀδόντας ἔχει.

p. 13b36 Ἔστι δὲ ἐξ ἀνάγκης ἀγαθὸν μὲν κακῷ ἐναντίον.

30 Διαλεχθεὶς ὁ Ἀριστοτέλης περὶ πάντων τῶν ἀντικειμένων, καὶ ἰδίᾳ περὶ | τῶν ἐναντίων διαλέγεται· ἐτίμησε γὰρ τἀναντία ἢ ὡς φυσικὸς ἢ ὅτι 228r καὶ αὐτὴ ἡ φύσις τοῖς ἐναντίοις κρίνεται, κινήσει καὶ ἠρεμίᾳ, καὶ ἡ κίνησις δὲ καὶ ἡ ἠρεμία, αἷς ἡ φύσις χαρακτηρίζεται, τοῖς ἐναντίοις κρίνεται·

3 ἢ om. H: καὶ Arist. ἀντίκειται Arist. 5 Εἰσαγ. Πορφ.] p. 17,14 sq. τέσσαρα scripsi: τεσσάρων libri 6 τρεῖς] τρὶς K 7 λαμβανόντων scripsi: λαμβάνοντες libri ἥμισυ (alt. l.) K 11 τῶν om. P 14 καὶ τὰ ἐναντία iter. H 20 τῶν om. HK 21 οὐκ om. P 24 lac. signavi; inseras καὶ οὐδὲ ἐπὶ τῶν ὄντων ἁπάντων 25 ὄψις K 26 τοιοῦτον] τούτων HP 27 νεόγονον HP 29 ἐναντ. δέ ἐστι ἐξ ἀν. ἀγαθῷ μὲν κακόν Arist. 30 περὶ πάντων — ἰδίᾳ iter. K 31 φυσικῶς H post alt. ἢ add. ὡς P 33 pr. ἡ om. P

πᾶσα γὰρ μεταβολὴ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον γίνεται. τρεῖς δὲ κανόνας ἡμῖν περὶ τῶν ἐναντίων παραδίδωσι. καὶ πρῶτος μὲν κανὼν οὗτος, ὅτι τὸ ἀγαθὸν τῷ κακῷ μόνῳ ἐστὶν ἐναντίον, τὸ δὲ κακὸν καὶ τῷ ἀγαθῷ ἐναντίον καὶ ἄλλῳ κακῷ· οἷον ὡς ἐπὶ τῶν ἀρετῶν· ἑκάστη ἀρετὴ δύο κακίαις
5 παρασπίζεται, ἡ δικαιοσύνη τῇ πλεονεξίᾳ καὶ μειονεξίᾳ, καὶ ἁπλῶς εἰπεῖν ἑκάστῃ ἀρετῇ ὑπερβολὴ καὶ ἔλλειψις παράκειται, τῇ φρονήσει πανουργία καὶ ἄνοια, τῇ σωφροσύνῃ ἀκολασία καὶ ἠλιθιότης, τῇ ἀνδρείᾳ θράσος καὶ δειλία μάχεται. μάχεται οὖν ἡ ἀρετὴ καὶ τῇ ὑπερβολῇ καὶ τῇ ἐλλείψει ὡς ἀγαθὸν κακῷ, ἡ δὲ ὑπερβολὴ καὶ ἔλλειψις ἑκάστη αὐτῶν μάχεται τῇ
10 ἑτέρᾳ, ὅτι ἡ μέν ἐστιν ὑπερβολὴ ἡ δὲ ἔλλειψις, μάχονται δὲ καὶ τῇ ἀρετῇ ὡς κακὸν ἀγαθῷ. ἀλλ' ἄδικος ἡ φύσις ἑνὶ δύο ἀντιτάξασα. πρὸς ὅ φαμεν ὅτι κἀνταῦθα ἓν ἑνὶ ἀντίκειται· ὡς γὰρ συμμετρία ἡ ἀρετὴ ὡς ἀσυμμετρίᾳ ταῖς δύο ἀντίκειται. οὗτος δὲ ὁ κανὼν ἀληθὴς καὶ ἐπὶ πραγμάτων, ὡς ἐπὶ τῶν ἀρετῶν, καὶ ἐπὶ ζωῆς, ὅτι οἱ μὲν ἀγαθοὶ τοὺς κακοὺς μόνους
15 μισοῦσιν, οἱ δὲ κακοὶ καὶ τοὺς ἀγαθοὺς καὶ τοὺς κακούς (εἰ γὰρ ὡς κακοὶ ἐνεργήσειαν, οὐδὲ ἑαυτῶν φείδονται ἀλλὰ κινοῦσιν ἑαυτούς), καὶ ἐπὶ λόγων ἀληθὴς ὁ κανὼν οὗτος, ὅτι μάχεται ἡ ἀλήθεια τῷ ψεύδει μόνῳ, τὸ δὲ ψεῦδος καὶ τῇ ἀληθείᾳ μάχεται καὶ τῷ ἑτέρῳ ψεύδει, οἷον τῷ λόγῳ ἤγουν τῇ προτάσει τῇ λεγούσῃ ὅτι 'οὐ πᾶς ἄνθρωπος δίκαιος' μάχονται δύο
20 λόγοι ψευδεῖς, ὁ λέγων ὅτι 'οὐδεὶς ἄνθρωπος δίκαιος' καὶ ὁ λέγων ὅτι 'πᾶς ἄνθρωπος δίκαιος', ἀλλ' ἐκεῖνοι καὶ πρὸς ἑαυτοὺς μάχονται· ὁ μὲν γὰρ λέγει ὅτι οὐδείς, ὁ δὲ λέγει ὅτι πᾶς. οὗτος μὲν ὁ πρῶτος κανών. δεύτερος κανὼν ὅτι τὰ ἐναντία δύνανταί ποτε συνυπάρχειν ἑαυτοῖς ἐν γένει, ὅτι τῶν ζῴων τὰ μὲν λευκὰ τὰ δὲ μέλανα, καὶ ἐν εἴδει, ὅτι τῶν ἀνθρώπων οἱ μὲν
25 ὑγιαίνουσιν οἱ δὲ νοσοῦσι, δύνανται καὶ μὴ συνυπάρχειν ἑαυτοῖς, ὡς καὶ ἐν τῇ Εἰσαγωγῇ εἴρηται, ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν ὑποκειμένῳ κἂν τῷ αὐτῷ μέρει καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἐν τῷ αὐτῷ τόπῳ. οὗτος καὶ ὁ δεύτερος κανών. τρίτος κανὼν ὅτι τὰ ἐναντία ἢ ὑπὸ ἓν γένος ἀνάγονται, ὡς λευκὸν καὶ μέλαν ὑπὸ τὸ χρῶμα, ἢ ὑπὸ ἀντιδιῃρημένα γένη, ὡς δικαιοσύνη καὶ
30 ἀδικία ὑπὸ ἀρετὴν καὶ κακίαν, ἢ οὐκ ἀνάγονται ὑπὸ γένος τῷ αὐτὰ γένος εἶναι, ὡς τὸ ἀγαθὸν καὶ κακόν· ταῦτα γὰρ γένη εἰσί. καὶ οὐ δώδεκα αἱ κατηγορίαι τούτων προστεθέντων· ταῦτα γὰρ γένη εἰσὶν οὐχ οἷα τὰ παρὰ Ἀριστοτέλει διαμερισάμενα πάντα τὰ ὄντα, καὶ τὸ τελοῦν | ὑπὸ τοῦτο τὸ 289r γένος ὑπ' ἄλλο οὐ τελεῖ (καὶ γὰρ ἐχρήσατο τῷ διωρισμένῳ ποσῷ ἐπὶ
35 τῶν δέκα κατηγοριῶν, οὐ μὴν τῷ συνεχεῖ, δέκα λέγων τὰ γενικώτατα, ὧν τὸ ἕτερον οὐ τελεῖ ὑπὸ τὸ ἕτερον· δέκα γὰρ φωνὰς εἶπεν ἁπλᾶς σημαινούσας

---

3 pr. τὸ om. P μόνον K καὶ om. P 5 περιασπίζεται P 6 πανουργεία HP 7 ἀνδρίᾳ K 9 μάχεται—ἔλλειψις (10) om. P 10 alt. δὲ om. KP 12 ὡς γὰρ—ἀντίκειται (13) om. P 14 τῶν om. K 15 κακοὺς καὶ τοὺς ἀγ. coll. H 15 γὰρ scripsi: δὲ libri 16 ἐνεργήσειεν HK[1]P κινοῦσιν] κοινοῦ P: scribas μισοῦσιν 18 pr. τῷ om. HP 19 λεγούσει H[1] μάχονται — πᾶς ἄνθρ. δίκαιος (21) in mrg. suppl. H 20 λέγον (utrobique) H 25. 26 ἐν τῇ Εἰσαγ.] p. 83,2 28 ἐν om. K 29 τὸ om. HP 31 αἱ om. KP 33 ἀριστοτέλην P 35 τῷ] τὸ P

ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων· ἕκαστον τούτων καθ' ἑαυτὸ θεωρεῖται ἀμιγὲς τοῦ ἑτέρου), ἀλλ' οἷα τὰ παρὰ Πλάτωνι διὰ πάντων διήκοντα καὶ δι' ἀλλήλων· οὗτος γὰρ πέντε λέγει γένη τοῦ ὄντος καὶ τῷ συνεχεῖ κέχρηται καὶ τῷ διωρισμένῳ τρόπῳ αὐτὰ θεωρῶν τὰ πράγματα 5 καὶ τὰ νοήματα χωρὶς φωνῶν, ὡς ἔχουσι φύσεως συνυπάρχοντα ἀλλήλοις, συνεχὲς μὲν νοήσας τὴν δίιξιν τῶν πραγμάτων δι' ἀλλήλων, διωρισμένον δὲ τὸ ἀσύγχυτον τῶν διελθόντων· τὸ γὰρ ἀγαθὸν καὶ τὸ κακὸν διὰ τῶν δέκα κατηγοριῶν διήκουσι, καὶ ἀγαθὸν μὲν ἐν οὐσίᾳ γένεσις κακὸν δὲ φθορά, ἐν ποσῷ ἀγαθὸν μὲν τὸ δίπηχυ λόγου χάριν κακὸν δὲ τὸ πηχυαῖον, ἐν ποιῷ 10 ἀγαθὸν μὲν συμμετρία κακὸν δὲ ἀσυμμετρία, ἐν πρός τι ἀγαθὸν μὲν τὸ ἔχειν κακὸν δὲ τὸ μὴ ἔχειν, ἐν τῇ ποτὲ ἀγαθὸν μὲν τὸ πλεῖν θέρους κακὸν δὲ τὸ πλεῖν χειμῶνος, ἐν τῷ ποῦ ἀγαθὸν μὲν ἐν ὑγιεινῷ χωρίῳ διαιτᾶσθαι κακὸν δὲ ἐν νοσερῷ, ἐν τῷ κεῖσθαι ἀγαθὸν τῷ νοσοῦντι ἡ τοιάδε ἀνάκλισις κακὸν δὲ ἡ τοιάδε, ἐν τῷ ἔχειν ἀγαθὸν μὲν τὸ ἔχειν τέκνα ἢ σίδηρον·

15 αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος·

κακὸν δὲ τὸ μὴ ἔχειν, ἐν τῷ ποιεῖν ἀγαθὸν τὸ διδάσκειν κακὸν δὲ τὸ ἀδικεῖν, ἐν τῷ πάσχειν ἀγαθὸν τὸ διδάσκεσθαι κακὸν δὲ τὸ ἀδικεῖσθαι. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης ἐναντία γένη εἶναί φησι τὸ ἀγαθὸν καὶ τὸ κακόν. ἀκριβολογουμένοις δὲ οὐδὲ ἐναντία φανήσεται, ἀλλὰ κατὰ στέρησιν καὶ ἕξιν 20 ἀντικεῖσθαι· δεῖ γὰρ τῶν ἐναντίων ἑκάτερον εἰδοπεποιῆσθαι καὶ ὡρισμένην ἔχειν φύσιν, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν· τὸ δὲ κακὸν οὐκ ἔχει ὡρισμένην ὑπόστασιν· ἀμετρία γάρ τίς ἐστιν, ἡ δὲ ἀμετρία πῶς εἶδος ἂν σχοίη ὡρισμένον; ὅθεν οὐδὲ ὁρισμῷ ὑποπίπτει ἡ κακία, ἀλλ' ὥσπερ ἡ στέρησις τῇ ἀπουσίᾳ τῆς ἕξεως παραγίνεται αὐτὴ οὐκ ἔχουσα ὡρισμένην τινὰ φύσιν, 25 οὕτω καὶ ἡ κακία τῇ ἀπουσίᾳ τῆς ἀρετῆς παραγίνεται ἢ καθ' ὑπερβολὴν ἢ κατ' ἔλλειψιν· ἐκείνης γὰρ ἐν συμμετρίᾳ θεωρουμένης ἡ τοῦ μετρίου παρατροπὴ κακίαν ἐποίησε κατὰ τὸ πλεονάζον καὶ ἐλλεῖπον.

p. 14a22 Δικαιοσύνη δὲ καὶ ἀδικία ἐν τοῖς ἐναντίοις γένεσι· τοῦ μὲν γὰρ ἀρετὴ τοῦ δὲ κακία τὸ γένος.

30 Ἰστέον ὅτι εἰ καὶ ὑπὸ τὰ ἐναντία τελεῖν γένη ἔφη τὰ ἐναντία, οὐ κατὰ τὸ γενικώτατον αὐτῶν γένος εἴρηκεν, ἀλλὰ κατὰ τὸ προσεχὲς καὶ ὑπάλληλον· ἀνάγκη γὰρ πάντα τὰ ἐναντία ὑπὸ τὸ αὐτὸ τελεῖν γένος· εἰ γὰρ καὶ ἡ ἀδικία ὑπὸ τὴν κακίαν τελεῖ καὶ ἡ δικαιοσύνη ὑπὸ τὴν ἀρετήν, ἀλλὰ καὶ ἡ ἀρετὴ καὶ ἡ κακία ὑφ' ἕν τι τελοῦσι κοινὸν γένος, τὴν ἕξιν λέγω καὶ 35 τὴν | διάθεσιν, αὐτὰ δὲ ὑπὸ τὴν ποιότητα, ἥτις ἐστὶ γένος γενικώτατον 289v

2 ad οἷα add. οὐχ in mrg. K 3 πέντε λέγει γένη] cf. Plat. Sophist. p. 254 D.E τῷ] τὸ H 6 δίηξις libri 10 ἀσύμμετρον P an ἐν ⟨τῇ⟩? 15 Hom. π 294 17. 18 καὶ οὕτως— ὑποκειμένῳ (251,3) fort. scholiastae debentur, nam ἀκριβολ. (19) — ὑποκειμένῳ (251,3) paene ad verbum congruunt cum Philop. p. 190,28—191,14 ἀκριβολογουμένοις Philop.: ἀκριβολογούμενα HKP 20 εἰδοπεποιεῖσθαι H: εἰδοποιεῖσθαι KP 22 πῶς εἶδος ἂν scripsi: ποσαχῶς ἂν HKP: πῶς ἂν εἶδος Philop. 23 ὁρισμῷ Philop.: ἐν ὡρισμένῳ HKP ἀποπίπτει P 25 παραγίν. Philop.: γίνεται HKP 26 θεωρούμενος P 30 pr. τὰ om. KP 31 αὐτὸν HP 32 ἡ om. P 33 ὑπὸ τὴν ἀρ. ἡ δικ. coll. K

πάντων ἐναντίων. καὶ εἰκότως ὑφ' ἓν τὰ ἐναντία τελοῦσι γένη· ἐσπούδασε γὰρ ἡ φύσις τὸν πρὸς ἄλληλα αὐτῶν εἰδυῖα πόλεμον ἄνωθέν τε καὶ κάτωθεν αὐτὰ δῆσαι, ἄνωθεν μὲν τῷ κοινῷ γένει κάτωθεν δὲ τῷ κοινῷ ὑποκειμένῳ. ταῦτα καὶ περὶ ἀντικειμένων καὶ ἡ παροῦσα θεωρία.

5 ## Περὶ προτέρου.

p. 14a26 Πρότερον δὲ ἕτερον ἑτέρου λέγεται τετραχῶς.

Καὶ περὶ προτέρου διαλέγεται ὁ Ἀριστοτέλης· ἐδεήθη γὰρ καὶ τούτου οὐ μόνον ἐν τῷ τῶν κατηγοριῶν τμήματι, ὅτε τὴν οὐσίαν διῄρει εἰς πρῶτον καὶ δεύτερον καὶ ὅτε πρώτην ἔλεγε τὴν οὐσίαν τῶν ἄλλων κατηγοριῶν, 10 δεύτερον δὲ τὸ ποσὸν, ἀλλὰ καὶ ἐν τοῖς πρός τι, ὅτε πρότερον τὸ αἰσθητὸν τῆς αἰσθήσεως καὶ τὸ ἐπιστητὸν τῆς ἐπιστήμης, καὶ ἐν τοῖς ἀντικειμένοις, ὅτε πρῶτα ἔλεγε τὰ πρός τι, δεύτερα τὰ ἐναντία, τρίτην τὴν ἕξιν καὶ τὴν στέρησιν, τετάρτην ἀπόφασιν καὶ κατάφασιν. ὃ οὖν ποιεῖ τὸ τρίτον τμῆμα πρὸς τὸ ⟨δεύτερον⟩ τῶν Κατηγοριῶν τμῆμα, τὰ χρήσιμα διδάσκον πρὸς 15 ἐκεῖνο, τοῦτο ποιεῖ αὐτὸ πρὸς ἑαυτὸ καὶ τὰ χρήσιμα διδάσκει, ὧν ἐδεήθη ἐν τῷ περὶ τῶν ἀντικειμένων λόγῳ. πανταχοῦ τὰ πρός τινα διδασκαλίαν ἑτέρων παραλαμβανόμενα ὕστερον διδάσκει. τετραχῶς δὲ λέγων τὰ πρότερα, πέντε αὐτὰ ἀπαριθμεῖται, ὡς ἑνὸς μὴ ὄντος κυρίως προτέρου. καὶ ὁ στοιχειωτὴς λέγων αἰτήματα πέντε, ἓξ αὐτὰ ἀπαριθμεῖται, ὡς ἑνὸς μὴ ὄντος αἰτή- 20 ματος. διὸ καὶ δυνάμενος ἕκαστον εἶδος τῶν ἅμα ἑκάστῳ εἴδει τοῦ προτέρου ἀντιθεῖναι τῷ ἑνὶ οὐκ ἀντέταξεν ὡς ἀλλοτρίῳ φιλοσοφίας. διαιρεῖται δὲ τὸ πρότερον εἰς ταῦτα οὐχ ὡς γένος εἰς εἴδη· ἐν γὰρ τοῖς ὡς γένος εἰς εἴδη οὐκ ἔστι τὸ μὲν κυρίως τὸ δὲ οὐ κυρίως. ἓν τοίνυν εἶδος τοῦ προτέρου τὸ κατὰ χρόνον, ὃ καὶ κυρίως πρότερον, οὐχ ὅτι καὶ τοῦ φύσει προτέρου 25 πρότερον, ἀλλὰ τῇ συνηθείᾳ κυρίως τοῦτο πρῶτον ἔγνωσται, ὡς τὰ Τρωϊκὰ τῶν Μηδικῶν καὶ Πλάτωνος Σωκράτης. ἀλλ' ἐπὶ μὲν ἐμψύχων καὶ παλαιότερον καὶ πρεσβύτερον λέγεται, ἐπὶ δὲ ἀψύχων παλαιότερον μόνον. δεύτερον εἶδος τοῦ προτέρου τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον, συνεισφερόμενον καὶ μὴ συνεισφέρον, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου φύσει πρότερον καὶ ἡ μονὰς τῆς 30 δυάδος. οὐ λέγω δὲ καὶ τὸ καθολικώτερον· ἡ γὰρ μονὰς τῆς δυάδος φύσει μὲν προτέρα, καθολικωτέρα δὲ οὐκ ἔστιν· οὐ γὰρ λέγεται ἡ δυὰς μονὰς τῷ τοῦ γένους ὀνόματι. τρίτον εἶδος τοῦ προτέρου τὸ τῇ τάξει πρῶτον, ὥσπερ αἱ συλλαβαὶ τῶν λέξεων τὰ δὲ γράμματα τῶν στοιχείων, ἐπειδὴ αἱ γραμμικαὶ δείξεις οὐ δέονται τῶν στοιχείων εὐθὺς διὰ τῆς καταγραφῆς δεικνύουσαι τὸ σχῆμα ἤγουν

---

3 post γένει add. κάτωθεν (sic) μὲν κοινῷ γένει P 5 post προτ. add. καὶ ὑστέρου K 6 πρότερον ἑτέρου ἕτερον Arist. 9 δευτέραν HP ἔλεγε] p. 2a11 10 ἐν τοῖς πρός τι] p. 7b23 12 ἔλεγε] p. 11b20 14 δεύτερον inserui 16 παντ.—διδάσκει (17) eicias τινα scripsi: τι libri 18 στοιχειωτὴς] cf. Euclid. Elem. I p. 8. 9 not. (Heib.) 20 δυναμένου KP 21 ἀλλοτρίου HP 22 ἐν γὰρ — εἴδη in mrg. suppl. H 30 alt. καὶ om. P 31 μόνος P 33 γραμματικαὶ P

τὸ διάγραμμα γραμμικόν, καὶ πολλοὶ ἐροῦσι μακροὺς | λόγους μήτε 290r
γράμματα μήτε συλλαβὰς εἰδότες. καὶ τὰ προοίμια καὶ αἱ διηγήσεις τῶν
ἀγώνων τῇ τάξει πρότερα· ὁ γὰρ ἄτεχνος ῥήτωρ δύναται τοῖς προοιμίοις
ἐπὶ τέλει χρήσασθαι, καὶ οἱ ἀρεοπαγῖται οὔτε ἐπιλόγων οὔτε προοιμίων
5 ἠκροῶντο. ταῦτα τῇ τάξει πρότερα· ἔξεστι γὰρ προτάξαι ἡμᾶς ἃ βουλόμεθα.
τέταρτον εἶδος τοῦ προτέρου τὸ ἀντιστρέφον καὶ ἐξισάζον, ὁπωσοῦν δὲ
αἴτιον θάτερον θατέρῳ τοῦ εἶναι, ὡς πατὴρ καὶ υἱός. ταῦτα ἀντιστρέφει,
ἀλλ' ὁ μὲν πατὴρ καὶ τοῦ εἶναι τῷ υἱῷ ὡς ἀνθρώπῳ αἴτιος καὶ τῆς
σχέσεως, ὁ δὲ υἱὸς τῆς σχέσεως μόνης τῷ πατρὶ αἴτιος. πέμπτον εἶδος
10 τοῦ προτέρου τὸ κατὰ τὴν ἀξίαν. ὥσπερ λέγομεν πρωτεύοντας ἐν πόλει,
ὅπερ ἀλλότριον τοῦ προκειμένου· οὐ γὰρ φιλοσοφίας τὸ λογίζεσθαι τύχας
εἰδυίας

τὸ τῆς τύχης ⟨γὰρ⟩ ῥεῦμα μεταπίπτει ταχύ

καὶ τὸ

15 ὦ μῆτερ, ⟨ἥτις⟩ ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες.

εἰσὶ δὲ πέντε τρόποι δι' αἰτίαν τοιαύτην· τὸ πρῶτον ἢ ἐν λόγοις καὶ ποιεῖ
τὸ τῇ τάξει πρῶτον, ἢ ἐν πράγμασι. καὶ τοῦτο διχῶς· ἢ γὰρ δι' ἑαυτὸ
ἢ δι' ἄλλο, καὶ εἰ δι' ἑαυτό, ἢ μεῖζον καὶ ποιεῖ τὸ τῇ φύσει πρῶτον
20 (μεῖζον γὰρ τὸ ζῷον τοῦ ἀνθρώπου), ἢ ἴσον καὶ ποεῖ τὸ ἀντιστρέφον, ὡς
ἐπὶ πατρὸς καὶ υἱοῦ. ⟨εἰ⟩ δι' ἄλλο δέ, ἢ διὰ τὸν χρόνον καὶ ποιεῖ τὸ
πρῶτον ἤγουν τὸ παλαιότερον, ἢ διὰ τὴν ἀξίαν καὶ ποιεῖ τὸ πέμπτον, ὅπερ
ἀλλότριον ἐδείχθη τῆς φιλοσοφίας.

Περὶ τῶν ἅμα.

25 p. 14b24 Ἅμα δὲ κυρίως λέγεται ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ.

Καὶ περὶ τῶν ἅμα διαλέγεται ὁ Ἀριστοτέλης· ἐδεήθη γὰρ καὶ τούτων
εἰς τὰς κατηγορίας, ὅτε ἔλεγε τὰ πρός τι ἅμα τῇ φύσει εἶναι, καὶ ὅτι οὐ
μόνον τὰ ἐναντία ἄμεσα ἢ ἔμμεσα, ἀλλὰ καὶ τῶν πρός τι τὰ μὲν ἄμεσα
30 τὰ δὲ ἔμμεσα (ἄμεσα πρός τι δεξιὸν καὶ ἀριστερόν, ἔμμεσα δὲ μεῖζον ἔλαττον·
μέσον γὰρ τὸ ἴσον· καὶ τὸ πρότερον καὶ τὸ ὕστερον· μέσον γὰρ τὸ ἅμα),
καὶ ὅτι τὰ ἅμα ἐκ τῆς ἀποφάσεως τῶν ἄκρων γνωρίζονται· ἃ γὰρ μήτε
πρότερα ἀλλήλων μήτε ὕστερα, ταῦτα ἅμα. τρία δὲ εἴδη τῶν ἅμα λέγει,

---

2 εἰδότες om. P 3 ὁ γὰρ] οὐ γὰρ οὐδὲ H: οὐδὲ γὰρ P 5 ἔστι KP 6 τοῦ om. HP τὸ om. P ἀντιστρέφον scripsi: ἀντιστρεφόμενον libri 7 θατέρου (alt. l.) HP 8 τῷ υἱῷ scripsi: τὸν υἱὸν libri 7. 9 ὡς ἀνθρώπῳ et τῆς σχέσεως om. K 10 κατ' ἀξίαν K προτεύοντας HK: προτερεύοντας P 13 τὸ τῆς τύχης . .] Menandr. fr. 94,5 (p. 29 Kock) γὰρ om. libri μεταπίπτον HKP 14 καὶ] κατὰ K: evan. H 15 ὦ μῆτερ δούλειον (δούλιον H) ἦμαρ εἶδες ἐκ τυρ. δ. HKP (cf. Eurip. Hec. 55. 56) 19 εἰ om. HP 21 εἰ inserui 25 δὲ λέγ. ἁπλῶς μὲν καὶ κυριώτατα ὧν ἡ γέν. ἐστιν Arist. 28 ἔλεγε] p. 7b15 οὐ] εἰ K 29 post πρός τι addita δεξιὸν καὶ ἀριστερὸν del. P

καὶ τρία ἀντικεῖσθαι τοῖς τέσσαρσιν εἴδεσι τοῦ προτέρου· τῷ γὰρ ἑνί, ὡς εἴρηται, οὐδὲν ἀντιτίθησι. πρῶτον δὲ εἶδος τῶν ἅμα τὸ τῷ χρόνῳ ἅμα, ὡς τὰ μόρια τοῦ ἐμβρύου. τοῦτο κυρίως ἅμα καὶ ἀντίκειται τῷ κατὰ χρόνον προτέρῳ. δεύτερον εἶδος τῶν ἅμα τὸ ἀντιστρέφον καὶ ἐξισάζον, μηδαμῶς
5 δὲ ἕτερον ἑτέρου αἴτιον τοῦ εἶναι, ὡς τὸ δεξιὸν καὶ τὸ ἀριστερόν· ὡς μὲν γὰρ δεξιὸν καὶ ἀριστερὸν ἅμα καὶ ἀντιστρέφοντα, ὡς δὲ πράγματα οὐδὲν οὐδενὸς αἴτιον· οὐδὲ γὰρ ἡ δεξιὰ χεὶρ τῆς ἀριστερᾶς αἰτία καὶ τὸ ἀνάπαλιν ὡς χεὶρ χειρός. τοῦτο τὸ σημαινόμενον δύο σημαινομένοις τοῦ προτέρου ἀντίκειται, τῷ τῇ φύσει προτέρῳ, ἐν ᾧ τὸ μεῖζον καὶ ἔλαττον (τοῦτο γὰρ
10 ἴσον καὶ μόνον), καὶ τῷ ἀντιστρέφοντι μὲν κατὰ τὸ εἶναι ὁπωσοῦν δὲ δυναμένῳ αἰτίῳ εἶναι τῷ ἑνί, ὡς πατὴρ καὶ υἱός· ἐν|ταῦθα γὰρ οὐδὲν οὐδενὸς 290v αἴτιον, ὡς τὸ δεξιὸν καὶ ἀριστερόν. τρίτον σημαινόμενον τῶν ἅμα τὸ τῇ τάξει ἅμα, ὡς τὰ ἐκ τῆς διαιρέσεως καταγόμενα, τὸ λογικὸν καὶ ἄλογον· τοῦτο ἀντίκειται τῷ τῇ τάξει προτέρῳ. ταῦτα μὲν ἐν τούτοις.

15 Ἐφ' οἷς διαλέγεται καὶ περὶ κινήσεως, οὐχὶ τὸν πρέποντα τῇ φυσικῇ τρόπον· τοῦτο γὰρ ποιεῖ ἐν τοῖς τελευταίοις τῆς Φυσικῆς τέτταρσι λόγοις καὶ ἐν τῷ τρίτῳ· οὐ γὰρ νῦν ὁρίζεται τὴν κίνησιν οὐδὲ λέγει τὰ αἴτια τῆς κινήσεως. ἀλλὰ τὸν πρέποντα τῇ διαλεκτικῇ τρόπον διαλέγεται περὶ αὐτῆς, ἀπαριθμεῖται τὰ σημαινόμενα τῆς κινήσεως, λέγει τὰς διαφορὰς αὐτῆς καὶ
20 ποία ποίᾳ ἀντίκειται. διαλέγεται δὲ περὶ κινήσεως, ἐπειδὴ καὶ αὐτῆς ἐδεήθη ἐν ταῖς κατηγορίαις, ἐν μὲν τῇ οὐσίᾳ λέγων ὅτι ἡ οὐσία κατὰ τὴν οἰκείαν ἑαυτῆς μεταβολὴν τῶν ἐναντίων ἐστὶ δεκτική (ἡ δὲ μεταβολὴ κίνησις), καὶ ἐν τῇ ποιότητι, ὅτε ἔλεγε τὰς ἕξεις [καὶ διαθέσεις] ἀμεταβλήτους εἶναι, ἡ δὲ μεταβολὴ κίνησις (ποτὲ γὰρ καὶ αὗται μεταβάλλονται ἐν μεγάλῃ
25 μεταβολῇ), καὶ ὅτε τὸν λόγον καὶ τὴν δόξαν ἔλεγεν αὐτὰ μὲν ἀκίνητα διαμένειν, τοῦ δὲ πράγματος μεταβάλλοντος καὶ αὐτὰ μεταβάλλειν. ἓξ δὲ εἴδη τῆς κινήσεως· γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, ἡ κατὰ τόπον μεταβολή. ἓξ δὲ εἴδη εἰσὶ δι' αἰτίαν τοιαύτην· ἡ κίνησις ἐξάλλαξίς ἐστι καὶ ἔκστασις. ἐξίσταται δέ τις ἢ ἑαυτοῦ καὶ ποιεῖ γένεσιν καὶ φθοράν, ἢ
30 τῶν ἑαυτοῦ (καὶ τοῦτο διχῶς· ἢ γὰρ μεριστὸν καὶ ποιεῖ τὸ ποσόν, ἐν ᾧ αὔξησις καὶ μείωσις, ἢ ἀμέριστον καὶ ποιεῖ τὸ ποιόν, ἐν ᾧ ἡ ἀλλοίωσις), ἢ τῶν περὶ αὐτὸν καὶ ποιεῖ τὴν κατὰ τόπον μεταβολήν· ὁ γὰρ τόπος περὶ ἡμᾶς καὶ οὐκ ἐν ἡμῖν. ἰστέον δὲ καὶ τοῦτο, ὅτι οὐχ ὡς γένος εἰς εἴδη ἡ κίνησις διαιρεῖται· ἐν γὰρ τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις οὐκ ἔστι
35 τάξις· προτέρα δὲ ἡ κατὰ τόπον κίνησις τῶν λοιπῶν διὰ τὰ οὐράνια· ταῦτα γὰρ τὴν μὲν κατὰ τόπον κίνησιν ἔλαχον, οὐδεμιᾶς δὲ ἄλλης κινήσεως μετέσχον, οὔτε γενέσεως ἢ φθορᾶς, οὐκ αὐξήσεως ἢ μειώσεως ἢ ἀλλοιώσεως.

Τρία προεθέμεθα ζητῆσαι περὶ κινήσεως, τὴν ἀπαρίθμησιν τῶν εἰδῶν

---

2 εἴρηται] p. 251,21 τῶν] τοῦ HP 8 σημαινόμαινον et σημαινομαίνοις P
9 ἔλλαττον H[1] 10 τῷ] τὸ P ὁποσοῦν P 15 ante ἐφ' οἷς addas lemma p. 15a13 16 τελευτέοις H τοῖς φυσικοῖς P[1] 18 τὸν om. K 21 ἐδεήθει P λέγων] p. 4a10 22 post ἐστὶ add. δὲ P 23 ἔλεγε] p. 8b27 καὶ διαθέσεις delevi
24 γὰρ] an δὲ? 25 καὶ ὅτε—μεταβάλλειν (26) ante καὶ ἐν τῇ ποιότητι (23) transponas ἔλεγε] p. 4a34 35 δὲ] γὰρ K 38 προεθέμ.] v. 19

αὐτῆς καὶ τὰς διαφορὰς αὐτῆς καὶ ποία ⟨ποίᾳ⟩ ἐστὶν ἐναντία, ὧν τὸ πρῶτον διήνυσται ἡμῖν. ἀλλ' εἴπωμεν τὸ δεύτερον, τοῦτ' ἔστι τὸ εἰπεῖν τὰς διαφορὰς αὐτῆς. ὅτι μὲν οὖν ἡ κατὰ τόπον οὐδεμία ἐστὶ τῶν ἄλλων, δηλοῦσι τὰ οὐράνια, ὡς προείρηται, ταύτην μόνην ἔχοντα οὐδεμίαν δὲ τῶν λοιπῶν.
5 ὅτι δὲ καὶ αἱ ἀντικείμεναι οὔκ εἰσιν αἱ αὐταί, ἄντικρυς δῆλον· οὐ γὰρ ταὐτὸν ἡ γένεσις τῇ φθορᾷ· ἡ μὲν γὰρ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει, ἡ γένεσις, ἡ δὲ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. ἀλλ' οὐδὲ ἡ αὔξησις τῇ μειώσει ταὐτόν· ἡ μὲν γὰρ ἀπὸ ἐλάτ|τονος ὄγκου εἰς μείζονα ἄγει, ἡ 291r δὲ ἀπὸ μείζονος εἰς ἐλάττονα, ἡ μείωσις. δοκοῦσι δὲ αὗται αἱ δύο, αὔξησις
10 καὶ μείωσις διακρίσεις πως εἶναι καὶ συγκρίσεις καὶ ἀλλοιώσεις. πρὸς ὅ φαμεν ὅτι οὐ ταὐτὸν ἀλλοίωσις καὶ αὔξησις· πολλὰ γὰρ αὔξονται μὴ ἀλλοιούμενα· τὸ γὰρ τετράγωνον γνώμονος περιτεθέντος ηὔξηται μέν, οὐκ ἠλλοίωται δέ. οὐδὲ ἡ μείωσις καὶ ἀλλοίωσις ταὐτόν· ἀφαιρεθέντος γὰρ τοῦ αὐτοῦ γνώμονος μεμείωται μὲν τὸ τετράγωνον, οὐκ ἠλλοίωται δέ. ἀλλ' οὐ συνᾴδει
15 τὰ νῦν λεγόμενα τοῖς ἐν τῇ Φυσικῇ· οὐκ ἂν γὰρ πάσχοι ὁ Ἀριστοτέλης ἐν τῇ Φυσικῇ γενέσθαι αὔξησιν χωρὶς ἀλλοιώσεως· τὴν γὰρ αὔξησιν βούλεται καὶ χωρὶς σωμάτων εἶναι μονάδων καὶ κατὰ τὰς τρεῖς γενέσθαι διαστάσεις καὶ ὑπὸ φυσικῆς ψυχῆς. οὐ κυρίως οὖν αὔξησις ἐπὶ τετραγώνου οὐδὲ ἐπ' εὐθείας προσθήκην δεξαμένης οὐδὲ ἐπὶ δεξαμενῆς ὕδωρ δεξαμένης εἰς προσ-
20 θήκην. φέρε οὖν ἡμεῖς ταῦτα διακρίνωμεν ἄλλως· ἰστέον ὅτι πᾶσαι αἱ κινήσεις δέονται τῆς κατὰ τόπον κινήσεως, καὶ ἡ γένεσις (δεῖ γὰρ καταβληθῆναι τὸ σπέρμα ἐν τῇ μήτρᾳ ἢ ἐν τῇ γῇ), ἀλλὰ καὶ ἡ αὔξησις τῷ πλείονα τόπον καταλαβεῖν, καὶ ἡ μείωσις τῷ ἐλάττονα τόπον καταλαβεῖν, καὶ ἡ ἀλλοίωσις τῷ ἔξω γενέσθαι τὸ θερμὸν περὶ τὴν ἐπιφάνειαν, ὡς ἐπὶ
25 τῶν θυμουμένων, ἢ ἐντός, ὡς ἐπὶ τῶν ὠχριώντων ἢ φοβουμένων. οὐκ ἐξ ἀνάγκης οὖν ἡ κατὰ τόπον κίνησις ἡ αὐτὴ ταῖς ἄλλαις, κἂν εἰ πᾶσαι δέωνται αὐτῆς, διὰ τὰ οὐράνια. ὁμοίως καὶ τῆς ἀλλοιώσεως πᾶσαι δέονται, ἡ γένεσις ἵνα ποιήσῃ σάρκα, ὀστοῦν καὶ τὰ τοιαῦτα, ἡ αὔξησις ἵνα ποιήσῃ χυμόν, αἷμα, καὶ οὐκ ἤδη ἡ αὐτὴ ταῖς ἄλλαις ἡ ἀλλοίωσις· πολλὰ γὰρ
30 ἀλλοιοῦται μὴ αὐξανόμενα, ὡς τὰ λευκαινόμενα ἢ μελαινόμενα, καὶ ὅτι ἀλλοίωσις γίνεται μὲν καὶ ἀπὸ μέρους, ὡς ἡ ἐν ἑνὶ μορίῳ ψώρα, αὔξησις δὲ ἀπὸ μέρους οὐ γίνεται· κατὰ γὰρ τὰς τρεῖς γίνεται διαστάσεις.

p. 15b1 Ἔστι δὲ κινήσει μὲν ἐναντίον ἠρεμία.

Τρία τινὰ προεθέμεθα ζητῆσαι, τὰ εἴδη τῆς κινήσεως, τὰς διαφορὰς
35 αὐτῶν καὶ τὰ ἐναντία ταῖς κινήσεσιν, ὧν τὰ δύο ἤνυσται ἡμῖν. ἀλλ' ἔλθωμεν καὶ ἐπὶ τὸ τρίτον καὶ εἴπωμεν τὰ ἐναντία ταῖς κινήσεσιν. ἐναντίον

---

1 ποίᾳ inserui 2 τοῦτ'] τοῦ P τὸ εἰπεῖν] om. K 4 προείρ.] p. 253,35
8 ἀνάγει H 13 οὐδὲ ἡ] ἡ δὲ K[1] 14 μεμείωτε P ἀλλ' οὐ] ἀλλ' οὐδὲ K
15 ἐν τῇ Φυσικῇ] Θ 7 p. 260a29 17 μονάδων scripsi: μόνων libri (cf. Phys. Γ 6 p. 206b31 De caelo Γ 1 p. 300a18) καὶ κατὰ τᾶς τρεῖς . . φυσ. ψυχ.] cf. De anim. gen. B 4 p. 740b29 sq. 18 οὖν om. P 23 τῷ] τὸν H[2] 27 δέονται HP
30 αὐξόμενα K λευκ. ἢ om. P 31 καὶ om. K ψώρα in mrg. suppl. H
33 ἁπλῶς μὲν κιν. ἠρεμία ἐναντία Arist. ἡ ἠρεμ. K

τοίνυν τῇ κινήσει ἡ ἠρεμία, τῇ δὲ τοιᾷδε κινήσει τοιάδε κίνησις. ἀλλὰ τῇ μὲν ἁπλῶς κινήσει ⟨ἡ⟩ ἠρεμία μόνη μάχεται διὰ τὸ μὴ εἶναι ἄλλην κίνησιν παρὰ τὴν ἁπλῶς κίνησιν, τῇ δὲ ἀλλοιώσει ἐναντίον ἡ τοιάδε ἀλλοίωσις καὶ τῇ κατὰ τόπον κινήσει ἡ τοιάδε κατὰ τόπον κίνησις ἐναντίον. ἐναντίας 5 δὲ κινήσεις λέγει ὁ Ἀριστοτέλης τὰς ἀπὸ τῶν ἐναντίων ἀρχομένας καὶ εἰς τὰ ἐναντία ληγούσας, διὸ ἡ γένεσις τῇ φθορᾷ ἐναντίον (ἡ μὲν γὰρ ἀπὸ τοῦ μὴ ὄντος ἄρχεται καὶ εἰς τὸ ὂν λήγει, ἡ φθορὰ δὲ τοὐναντίον), καὶ ἡ αὔξησις τῇ μειώσει. διὸ ἐπὶ κύκλου ἐναντίαι οὐ γίνονται κινήσεις, καὶ ⟨εἰ⟩ ἐπὶ θάτερα γίνεται | κίνησις, διὰ τὸ ἀπὸ τοῦ αὐτοῦ ἄρχεσθαι δύνασθαι αὐτὰς 291v 10 καὶ εἰς τὸ αὐτὸ λήγειν. δεῖ δὲ εἰδέναι ὅτι ἑκάστην κίνησιν δύο ἠρεμίαι παρασπίζουσιν, ἥ τε ὅθεν ἤρξατο καὶ εἰς ὃ λήγει. διὸ ἀποροῦσιν ὅτι ποία μᾶλλον τῶν ἠρεμιῶν μάχεται τῇ κινήσει, ἡ ὅθεν ἤρξατο ἢ εἰς ὃ λήγει. καὶ λέγω ὅτι ἡ ὅθεν ἤρξατο, ἐπειδὴ αὕτη μείζων γίνεται προκόπτοντος ἐν τῇ κινήσει τοῦ κινουμένου, μειοῦται δὲ ἀεὶ τὸ διάστημα τὸ μεταξὺ τοῦ 15 κινουμένου καὶ τῆς εἰς ἣν μέλλει λήγειν ἠρεμίας· ἐναντία δέ ἐστι τὰ πλεῖστον ἀλλήλων διεστῶτα. ἡ πρώτη ἄρα μᾶλλον μάχεται ἠρεμία τῇ κινήσει ἤπερ ἡ εἰς ὃ λήγει. ἀποροῦσι δὲ καὶ τοῦτο· ὅτι εἰ τῇ κινήσει μάχεται καὶ ἡ ἠρεμία καὶ ἡ τοιάδε κίνησις, πῶς δύο ἀντέταξεν ⟨ἑνὶ⟩ ἡ φύσις; πρὸς ὅ φαμεν δύο λύσεις· ὅτι κἀνταῦθα δύο δυσὶ μάχονται· ὡς μὲν γὰρ κινήσει 20 ἁπλῶς ἡ ἠρεμία μάχεται, ὡς δὲ τοιᾷδε κινήσει ἡ τοιάδε κίνησις. ἢ καὶ ἄλλως· ὅτι ἓν ἑνὶ μάχεται· ἐὰν γὰρ ἡ κίνησις ᾖ κατὰ φύσιν, καὶ ἡ ἠρεμία αὐτῆς παρὰ φύσιν ἐστὶ καὶ ἡ ἀντικειμένη κίνησις. ἓν οὖν ἑνὶ μάχεται ὡς τῇ κατὰ φύσιν τὰ παρὰ φύσιν. καὶ ταῦτα μὲν περὶ κινήσεως.

Ἐφ' οἷς διαλέγεται καὶ περὶ τοῦ ἔχειν, οὐ τοῦ ποιοῦντος μίαν τῶν 25 κατηγοριῶν· ἄτοπον γὰρ ἐν τῷ τρίτῳ τμήματι μετὰ τὰς κατηγορίας περὶ τῶν κατηγοριῶν πάλιν διαλέγεσθαι ἄλλως τε καὶ αὐτοῦ διαρρήδην εἰπόντος ἐπὶ τῶν συνθέτων ἐξ κατηγοριῶν μηδὲν πλέον ἔχειν εἰπεῖν ἢ ὅσα περὶ αὐτῶν εἴρηται καὶ ἀνωτέρω. διαλέγεται οὖν περὶ ⟨τῆς⟩ τοῦ ἔχειν ὁμωνύμου φωνῆς τῆς καὶ τὴν κατηγορίαν περιεχούσης. ἓξ δὲ σημαινόμενα τοῦ ἔχειν· λε- 30 γόμεθα γὰρ ποσότητα ἔχειν, ὡς δίπηχυ ἢ τρίπηχυ μέγεθος, λεγόμεθα ποιότητα ἔχειν, λευκότητα ἢ μελανίαν. καὶ δύο σημαινόμενα τῆς τοῦ ἔχειν κατηγορίας τὸ ὅλον περὶ ὅλον καὶ ὅλον περὶ μέρος. ἄλλο σημαινόμενον τοῦ ἔχειν πέμπτον τὸ ἔχειν τὸν μέδιμνον τοὺς πυρούς. ἕκτον σημαινόμενον τοῦ ἔχειν, καθ' ὃ λέγομεν τὸν ἄνδρα γυναῖκα ἔχειν καὶ τὴν γυναῖκα ἄνδρα. 35 ἐκβάλλει δὲ τοῦτον τὸν τρόπον τοῦ ἔχειν ὡς ἀλλότριον· ἄλλο γὰρ δεῖ ἔχειν τὸ ἔχον παρὰ τὸ ἐχόμενον, οὐδὲν δὲ μᾶλλον ἡ γυνὴ ἔχει τὸν ἄνδρα ἢ ὁ ἀνὴρ τὴν γυναῖκα. ταῦτα ἔχει ἡ πρᾶξις. συγκαταπαύεται δὲ αὐτῇ σὺν θεῷ καὶ τὰ σχόλαια τῶν Κατηγοριῶν.

---

1 τῇ δὲ—ἠρεμία (2) om. KP 2 ἡ addidi 8 ἐναντίαι οὐ scripsi: ἐναντίου libri εἰ inserui 10 δεῖ] εἰ K 12 ἢ εἰς—ἤρξατο (13) in mrg. suppl. (nunc evan.) P 13 λέγει H ὅτι ἡ om. K 14 κεινουμένου P 15 εἰσι H 17 ὃ] ἢ H 18 ἑνὶ inserui 20 καὶ om. P 24 ante ἐφ' οἷς in mrg. add. περὶ τοῦ ἔχειν H[1] 26 εἰπόντος] p. 11b10 28 καὶ om. P τῆς inserui 30 post alt. λεγόμ. add. γὰρ H 34 γυναῖκα ἔχειν—ἄνδρα om. P 35 ἐμβάλλει P

INDICES

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis.

II INDEX NOMINUM

III LOCI PLATONICI

IV LOCI ARISTOTELICI

CORRIGENDA ET ADDENDA.

p. 43,23 not. corrigas: καὶ ὑγ.] ἡ ὑγ. recte Marc. 201
p. 63,7 not. addas.: πράγματα] scribas παραδείγματα
p. 63,9 not. addas.: πραγμ.] scribas παραδειγμάτων
p. 94,5 alt. τὸ (ante ὑποκ.) deleas
p. 94,8 τοῦ] corrigas τῶν
p. 104,7 not. addas.: post συμβ. recte add. πλείοσιν Laur. 72,5
p. 180,34 corrigas ἀπεκύει

as - In Porphyrii Isagogen et Aristotelis
Categorias (Busse ed.) # 15606

Elias.